5. Εἴδομεν. — Ἑώρων. — Ὀψόμεθα. — Ὀψοίμην. — Ὀφθείησαν. — Ἑωράκαμεν. — Ἴδω. — Ὀφθήσοιντο. — Ὁρῷμι. — Ἰδεῖν ou ἑωρακέναι. — Ὄψει. — Ἑωρῶντο. — Ἰδέ. — Ἰδοῦσα ou ἑωρακυῖα. — Ἴδοιεν. — Ὄψονται. — Ἑώρας. — Ὁρῶσι. — Εἶδε. — Ἑώρασαι ou ὦψαι. — Ὤφθησαν. — Ὀψόμενος. — Ὁρῴμην ou ὀφθησοίμην ἄν. — Ὀφθῆναι ou ἑωράσθαι ou ὦφθαι. — Ὁρᾷν. — Ὀφθήσεσθαι. — Ἰδέτωσαν ou ἴδωσι. — Τὰ ὀφθησόμενα, ὀφθέντα. — Ὁρᾶσθαι. — Ὁρῷεν. — Ἑωρᾶτε. — Ὁρᾷ. — Εἴδετε. — Ἑωράκατε. — Ὁρωμένη. — Ὄψεται. — Ἴδοιμεν. — Ἴδῃς. — Εἶδον.

6. Δραμούμεθα ou θρεξόμεθα. — Δραμεῖν ou δεδρομέναι ou δεδραμηκέναι. — Δεδράμηται. — Ἔτρεχες. — Ἔδραμον. — Τρέχειν. — Ἐδραμήθη. — Δραμοῖσθε ou θρέξοισθε. — Δεδρόμασι ou δεδρομήκασι. — Δραμεῖσθαι ou θρέξεσθαι. — Τὸ δραμηθέν. — Δραμεῖται ou θρέξεται. — Δραμηθείη ou δεδραμημένον εἴη. — Δράμε. — Δραμούμενος ou θρεξόμενος. — Ἐδεδρόμειν ou ἐδεδραμήκειν. — Δράμοις ἄν. — Δράμοιεν. — Δραμηθῆναι ou δεδραμῆσθαι. — Δραμοῖντο ou θρέξοιντο. — Τρέχωμεν. — Δράμοι ἄν. — Δράμῃ. — Ἐτρέχετε. — Ἐδεδράμητο. — Τρέχεσθαι. — Δραμοῦσα ou δεδρομυῖα ou δεδραμηκυῖα.

7. Ἐνεχθῆναι ou ἐνηνέχθαι. — Ἠνέγκαμεν ou ἠνέγκομεν. — Ἠνέχθην. — Ἐνεχθήσῃ ou οἰσθήσῃ. — Οἴσουσι. — Ἐνήνοχε. — Ἐνέγκαι ou ἐνεγκεῖν ou ἐνηνοχέναι. — Φερέσθωσαν ou φέρωνται, ἐνεχθήτωσαν. — Τὰ ἐνεχθησόμενα ou οἰσθησόμενα, ἐνεχθέντα. — Ἐνέγκασα ou ἐνεγκοῦσα ou ἐνηνοχυῖα. — Ἐνεχθήσεσθαι ou οἰσθήσεσθαι. — Ἐνεχθησοίμεθα ou οἰσθησοίμεθα. — Ἐφέρομεν. — Ἐνεχθείης. — Ἐνήνεκται. — Φέροιο. — Ἤνεγκας ou ἤνεγκες. — Οἴσειν. — Ἐνεχθησόμεθα ou οἰσθησόμεθα. — Ἐνεχθῆτε

ou ἐνηνεγμένοι ἦτε.— Ἐνήνεκτο. — Οἴσομεν.— Ἐνεχθήτων ou ἐνεχθῆτον. — Φέρων, ἐνέγκας ou ἐνεγκών ou ἐνηνοχώς, οἴσων. — Ἐνέγκαιτε ou ἐνέγκοιτε ἄν. — Ἐνεχθείη ou ἐνηνεγμένος εἴη ἄν.

138e Exercice.

Adjectifs verbaux (*Grammaire*, § 423 à 426).

1. Κωλυτέος.— Θηρευτέος. — Φθονητέος. — Βουλευτέος.— Ἀγαπητέος. — Μισητέος. — Ἐλευθερωτέος. — Σιωπητέος. — Στρεβλωτέος.— Φλεκτέος.— Πεμπτέος.— Κοπτέος.— Διωκτέος. — Ὁριστέος.— Σημαντέος.— Ἀμυντέος.— Δοτέος.— Ἀφετέος.

2. Ἐπιθυμητικός.— Πηκτικός.— Παρασκευαστικός.— Ἀρκτικός.— Πιστευτικός. — Παιδευτικός.— Νικητικός.— Ἀπατητικός.— Προδοτικός.— Φθαρτικός.— Καταφρονητικός.— Βλαπτικός.— Ταπεινωτικός.— Ἐριστικός.— Σημαντικός.— Πρηστικός.— Πλυντικός.— Χειρωτικός.— Θυτικός.

3. Ἱδρυτός.— Χρυσωτός.— Ψαλτός.— Ψεκτός.— Σπαρτός.— Θαυμαστός.— Ζηλωτός.— Ποθητός.— Τολμητός. — Φυτευτός. — Βαπτός. — Ζευκτός.— Τριπτός.— Λεκτός.— Βρεκτός.— Θεραπευτός. — Βοητός. — Θηκτός.

139e Exercice.

Degrés de signification dans les adverbes (*Grammaire*, § 432 à 434).

1. Δικαίως. — Δικαιότερον.— Δικαιότατα. — Εὐσεβέστατα.— Ἧσσον δικαίως. — Μάλιστα ou πλεῖστα. — Εὐσεβέστερον.— Κάτω. — Κατωτάτω ou κατώτατα.— Ἧσσον.— Κατωτέρω ou κατώτερον.— Ἥδιστα. — Μᾶλλον. — Καλῶς. — Ἄμεινον. — Βέλτιστα.— Εὐφώνως.— Εὐφωνότατα. — Ἥδιον.— Βασιλικῶς.— Βασιλικώτατα.— Ἀσθενέστερον.— Βασιλικώτερον.— Ἀσθενέστατα.— Οὕτως εὐφώνως.— Κακῶς.— Χεῖρον. — Ἐλευθερώτατα.— Κάκιστα ou χείριστα.— Ἐλευθερώτερον.— Οὕτως ἀσθενῶς. — Ἐξωτέρω. — Εὐλαβῶς.— Ἐξώτατα. — Εὐλαβέστατα.— Εὐλαβέστερον. — Εὐδαιμονέστερον. — Ταχέως. — Εὐδαιμονέστατα.— Τάχιστα ou ταχύτατα. — Ἧσσον εὐδαιμόνως.

2. Τάχιον ou ταχύτερον ou θᾶσσον. — Φανερώτερον. — Ἀκριβῶς. — Φανερώτατα. — Ἀκριβέστατα. — Εὐθύ. — Ἧσσον εὐθύ. — Βραχύτατα.— Εὐθύτατα. — Ἁπλούστερον. — Βραχύτερον. — Ἁπλούστατα.— Ἀληθῶς. — Ἀληθέστερον. — Ἀληθέστατα. — Χαριέστερον. — Οὕτω χαριέντως.— Χαριέστατα. — Ἧσσον ἁπλῶς. — Ἀνώτερον ou ἀνωτέρω. — Ἀνώτατα ou ἀνωτάτω. — Σωφρονέστερον. — Σωφρονέστατα.— Ἧσσον ταχέως.— Δήλως. — Δηλότερον. — Δηλότατα. — Μανικῶς. — Μανικώτερον.— Μανικώτατα.— Ἔσω.— Ἐσωτέρω ou ἐσώτερον.— Ἐσωτάτω ou ἐσώτατα.



SYNTAXE.

140e Exercice.

Accord du nom (*Grammaire*, § 460).

1. Ζεὺς σωτήρ.—Σόλωνι τῷ νομοθέτῃ.—Τοῦ βασιλέως Ἀλεξάνδρου. — Ἄνδρες δικασταί. — Τὼ δήμω ἄμφω νομέε ὄντε. — Θεὸς κτίστα. — Τῶν μυρικῶν θάμνων. — Τοῦ αὐτοκράτορος Αὐγούστου. — Ἀνθρώποιν εὑρετικοῖν. —Αὐτῷ ποιητῇ. — Υἱὲ πατροκτόνε. — Οἱ μάντεις ψεῦσται. — Ἡ βασίλισσα Ἥρα. — Βασιλεῦ Ἄπολλον. — Τῷ συγγραφεῖ κόλακι ὄντι. — Τοῦ ποιητοῦ Ἀρχιλόχου.

2. Ὑμῖν πολίταις.— Ὁ Εὐφράτης ποταμός.— Σὺ ψεῦστα.—Κηφίσῳ τῷ χειμάρρῳ. — Αὐτῶν ποιμένων. — Τὴν Σικελίαν ἐπαρχίαν. — Ὑμᾶς πρεσβύτας. — Τοῦ Παρνάσσου ὄρους. — Σφῷν ὑποκριταῖν. — Οἱ Θεοὶ τιμωροί. — Τῷ σατράπῃ Τισσαφέρνῃ. — Ἐγὼ παῖς.— Τὸν Πειραιᾶ λιμένα.— Σοὶ τυράννῳ.— Ὑμεῖς δεσπόται. — Νὼ συνηγόρω.— Ῥόδῳ τῇ νήσῳ.— Ἐμοῦ γραμματικοῦ. — Ἀσκληπιὲ ἰατρέ.

141e Exercice.

Accord de l'adjectif (*Grammaire*, p. 224).

Ἡ γνώμη ἡ ἀσεβής. — Τῆς ὁδοῦ τῆς στενῆς. — Τοὺς αἰγιαλοὺς τοὺς ἐπικινδύνους. — Ἄνερ ὠμέ. — Τοῖς σφοδροῖς ἀνέμοις. — Στρατιώταιν ἀσθενοῖν.— Ὁ νοῦς ὁ εὐλαβής. — Τὰς μεταβολὰς τὰς αἰφνιδίους. — Τῷ δυσπίστῳ δεσπότῃ. — Τὴν γυναῖκα τὴν πολυμαθῆ. — Τοῖς ἀφόβοις θηρευταῖς. — Στέμματα μεγαλοπρεπῆ. — Τῶν σκοτεινῶν ἡμερῶν. — Λατρευτὰ πρόθυμε.— Τῆς στικτῆς δορᾶς. — Τοῖς ἅρμασι τοῖς ταχέσι.— Τῶν φοβερῶν ὀνείρων. — Τὴν αὐστηρὰν παιδείαν. — Τὼ ἀκαμάτω ὁδοιπόρω. — Τοῦ θανάτου τοῦ αἰφνιδίου. — Οἱ ἀστέρες οἱ πολυάριθμοι.— Αὐτόκρατορ μεγαλόθυμε. — Τῷ νεῷ τῷ παλαιῷ. — Ἡ θρηνώδης περιστερά.—Τοῖς παισὶ τοῖς ἀγνώμοσι.— Διαυγεῖς πηγαί.—Τῷ συκοφάντῃ τῷ ἀγεννεῖ. — Τοῦ τέρατος τοῦ εἰδεχθοῦς. — Τὴν ἄπλαστον δίψαν.— Τυράννοιν ἀνελεημόνοιν.—Τῶν πετρῶν τῶν ἀποτόμων. — Καρτεροὶ σεισμοί. — Τῷ κυτίσῳ τῷ ἀνθώδει. — Τὰς ἕλικας τὰς πικράς. — Τοῖς δειλοῖς ἅρπαξι.

142e Exercice.

Suite de l'accord de l'adjectif.

1. Ὁ Ἀλέξανδρος καὶ ὁ Καῖσαρ φιλότιμοι.— Ἡ παιδία καὶ ἡ νεότης ἄβουλοι. — Ἀφροδίτην καὶ Ἀθηνᾶν ἀντιπάλους. — Τῆς Σπάρτης καὶ τῶν Ἀθηνῶν ἀδιαλλάκτων. — Τοῖς ἵπποις καὶ τοῖς ἱππεῦσι διψηροῖς. — Τὰ ἴα καὶ τὰ κρίνα εὐώδη.— Τοὺς ἐλέφαντας καὶ τοὺς λέοντας ἀντιπάλους. — Τῇ ὑπερηφανίᾳ καὶ τῇ κενοδοξίᾳ ἐπιψόγοις. — Τοῖς ἀοιδοῖς καὶ τοῖς ὑποκριταῖς ἐνδόξοις. — Τὸν πλούσιον καὶ τὸν πένητα θνητοὺς ὄντας. — Τὴν μητέρα καὶ τὴν θυγατέρα οὐδενὸς ἀξίας. — Τὼ δήμω καὶ τὼ ἡγεμόνε πολεμίω. — Ἡ γῆ καὶ ἡ θάλασσα ἄπειροι. — Ἀετοὶ καὶ λύκοι λάβροι. — Ἡ κίσσα καὶ ἡ κορώνη λάλοι. — Τὸ γάλα καὶ τὸ μέλι ἄφθονα.

2. Ἡ ἴβις καὶ ὁ ὄφις ἐχθροί. — Ὁ ἀδελφὸς καὶ ἡ ἀδελφὴ σώφρονες. — Οἱ ποιηταὶ καὶ αἱ γυναῖκες ἀκρόχολοι. — Τοῖς θεοῖς καὶ ταῖς θεαῖς φιλανθρώποις. — Οἱ Τρῶες καὶ αἱ Τρωάδες αἰχμάλωτοι.—Τὼ γυναῖκε καὶ τὼ ἄνδρε ἁγίω. — Οἱ δεσπόται καὶ αἱ δέσποιναι χαλεποί. — Ὁ ἀνὴρ καὶ ἡ γυνὴ αἴτιοι.—Ὁ ἱπποπόταμος καὶ ἡ κάμηλος αἰσχροί. — Τοῖς μείραξι καὶ ταῖς παρθένοις ἱλαροῖς. — Τοῖς ταῷς καὶ ταῖς ἐκ τῶν καμπῶν ψυχαῖς λαμπροῖς οὖσι.— Τὴν μέλισσαν καὶ τὸν μύρμηκα φιλοπόνους.—Οἱ Ῥωμαῖοι καὶ αἱ Ῥωμαΐδες ἐλεύθεροι.—Πατέρες καὶ μητέρες ἀναίσθητοι.

3. Ὁ ποῦς καὶ ἡ σφῦρα ἄῤῥωστα. — Ὁ πλοῦτος καὶ τὸ κάλλος θνητά. — Ἐσθὴς καὶ πρόσωπον λυπηρά. — Τὸ ψεῦδος καὶ ἡ ἀλήθεια ἀλλήλοις ἐναντία. — Τὰ ὄρη καὶ αἱ μεσάγκειαι ὑλώδη. — Λόγοι καὶ βίβλοι διδακτικά. — Ἀνδριάντες καὶ γραφαὶ θαυμαστά. — Ὁ ἥλιος καὶ τὰ ἄστρα πυριλαμπῆ. — Οἱ μύες καὶ τὰ νεῦρα εὔρωστα. — Αἱ διηγήσεις καὶ οἱ μῦθοι ἀπίθανα. — Τὰ τείχη καὶ ἡ ἀκρόπολις δυσάλωτα. — Τὰ ψύχη καὶ αἱ θέρμαι ἄκρα. — Λοιμὸς καὶ ἔνδεια φοβερά. — Ἡ λύπη καὶ τὸ φάρμακον θανατώδη. — Τὰ δάκρυα καὶ αἱ λιταὶ περισσά.

143e Exercice.

Suite de l'accord de l'adjectif.

1. Ἀρετὴ σώφρων ἐστί.— Ὁ βίος βραχύς ἐστι. — Τὸ μέλλον ἐστὶν ἄδηλον.— Ἀλήθεια ἀΐδιός ἐστι. — Οἱ Πέρσαι ἁβροὶ ἦσαν.— Αἱ ὑμέτεραι ἐλπίδες κεναί εἰσι. — Ἡ γῆ σφαιρώδης ἐστί.— Ὀκταούϊος καὶ Ἀντώνιος ἴσως αἱματοχαρεῖς ἦσαν. — Ὁ υἱὸς καὶ ἡ μήτηρ αἴτιοί εἰσι. — Φιλοτιμία καὶ πλεονεξία ἄπληστοί εἰσι. — Οἱ μὲν καρποὶ γλυκεῖς εἰσιν, αἱ δὲ ῥίζαι πικραί. — Ὀργὴ ἀλόγιστός ἐστι. — Ἡ κορυδαλὶς καὶ ὁ

ἀλεκτρυὼν πρώϊοί εἰσι. — Ὁ δυνατὸς καὶ ὁ ἀσθενὴς εἰσιν ἴσοι. — Τῶν φίλων οἱ σκαιοί εἰσιν ἐπικίνδυνοι. — Ἡ ποίησις καὶ ἡ μουσικὴ ἀδελφαί εἰσι. — Φθόνος ἀεὶ ἄδικος ἔσται. — Ἡ Ἀττικὴ ψιλὴ χώρα ἐστί. — Οἱ τάφοι ἱεροὶ ἦσαν. — Ὁ Σωκράτης σοφὸς καὶ δίκαιος ἦν. — Ἡ γλῶσσα μαλακόν τι κρέας καὶ σπογγιῶδές ἐστι. — Οἱ ἀράχναι καὶ μέλισσαι τεχνικοί εἰσι. — Ἀχιλλεὺς καὶ Ἀγαμέμνων βιαίω ἤστην. — Οἱ δικασταὶ ἀεὶ ἀδιάφθοροι ἔστωσαν. — Ἡ ὀμίχλη δασεῖα ἦν. — Οἱ βόες καὶ αἱ ὄϊες εὔσαρκοι ἦσαν καὶ λιπαροί.

2. Ἡ νίκη βεβαία ἐφαίνετο. — Ὁ ἥλιος ἀνέτειλε φαιδρός. — Ὁ Ἀριστείδης δίκαιος ἐπωνομάζετο. — Οἱ στρατιῶται ἐπίλυποι καὶ συγκεχυμένοι ἀπῆλθον. — Οἱ Αἰγύπτιοι δεισιδαίμονες εἶναι ἐνομίζοντο. — Ἄπορος ἡ διάβασις ἐδόκει εἶναι. — Πρῶτος ὁ Δαρεῖος βασιλεὺς μέγας ἐκλήθη. — Ὁ Ἡρόστρατος διαβόητος ἐγένετο. — Οἱ ναῦται ἱλαροὶ ἀπαίρουσι. — Μακρὰ ἔδοξεν ἡ ὁδὸς εἶναι. — Ἡ χάλαζα πυκνὴ καὶ ἀθρόα ἔπιπτε. — Φρικώδης θάνατος ἐπηρτημένος ἐδόκει εἶναι. — Ὁ ἀνὴρ ὁ ἀγαθὸς πολλάκις ἐνδεὴς ζῇ καὶ ἄγνωστος. — Ὁ Αἴας παράφρων ἐγένετο.

144e Exercice.

Accord du pronom personnel (*Grammaire*, p. 224).

Ὑμᾶς τὰς ὑπερηφάνους τε καὶ ἀμυντικάς. — Σοὶ ἀπίστῳ. — Ἐγὼ ἀσύστατος. — Ἡμῶν ἀφελῶν καὶ εὐπίστων. — Σὲ ἀγαθὴν καὶ προσηνῆ. — Σφῷν καθαραῖν καὶ ἁγίαιν. — Αὐτὸν αἴτιον. — Σὺ καταφρόνητε. — Αὐτοῖς δειλοῖς. — Ἡμᾶς πάντας ἀμαθεῖς. — Σοῦ μαινομένου. — Νὼ χρηστὼ καὶ ἁπλώ. — Αὐτὰς χαριέσσας καὶ ἐπηράτους. — Ἐμοῦ ἀπόρου. — Ὑμεῖς δειλοὶ καὶ ἄπιστοι. — Αὐτοῖς σοφοῖς καὶ εὐσεβέσι. — Ἡμᾶς βαρβάρους. — Σοὶ εὐλαβεστέρᾳ, μετριωτέρᾳ. — Ὑμῖν εὐγενεστάταις καὶ ἐπιφανεστάταις. — Αὐτοῦ βελτίστου. — Σὺ φαῦλε. — Αὐτοὶ ἴσως ἄξιοι.

145e Exercice.

Accord de l'adjectif relatif (*Grammaire*, p. 224).

Ἡμεῖς οἳ ἐλπίζομεν *. — Οἱ δυστυχεῖς οἵπερ ταλαιπωροῦσι. — Ἐγὼ ὃς ἐνίκησα. — Σὺ ὃς ᾄδεις. — Σφὼ ὣ γελᾶτον. — Ὑμῖν οἳ δίκαιοι ὑπήρχετε. — Ἡ βροντὴ ἣ βρέμει. — Ἡμεῖς οἳ περίεσμεν. — Ξέρξης ὃς δυνατώτατος ἦν. — Ὑμεῖς οἳ ἀπειλεῖτε. — Ὁ δόμος ὃς κατεβλήθη. — Ἐμοὶ ἥτις ὑβρίσθην. — Ἡμεῖς οἳ στενάζομεν. — Οἱ δοῦλοι οἳ ἐλευθε-

* Dans toutes ces phrases, l'emploi du participe précédé de l'article serait plus élégant : ἡμεῖς οἱ ἐλπίζοντες, etc.

ρωθήσονται. — Ἡμεῖς οἳ ἀνόητοι προσαγορευόμεθα. — Σὺ ὃς εἶ ἀσθενέστατος. — Αὗται αἳ ἔφευγον. — Ὁ χειμὼν ὃς ταχέως ἐπιγίγνεται. — Ὑμεῖς οἳ πολυμαθέστατοι ἐφαίνεσθε. — Αὐτὸς ὃς εὐλαβὴς ἦν καὶ δύσπιστος. — Ἡδοναὶ αἳ παρέρχεσθε, λῦπαι αἳ μένετε. — Παῖδες οἳ ἀμέριμνοι καὶ ἱλαροὶ διάγετε. — Χώρα ἣ καλεῖται Μεσοποταμία. — Νῆες αἳ ταχέως φέρεσθε. — Σοὶ ὃς ἀεὶ τιμηθήσῃ τε καὶ ὑμνηθήσῃ. — Αἱ πόλεις αἳ ἐπορθήθησαν. — Ἡμεῖς πάντες ποιηταὶ οἳ νομιζόμεθα ὀνειροπόλοι. — Ἐγὼ ὃς ἐψεύσθην.

146e Exercice.

Accord du verbe (*Grammaire*, p. 225).

1. Ὁ λέων βρύχει· οἱ ταῦροι μυκῶσιν· οἱ ὄφεις συρίττουσιν· οἱ ὄνοι ὀγκῶνται. — Ἄπιτε· ἐπείγει γὰρ ἡ ὥρα. — Ἡ μὲν Σπάρτη ἥττητο· οἱ δὲ Θηβαῖοι ἐκράτουν. — Οἱ μὲν μικροὶ ὑψωθήσονται· οἱ δὲ μεγάλοι ταπεινωθήσονται. — Τὸ δένδρον ἀπεῤῥίζωται. — Ἡμεῖς εὐκλεῶς βεβασιλεύκαμεν. — Ἡ μὲν ἀηδὼν ᾄδει· πᾶσα δ' ἡ φύσις σιωπᾷ καὶ ἀκούει. — Ἄμφω ἐθανατωθήτην. — Ὑμεῖς ἀεὶ μὲν ὑπισχνεῖσθε· δίδοτε δ' οὐδέποτε. — Μάτην ἀντέχω· ἄκουσα γὰρ φέρομαι. — Οἱ λειμῶνες ἅλις ἤρδευνται. — Ἡ θάλασσα σφόδρα ἐκυματίζετο. — Τὸ χῶμα ἐξαίφνης ἐῤῥήχθη. — Οἱ ἀγροὶ ἐρημοῦνται. — Ἡ γεωργία φθίνει.

2. Ὁ ποιμὴν καὶ οἱ κύνες ἐκάθευδον. — Ὁ οὐρανὸς καὶ ἡ γῆ κυκῶνται. — Οἱ Κίμβροι καὶ οἱ Τεύτονες διεφθάρησαν. — Ὁ ἵππος καὶ ὁ ὄνος ἅμα ὥδευον. — Ὁ Δημοσθένης καὶ ὁ Κικέρων πολλάκις συνεκρίθησαν. — Μετριότης καὶ ἀφιλοχρηματία τιμῶνται. — Ἀπελλῆς καὶ Ζεῦξις δεινότατοι γραφεῖς ἐνομίζοντο εἶναι. — Ἡ πτελέα καὶ ἡ δρῦς βραδέως φύονται. — Ἡ μέλισσα καὶ ὁ κηφὴν πολέμιοί εἰσι. — Νύμφαι καὶ Πᾶνες, κλαίετε. — Ἡμεῖς πάντες, φίλοι καὶ ἐχθροί, ἀκούσωμεν. — Γυναῖκες, τέκνα, πρεσβύτεροι ἐθρήνουν. — Ἕκτωρ καὶ Ἀχιλλεὺς ἐμαχέσαντο. — Ἀσεβεῖς καὶ κακοί, τρέμετε. — Ὁ τράγος καὶ ἡ ἀλώπηξ ἐδίψων.

147e Exercice.

Suite de l'accord du verbe (*Grammaire*, § 461).

Τὰ σώματα ἀτάκτως ἔκειτο. — Τὰ φύλλα καὶ τὰ ἄνθη μαραίνεται. — Τὰ δῶρα τίμια ἦν. — Τὰ ταχέα ἅρματα διεῤῥάγη. — Τὰ ὄρη ὑλώδη ἐστί. — Τὰ τείχη κατέσκαπτο. — Ἤδη τὰ βέλη ἐῤῥοίζει· τὰ ξίφη ἔσπαστο. — Τὰ ζῶα οὐ πάντα ῥᾳδίως ἡμεροῦται. — Τὰ στοιχεῖα πειθαρχεῖ. — Τὰ ἱστία ἐσχίσθη. — Τὰ γεωργικὰ ὄργανα ἐκτετελείωται. — Τὰ ἔργα τελεσθήσεται. — Πάντα τὰ ἀγαθὰ περισσεύει. — Τὰ Ἑλληνικὰ ποιήματα ἀεὶ θαυμάζεται. — Τὰ ἄγκη κατὰ μικρὸν κέχωσται. — Πάντα τὰ κωλύματα κεκράτηται. — Τὰ ὄρη ταπεινωθήσεται· τὰ ἄγκη ὑψωθήσεται. —

Πάντα τὰ γένη ἀφανισθήσεται. — Σημεῖα καὶ τέρατα φοβερὰ φανήσεται. — Τὰ πεδία ἐπεκέκλυστο. — Τὰ ἔργα ἔφθαρτο.

148e Exercice.

Suite de l'accord du verbe.

Ἐγὼ καὶ σὺ πάσχομεν. — Ἐτεόκλεις, σύ τε καὶ Πολυνείκης πατροκτόνοι ἐστέ. — Ἐγὼ καὶ αὐτὴ ἠλπίζομεν. — Ὑμεῖς τε καὶ οἱ ὑμέτεροι κοινωνοὶ προδεδώκατε. — Κράσσε, σὺ καὶ ὁ σὸς υἱὸς θανεῖσθε. — Ἐγὼ καὶ σὺ ὕποπτοί ἐσμεν. — Ὑπερήφανε αὐτόκρατορ, σὺ καὶ οἱ παῖδες οἱ σοὶ ταχὺ δουλεύσετε. — Ἐγὼ καὶ αὐτὸς ἐμανθάνομεν. — Παῖδες, ἐγώ τε καὶ ὑμεῖς εὐχώμεθα. — Σύ τε καὶ οὗτος πολὺν χρόνον ἐμέλλετε. — Σὺ καὶ ὁ σὸς ἀδελφὸς ἐλέγετε. — Μνημοσύνη, σύ τε καὶ αἱ Μοῦσαι ἵλεῳ ἔστε. — Ἐγὼ καὶ αὐτὸς δικασόμεθα. — Ὑμεῖς τε καὶ οἱ κόλακες οἱ ὑμέτεροι, ἴσως τυφλοί ἐστε. — Ὑμεῖς, ὦ θνητοὶ, καὶ τὰ ὑμέτερα ἔργα ἀπολεῖσθε.

149e Exercice.

Accord du participe.

Αἱ κακίαι καταπεφρονημέναι. — Ὁ χρυσὸς καὶ ὁ ἄργυρος κατορωρυγμένοι. — Τὸν ἄνδρα καὶ τὴν γυναῖκα μέλλοντας ψευσθῆναι. — Οἱ βασιλεῖς καὶ αἱ βασίλισσαι ἄρξαντες. — Τὸ στρατόπεδον καὶ αἱ σκηναὶ ἐμπεπρησμένα. — Ὁ θάνατος καὶ ἡ πενία καταφρονηθησόμενα. — Ὁ τράγος καὶ ἡ ἀλώπηξ ἐγκεκλεισμένοι. — Κακὰ παρεληλυθότα. — Ταῖς ἐψευσμέναις ἐλπίσι. — Γυναῖκες καὶ παῖδες ἀπεσφαγμένοι. — Ἄνεμοι καὶ κύματα ἀντιμαχόμενα. — Δένδρα καὶ φυτὰ αὐξανόμενα. — Δήμους καὶ πόλεις ὑμνηθησομένους. — Ζεὺς καὶ Ἥρα ὀργισθέντες. — Ναοὶ καὶ ἀνδριάντες μέλλοντες χρυσωθῆναι. — Τοὺς συμμάχους βοηθήσαντας ou βεβοηθηκότας. — Οἱ θεοὶ καὶ αἱ θεαὶ ἐφορῶντες. — Τοῖς στρατιώταις τολμήσουσι. — Τὰ βιβλία γραφέντα. — Τοῖς Τρωσὶ καὶ ταῖς Τρῳάσι συνειλεγμένοις. — Οἱ μύες καὶ αἱ γαλαῖ τρώγοντες. — Κόρυθες καὶ θώρακες τετρημένα (ou mieux τετρημένοι).

150e Exercice.

Régime du nom (*Grammaire*, § 464).

1. Τὰ τῶν κήπων ἄνθη. — Ἡ τῶν φιλοσόφων σκληρότης. — Τὸ τῶν ὀρέων ὕψος. — Τὰ τῶν τειχέων ἐρείπια. — Ἡ τοῦ θεοῦ φιλανθρωπία. — Οἱ τῶν μεγάλων ἀνδρῶν υἱοί. — Ἡ τῶν στρατηγῶν δόξα. — Ἡ τῶν παίδων ἀφέλεια. — Ἡ τῆς πατρίδος μνήμη. — Τὰ τῶν φυγάδων πάθη. — Τὰ τῶν παλαιῶν συγγράμματα. — Αἱ τῶν γιγάντων μάχαι. — Ἡ τῶν ἀγαθῶν ἀνδρῶν τιμή. — Αἱ κυριώταται τῆς Ἀσίας χῶραι. — Τὰ τῶν

ἡρώων μνημεῖα. — Ἡ τῆς σοφίας ἀρχή. — Τὸ τῶν πονηρῶν ἔχθος. — Ἡ τῶν Ἀθηναίων κουφότης. — Τὰ τοῦ Ἀννίβα στρατηγήματα. — Ἡ τῶν πόλεων ἀναίρεσις. — Ἡ τῶν ἠθῶν ἐπανόρθωσις.

2. Ἀργία πασῶν κακιῶν μήτηρ ἐστί. — Ἐπιστήμη τῆς ψυχῆς φάρμακόν ἐστι. — Ἡ τοῦ ἀστερόεντος οὐρανοῦ λαμπρότης θαυμαστή ἐστι. — Ἡ φρόνησις μέγιστον ἀγαθόν ἐστι. — Ἡ τῆς ἀρετῆς κτῆσις, μόνη χρόνιός ἐστι. — Ἡ φωνὴ τῆς ψυχῆς εἰκών ἐστι. — Τὰ τῶν μεγιστάνων παραδείγματα διαδόσιμα. — Ὁ Ἀγαθοκλῆς κεραμέως υἱὸς ἦν. — Τὰ Ἠλύσια πεδία τῶν δικαίων οἴκησίς ἐστι. — Αἰσχρᾶς ἡδονῆς ἀπόλαυσις βραχεῖά ἐστι. — Ἡ τῶν στρατοπέδων ῥώμη σχεδὸν ἴση ἦν. — Ἡ τοῦ δικαίου εὐχὴ ἥδιστος λίβανός ἐστι. — Ἡ τῆς ἐλευθερίας ἐπιθυμία μέρος τι ἡμῶν ἐστιν αὐτῶν. — Ὁ τῶν Γράκχων θάνατος τῶν ἐμφυλίων πολέμων σημεῖον ἐγένετο. — Ματαιότης ματαιοτήτων καὶ πάντα ματαιότης. — Τὰ μεγαλοψυχίας παραδείγματα οὐ σπάνιά ἐστιν. — Ἡ τῶν τέκνων ἀγάπη καὶ τιμὴ γέρας καὶ παραμυθία τῶν γονέων ἐστί. — Πάντων τῶν δήμων ἄδηλοί εἰσιν αἱ ἀρχαί. — Οἱ τῆς ἀγορᾶς ἀγῶνες πολλάκις φοίνιοι ἦσαν.

151ᵉ Exercice.

Régime de l'adjectif (*Grammaire*, § 465).

1. Ἡ τοῦ θεοῦ φαρετρὰ βελῶν πλήρης ἦν. — Ἡ τοῦ Λεωνίδου ἀνδρεία, πάντων τῶν ἐπαίνων ἄξιός ἐστι. — Πᾶσα ἡ πόλις ξένων καὶ ἐμπόρων πλήρης ἐστί. — Ὁ Καλιγούλας τῆς ἄκρας ἐξουσίας ἀνάξιος ἦν. — Ἡ πόλις προμάχων κενὴ ἦν. — Οἱ πολιορκούμενοι τῶν πάντων ἐπιδεεῖς ὄντες ὑπέκυψαν. — Οἱ νεανίαι οὔτε χρόνου οὔτε ἀργυρίου φειδωλοί. — Δυστυχεῖς οἱ βασιλεῖς οἵτινες τῆς ὀργῆς οὐκ ἐγκρατεῖς εἰσι. — Οὐδεὶς ἀπαθής ἐστι τῶν τοῦ γήρως νόσων. — Ἄνθρωπος ζῶόν ἐστι μόνον τῆς θείας φύσεως μέτοχον. — Οἱ ἀγαθοὶ στρατηγοὶ οὐκ ἀφειδεῖς εἰσι τοῦ τῶν στρατιωτῶν αἵματος. — Οἱ τῶν σοφιστῶν λόγοι δεινοὶ ἦσαν, ἀλλὰ νοῦ κενοί. — Ὁ Ἀννίβας πασῶν τῶν ἡμετέρων συμφορῶν αἴτιός ἐστι. — Ὁ ἄνθρωπος φύσει τῶν μὲν εὐεργεσιῶν ἀμνήμων, τῶν δ' ὕβρεων μνήμων ἐστί. — Ὁ ἄγνωστος ἀνὴρ ἐλεύθερος ζῇ παντὸς δέους.

2. Οἱ Ῥωμαῖοι πολὺν χρόνον τῶν τῆς Ἑλλάδος τεχνῶν ἄπειροι ἔμειναν. — Ἔστε τοῦ περισσοῦ ὑπεροπτικοί. — Οἱ νόμοι μόνοι οὐκ εἰσὶν ἀνδρῶν ἀγαθῶν ποιητικοί. — Ἐλέου ἄξιός ἐστιν ὅστις ἐλευθερίας ἄγευστός ἐστι καὶ ἀληθείας ἀθέατος. — Ἀλέξανδρος δόξης, οὐ πλούτου ἐπιθυμητικὸς ἦν. — Οἱ παῖδες τῶν γλωσσῶν μάλιστα μαθητικοί εἰσι. — Τὰ ἔθνη τὰ ἀρτίως κατεστραμμένα οὐκ ἔστιν ἀνασχετικὰ τοῦ ζυγοῦ. — Ὁ Ἀλέξανδρος πολὺν χρόνον τάφου ἔμεινεν ἄμοιρος. — Οἱ νεανίαι τῶν τοῦ ἐμπείρου ἀνδρὸς συμβουλιῶν ἀνήκοοί εἰσιν. — Οἱ Ῥωμαῖοι, τῆς ναυτικῆς

πρωτόπειροι ὄντες, ὅμως ἐνίκησαν. — Οἱ Μακεδόνες, τῆς ἐλευθερίας ὄντες ἀήθεις, ἐστασίαζον. — Δέος ἐνίοτε ἀνδρείας ἐργαστικόν ἐστιν.

152e Exercice.

Suite du régime de l'adjectif (*Grammaire*, § 466).

Ὕδωρ ἀναγκαῖόν ἐστιν ἀνθρώπῳ. — Ἔστε ὑμῖν αὐτοῖς ὅμοιοι. — Χάλαζα τοῖς ἀγροῖς ὀλέθριός ἐστι. — Ἔλεος ἀνθρώπῳ ἔμφυτός ἐστι. — Οὐδὲν παρόμοιόν ἐστι πλήθους θυμωθέντος μανίᾳ. — Τὰ εὐπορώτατα τῶν πραγμάτων τοῖς δειλοῖς ἀνθρώποις σχεδὸν ἀμήχανά ἐστι. — Τὰ ὄρη ἐκεῖνα στρατῷ οὐ προσβατά ἐστι. — Νύμφαι αἱ οὕτω μοι φίλαι χαίρετε· ἔστε μοι ἀεὶ ἵλεῳ. — Ἡ σύγκλητος τῷ Καίσαρι δυσμενὴς ἦν. — Ὁ Κατιλίνας τοῖς ἐνδοξοτάτοις πολίταις συγγενὴς ἦν. — Κόλασις ζημίᾳ σύμμετρος ἔστω. — Πᾶσα μεταβολὴ γέρουσιν ἀηδής ἐστι. — Ἐπιείκεια τῷ τε κρατοῦντι καὶ τῷ ἡσσημένῳ ὠφέλιμός ἐστι. — Ὁ ὑμέτερος ἀγρὸς τῷ ἐμῷ ὅμορός ἐστι. — Νὺξ κλέπταις ἀγαθή ἐστι. — Τὸ πλεῖστον τῆς γῆς μέρος τοῖς παλαιοῖς ἦν ἄγνωστον. — Εὐδαίμων εἴην καὶ φίλος τοῖς ἀθανάτοις. — Ἡ χάρις τῷ σοφῷ οὐ βαρεῖά ἐστι. — Τῶν συγγραφέων οἱ μέγιστοι οὐκ ἀεὶ ἑαυτοῖς ἴσοι εἰσί. — Ἡ τύχη ταῖς ὑμετέραις εὐχαῖς ἐναντία ἐστί. — Ὁμοφροσύνη τοῖς τε ἰδιώταις καὶ ταῖς πόλεσι λυσιτελής.

153e Exercice.

Suite du régime de l'adjectif (*Grammaire*, § 467).

Ὁ ἀμαθὴς πρὸς (ou εἰς) οὐδὲν ἐπιτήδειός ἐστι. — Πάντα εἰς τὴν ἡμετέραν φυγὴν ἑτοῖμα εἶναι ἐδόκει. — Ἑκάστου δήμου ἡ γλῶσσα πρὸς τὸ ἦθος ἀεὶ εὐάρμοστός ἐστιν. — Οἱ Ἕλληνες πρὸς (ou εἰς) τὸ ψεῦδος προπετεῖς ἐνομίζοντο. — Οἱ μεσημβρινοὶ δῆμοι πρὸς (ou εἰς) τὴν ποίησιν καὶ τὸν λόγον εὐφυεῖς εἰσι. — Οἱ Γάλλοι πρὸς (ou εἰς) τὸν πόλεμον πρόθυμοι ἦσαν. — Τῶν νῶν οἱ παντάπασιν ἄπειροι πρὸς (ou ἐπί ou εἰς) πᾶσαν παιδείαν ἐπιτήδειοί εἰσι. — Ἄνθρωπος πρὸς τὴν τῆς ἀληθείας ἐρεύνησιν ἐπίφορός ἐστι. — Πίθηκος πρὸς τὴν μίμησιν εὐφυής ἐστι. — Καιρὸς πρὸς (ou εἰς) διαλλαγὴν ἐπιτήδειος. — Ἐκεῖνος ὁ κόσμος πρὸς (ou εἰς) τὸν καιρὸν οὐκ ἐπιτήδειος ἦν. — Βοῦς πρὸς (ou εἰς) πόνον εὐφυὴς δοκεῖ εἶναι. — Ὁ τόπος πρὸς (ou ἐπί ou εἰς) ἐνέδραν ἐπιτήδειος ἦν. — Ὁ τῆς Γαλλίας ἀὴρ πρὸς (ou ἐπί ou εἰς) τὴν ἀμπελουργίαν ἐπιτήδειός ἐστι. — Ὁ Κικέρων πρὸς (ou εἰς) τὴν κενοδοξίαν προπετὴς ἦν.

154e Exercice.

Régime du comparatif (*Grammaire*, § 468).

1. Ὁ γὺψ βορώτερος τοῦ ἀετοῦ (ou ἢ ὁ ἀετός). — Ἄνθρωπος ὠμότερος θηρίου. — Αἱ λιταὶ δυνατώτεραι τῶν ὅπλων (ou ἢ τὰ ὅπλα). — Ἡ πεῖνα φοβερωτέρα τῶν πολεμίων (ou ἢ οἱ πολέμιοι). — Συκοφαντία ὀλεθριωτέρα φαρμάκου (ou ἢ φάρμακον). — Ὁ δελφὶν ὠκύτερος τῶν ἄλλων ζώων (ou ἢ τὰ ἄλλα ζῶα). — Νεότης προπετεστέρα καθεστηκυίας ἡλικίας. — Εὐδοκίμησις τιμιωτέρα πλούτου (ou ἢ πλοῦτος). — Φύσις θαυμασιωτέρα τέχνης (ou ἢ τέχνη). — Ἡ Ἀσία εὐρυτέρα τῆς Εὐρώπης. — Φάρμακα χείρω τοῦ κακοῦ (ou ἢ τὸ κακόν). — Ἵππος ὠκύτερος ἀνέμου (ou ἢ ἄνεμος). — Κρηναὶ διαφανέστεραι κρυστάλλου (ou ἢ κρύσταλλος). — Ὁ ψεύστης φαυλότερος τοῦ φονέως (ou ἢ ὁ φονεύς). — Ἀρετὴ καλλίων ἐπιστήμης (ou ἢ ἐπιστήμη).

2. Οὐκ ἔστιν ἀγαθὸν τιμιώτερον ἀληθινοῦ φίλου (ou ἢ ἀληθινὸς φίλος). — Αἶγες δυσριγότεραι οἰῶν (ou ἢ ὄϊες) εἰσι. — Οὐδὲν τερεινότερόν ἐστι μητρός (ou ἢ μήτηρ). — Ἡ σεισοπυγὶς μείζων ἐστὶ τοῦ σπίνου (ou ἢ ὁ σπίνος). — Οὐκ ἔστι μεῖζον κακὸν τῆς ἀναρχίας. — Ὁ Θερσίτης αἰσχίων ἦν τοῦ αἴσχους (ou ἢ τὸ αἶσχος), δειλότερος τῆς δειλίας αὐτῆς (ou ἢ αὐτὴ ἡ δειλία). — Ἡ ὕαινα λασιωτέρα ἐστὶ τοῦ λύκου (ou ἢ ὁ λύκος). — Οὐδὲν χεῖρόν ἐστι τοῦ τῶν ἀθλητῶν γένους (ou ἢ τὸ τῶν ἀθλητῶν γένος). — Ἧττα τιμιωτέρα ἐστὶν αἰσχρᾶς εἰρήνης (ou ἢ αἰσχρὰ εἰρήνη). — Ἡ Βακτριανὴ εὐγεωτέρα ἐστὶ τῶν ὁμόρων χωρῶν (ou ἢ αἱ ὅμοροι χῶραι). — Πένης ἐλεύθερος εὐδαιμονέστερός ἐστι πλουσίου δούλου (ou ἢ πλούσιος δοῦλος). — Οὐδὲν ζῶον συνετώτερόν ἐστι τοῦ ἐλέφαντος (ou ἢ ὁ ἐλέφας). — Ἔθος ἐνίοτε ἰσχυρότερον γίγνεται φύσεως (ou ἢ φύσις). — Ὁ Ἐπαμινώνδας δοκεῖ μοι μείζων γενέσθαι τοῦ Μιλτιάδου, τοῦ Θεμιστοκλέους καὶ τοῦ Ἀριστείδου (ou ἢ ὁ Μιλτιάδης, ὁ Θεμιστοκλῆς, ὁ Ἀριστείδης). — Ἀλήθεια ἡδίων ἀεὶ ὑμῖν ἔστω κολακείας (ou ἢ κολακεία).

155e Exercice.

Suite du régime du comparatif.

1. Σίδηρος ὠφελιμώτερος χρυσοῦ (ou ἢ χρυσός). — Ὁ κόλαξ ἀπιστότερος τοῦ ἐχθροῦ (ou ἢ ὁ ἐχθρός). — Οἱ λόγοι ἧσσον δυνατοὶ τῶν παραδειγμάτων (ou ἢ τὰ παραδείγματα). — Οἱ βασιλεῖς μᾶλλον μεριμνητικοὶ τῶν ὑποκειμένων (ou ἢ οἱ ὑποκείμενοι). — Ἀμάθεια ἧσσον βλαβερὰ πλάνης (ou ἢ πλάνη). — Κῶμαι πλέον οἰκούμεναι πόλεων (ou ἢ πόλεις). — Ποταμοὶ ὀξύτεροι χειμαῤῥῶν (ou ἢ χειμαῤῥοῖ). — Ψυχὴ εὐγενεστέρα σώματος (ou ἢ σῶμα). — Ὄνος μᾶλλον τλησίπονος ἵππου (ou ἢ ἵππος). — Ὁ Σωκράτης βελτίων τοῦ Διογένους (ou ἢ ὁ Διογένης). — Ὁ λέων ἧσσον

ὠμὸς τῆς τίγριδος (ou ἢ ἡ τίγρις). — Ὁ ῥήτωρ ἐνδοξότερος τοῦ φιλοσόφου (ou ἢ ὁ φιλόσοφος). — Ὀμίχλη πυκνοτέρα τῆς νυκτός. — Οἱ ἔκγονοι δικαιότεροι τῶν συμβίων. — Οἱ καρποὶ ἐλάσσονες τῶν ἀνθέων (ou ἢ τὰ ἄνθη).

2. Τὸ παρελθὸν βέλτιον ἀεὶ δοκεῖ εἶναι τοῦ παρόντος (ou ἢ τὸ παρόν). — Θάνατος ἧσσον δεινός ἐστιν ἢ θανάτου φόβος. — Οὐδὲν τῇ τοῦ ἀνθρώπου φύσει ἐπιτηδειότερόν ἐστι τῆς εὐεργεσίας. — Οἱ ἡμέτεροι ἐχθροὶ πολλάκις λυσιτελέστεροι ἡμῖν εἰσι τῶν φίλων (ou ἢ οἱ φίλοι). — Οὐδεὶς μᾶλλον μνησίκακος ἦν τοῦ Ἀχιλλέως (ou ἢ ὁ Ἀχιλλεύς). — Ὁ ἄνθρωπος ἐνίοτε ἧσσον φρόνιμος τῶν ἀλόγων (ou ἢ τὰ ἄλογα) ἐστί. — Ἡ τῶν πολιτῶν ἀρετὴ ἐνίοτε ταῖς πόλεσι χρησιμωτέρα τοῦ πλούτου (ou ἢ ὁ πλοῦτος) ἐστί. — Δυστυχία ῥᾷον τῆς εὐτυχίας ὑπομένεται. — Ναυάγιον καὶ θάνατος ἧσσον ὀλέθρια ἡδονῶν (ou ἢ αἱ ἡδοναί) εἰσι. — Τὰ ἐνάλια θηρία μείζονά ἐστιν οὑτινοσοῦν χερσαίου ζώου (ou ἢ ὁτιοῦν χερσαῖον ζῶον). — Ἡ τοῦ σώματος ἀῤῥυθμία ἧσσον αἰσχρά ἐστι τῶν τῆς ψυχῆς κακιῶν (ou ἢ αἱ τῆς ψυχῆς κακίαι. — Ἡ πατρὶς ἀγαπητὴ ὑμῖν ἔστω μᾶλλον ὑμῶν αὐτῶν (ou ἢ ὑμεῖς αὐτοί). — Οἱ Ἀθηναῖοι οὑτινοσοῦν ἄλλου τῆς Ἑλλάδος δήμου (ou ἢ ὁστισοῦν ἄλλος τῆς Ἑλλάδος δῆμος) κουφότεροι ἦσαν. — Οἱ ἡμέτεροι ποιηταὶ οἵ γε παλαιοὶ ἧσσον γνωστοὶ ἡμῖν εἰσι τῶν παλαιῶν τῆς Ἑλλάδος ἢ τῆς Ἰταλίας ποιητῶν. — Δίψα ἔτι χαλεπωτέρα πείνης (ou ἢ πεῖνα).

156ᵉ Exercice.

Suite du régime du comparatif (*Grammaire*, § 469).

Ἡ τῶν στρατηγῶν δόξα λαμπροτέρα ἢ βεβαιοτέρα ἐστί. — Τὸ τραῦμα βαθύτερόν ἐστιν ἢ ὀδυνηρότερον. — Ἡ ἀληθινὴ ἀνδρεία φρονιμωτέρα ἢ σφοδροτέρα ἐστί. — Οἱ παῖδες τὰ πλεῖστα κουφότεροι ἢ σπουδαιότεροί εἰσι. — Ἡ γεωγραφία οὐχ ἧσσον ἀναγκαία ἢ ἡδεῖά ἐστι. — Οἱ παλαιοὶ ναῦται θρασύτεροι ἦσαν ἢ δεινότεροι. — Τὰ τῶν Ῥωμαίων μνημεῖα οὐχ ἧσσον μόνιμα ἢ καλὰ ἦν. — Ὁ ταὼς τροφή τις ἦν μᾶλλον σπανία ἢ εὔχυμος. — Οἱ ἡμέτεροι ἀγροὶ εὐγεώτεροί εἰσιν ἢ χαριέστεροι. — Οἱ Λακεδαιμόνιοι ἐμπεδώτεροι ἦσαν ἢ σφοδρότεροι. — Οἱ νεανίαι μᾶλλον ἀκρόχολοί εἰσιν ἢ μνησίκακοι. — Ἡ τῶν κακῶν εὐδαιμονία ἐκφανεστέρα ἐστὶν ἢ ἀληθεστέρα. — Φίλου ἁπλότης πολλάκις ὠφελιμωτέρα ἐστὶν ἢ ἡδίων. — Ὁ Ῥοδανὸς ταχύτερος ἢ βαθύτερός ἐστι. — Αἱ ἐν τῇ Αἰγύπτῳ πυραμίδες ἀξιοθέατοι μᾶλλον ἢ καλαί εἰσι. — Ἡ τοῦ Θεμιστοκλέους συμβουλὴ λυσιτελεστέρα ἢ χρηστοτέρα ἦν. — Ἡσίοδος καὶ Πίνδαρος ἐπαινούμενοι μᾶλλον ἢ ἀναγιγνωσκόμενοι. — Ἡ Καρχηδὼν μᾶλλον ἐμπορικὴ ἢ πολεμικὴ ἦν. — Οἱ Καμπανοὶ ἁβροὶ μᾶλλον ἦσαν ἢ δειλοί.

157e Exercice.

Suite du régime du comparatif (*Grammaire*, § 470 et 471).

Ἄλλος ἐμοῦ (ou ἢ ἐγώ) ᾑρέθη. — Ἑτερός τις αὐτοῦ ἀπογνοίη ἄν. — Ἕτεροι τῶν προγόνων εἰσίν. — Βασιλεὺς Ἕλλην οὐδεὶς ἄλλος ἢ ὁ Ἀλέξανδρος ὥσπερ θεὸς προσεκυνήθη. — Ὁ μισθὸς διπλοῦς ἔσται τοῦ πόνου. — Ἡ Μακεδονικὴ φάλαγξ πολλαπλασία ἦν τοῦ Ῥωμαϊκοῦ τάγματος. — Ἡ Ἑλληνικὴ μνᾶ τῆς δραχμῆς ἑκατονταπλασία ἦν. — Τὸ Ῥωμαϊκὸν ἦθος ἕτερον ἦν τοῦ Ἑλληνικοῦ. — Ἡ δραχμὴ ἑξαπλασία ἦν τοῦ ὀβολοῦ. — Οἱ πολέμιοι ἦσαν ἡμῶν δεκαπλάσιοι. — Φρόνησις ἑτέρα ἐστὶ δειλίας, ἀνδραγαθία θρασύτητος. — Ἡ δραχμὴ τοῦ γράμματος τριπλῆ ἦν. — Δόξα οὐδὲν ἄλλο ἢ κενὸς κέλαδος. — Τὰ ἄνθη πολλαπλάσια τῶν καρπῶν ἐστι. — — Ἐλπὶς ἑτέρα ἐστι τοῦ πράγματος. — Ὁ ὀβολὸς τριπλάσιος ἦν τοῦ θέρμου.

158e Exercice.

Suite du régime du comparatif (*Grammaire*, § 472).

Οἱ χρηστοὶ τῶν ἀνθρώπων εὐτυχήσουσι. — Ὁ Σόλων, εἷς τῶν τῆς Ἑλλάδος σοφῶν, τῶν Ἀθηνῶν ἐστι νομοθέτης. — Τίς τῶν ἀνθρώπων οὐδέποτε ἤλπικε; — Οἱ πλεῖστοι τῶν φιλοπολέμων ἀλιτήριοι ἐνομίσθησαν. — Οἱ εἰρηνικοὶ τῶν βασιλέων ἐπαίνου μᾶλλον ἄξιοί εἰσιν ἢ οἱ πολεμικοί. — Οὐδεὶς τῶν προγεγραμμένων ἔφυγε. — Τῶν νεῶν αἱ μὲν ἐνεπρήσθησαν, αἱ δὲ πλείονες ἑάλωσαν. — Οὐδεὶς τῶν θνητῶν τοῖς θεοῖς μᾶλλον ἀγαπητὸς τοῦ Νηλέως ἦν. — Ὀλίγα τῶν παλαιῶν συγγραμμάτων ἀκέραια ἐσώθη. — Τοῖς μὲν σκληροστόμοις τῶν ἵππων χαλινὸς ἀναγκαῖός ἐστι, τοῖς δὲ ῥαθύμοις κέντρον. — Πολλοὶ τῶν τοῦ Ἀλεξάνδρου στρατηγῶν βασιλεῖς ἐγένοντο. — Αἱ πλεῖσται τῶν πάλαι ἐνδόξων πόλεων οὐκέτι εἰσί. — Οἱ νομαδικοὶ τῶν δήμων οὔποτε ἡμερωθήσονται. — Πολλὰ τῶν λυσιτελεστάτων ἐξευρημάτων καινά ἐστι. — Τῶν ζώων τὰ μὲν τιθασσὰ πληθύνεται, τὰ δ' ἄγρια ἀφανίζεται. — Τὰ θαυμασιώτατα τῶν ἐξευρημάτων οὐκ ἀεὶ λυσιτελέστατά ἐστι. — Ἦν ἡ τῶν ἀθλητῶν θέα ἕν τι τῶν τοῖς Ἕλλησιν ἡδίστων θεαμάτων. — Οἱ ἐμπειρότατοι τῶν ἰατρῶν οὐδ' οὗτοι ἑκαστότε ἰῶνται. — Τίς ἡμῶν αὔριον ζήσεται; — Εἷς τῶν τοῦ Ἀλεξάνδρου διαδόχων γραμματεὺς ἦν. — Τῶν ἑταίρων τοῖς αὐτοκράτορσιν οἱ πλεῖστοι ἀπελεύθεροι ἦσαν πάνυ εὐτελεῖς.

159e Exercice.

Régime du superlatif (*Grammaire*, § 473).

1. Τῶν ἀνθρώπων ὁ εὐδαιμονέστατος. — Τῶν ζώων τὸ ἀσθενέστατον. — Τὸ σπανιώτατον τῶν θαυμάτων. — Οἱ ἐλευθερώτατοι τῶν δήμων. —

Τῶν βασιλέων ὁ φιλοτιμότατος. — Τῶν μητέρων ἡ ἀρίστη. — Τῶν διδασκάλων ὁ σπουδαιότατος. — Ὁ ὠμότατος τῶν τυράννων. — Τῶν κακιῶν ἡ αἰσχίστη. — Τῶν δούλων οἱ πιστότατοι. — Τῶν συγγραφέων ὁ ἀψευδέστατος. — Τὸ κάλλιστον τῶν τοῦ ἔργων. — Τῶν Ἑλλήνων ὁ σοφώτατος. — Ὁ θρασύτατος τῶν θνητῶν. — Τὸ μέγιστον τῶν ὀνειδῶν. — Ἡ πολυμαθεστάτη τῶν βίβλων. — Τῶν ποιητῶν ὁ παλαιότατος. — Ὁ ἀσεβέστατος τῶν Τιτάνων. — Τῶν γυναικῶν ἡ μάλιστα μεγάλαυχος.

2. Ἐγκράτεια ἀρίστη ἰατρῶν ἐστι. — Ἡ Ῥώμη μεγίστη πόλεων τῆς Ἰταλίας ἦν. — Ἡ περὶ τοὺς λόγους σπουδὴ γενναιότατον μελετημάτων ἐστί. — Ἀγαθὴ βίβλος ἀξιοπιστότατος φίλων ἐστί. — Ἡ ἀρχιτεκτονικὴ παλαιοτάτη καὶ λυσιτελεστάτη τεχνῶν ἐστι. — Τὸ ἄλφα καὶ βῆτα κάλλιστον ἀνθρωπίνων ἐξευρημάτων ἐστί. — Ἡ δόξα ἐπικηρότατόν ἐστι πάντων τῶν ἀγαθῶν. — Οἱ Ἀθηναῖοι μάλιστα ἀσύστατοι πάντων τῶν δήμων ἦσαν. — Οἱ Βοιωτοὶ βραδύτατοι Ἑλλήνων ἐνομίζοντο. — Θάνατος κακῶν ἔσχατος. — Ὁ ἐλέφας τῶν μεγάλων ζώων ἠπιώτατόν ἐστι. — Τὰ ἑλώδη τῶν χωρίων μάλιστα νοσώδη πάντων ἐστί. — Ἡ τῶν πολιτῶν ἀνδραγαθία ἀσφαλέστατον τειχισμάτων ἐστί. — Τὸ τῶν καμήλων κρέας ὑγιεινοτάτη τροφῶν ἐνομίζετο. — Ὑγίεια πάντων ἀγαθῶν ποθεινότατον.

160ᵉ Exercice.

Suite du régime du superlatif (*Grammaire*, § 474).

Ὁ αὐθαδέστερος τοῖν δήμοιν νενίκηκε. — Δυοῖν ἀνθρώποιν ὁ ἀμαθέστερος ἀεὶ κενοδοξότερός ἐστι. — Ὁ τοῦ ἰσχυροτέρου λόγος ἀεὶ βελτίων ἐστί. — Τοῖν ἀνταγωνισταῖν ὁ δεινότερος οὐκ ἀεὶ εὐτυχέστερός ἐστι. — Ἀθῆναι καὶ Σπάρτη τότε εὐθηνείτην, ὧν ἡ Σπάρτη ἧσσον μὲν πλουσία, ὅμως δὲ δυνατωτέρα ἦν. — Ἡ ἀλογωτέρα τῶν γνωμῶν ἐνίκησε. — Ἡ μείζων τῶν οἰκιῶν κατεσκάφη. — Ἡ βραχίων τῶν ὁδῶν οὐκ ἀεὶ εὐπορωτέρα ἐστί. — Ὁ ἰσχυρότερος τῶν πύργων ἑάλωκε. — Ἀννίβας καὶ Σκιπίων ἄμφω μὲν δηλονότι μεγάλοι στρατηγοὶ ἦσαν, μείζων δ' ἦν ὁ Ἀννίβας. — Δυοῖν κακοῖν τὸ παρὸν χεῖρον δοκεῖ εἶναι. — Ὁ ταὼς καὶ ὁ κύκνος θαυμαστὸν ὅσον καλοί εἰσι· φαιδρότερος μὲν ὁ ταὼς, χαριέστερος δ' ὁ κύκνος. — Τοῖν κλέπταιν ὁ μὲν νεώτερος ἐσφάγη, ἐξέφυγε δ' ὁ πρεσβύτερος.

161ᵉ Exercice.

Régime du verbe : régime de la voix active. — Verbes transitifs directs ou verbes actifs (*Grammaire*, § 476).

1. Τὴν ἀλήθειαν ζήτει. — Πόλεμος πόλεμον τρέφει. — Πάντα νικᾷ καρτερία. — Οἱ χρησμοὶ συμφορὰς μεγάλας ἐξήγγελλον. — Ὁ Καμβύσης πάντας τοὺς ἐν Μέμφιδι ναοὺς ἐπόρθησε. — Ἀτυχία ἀνθρώπους παιδεύει.

— Κολακεία τοὺς βασιλεῖς τυφλοῖ.— Ξυλεύς τις τὸν θάνατον ἐπεκαλεῖτο. — Τὴν τῶν μεγάλων ἀνδρῶν μνήμην τιμῶμεν. — Ὁ Πελοπίδας τὰς Θήβας ἠλευθέρωσε. — Ὁ Κῦρος πᾶσαν τὴν παραθαλάσσιον Ἀσίαν κατεστρέψατο.—Οἱ Ῥωμαῖοι ἐνίοτε ἀνθρώπινα ἱερεῖα ἔσφαξαν.— Ἡ ἐμπορία τοὺς δήμους πλουτίζει. — Αἱ ἐπιθυμίαι τὸν ἄνθρωπον δουλοῦσι. — Ἡ χάλαζα τοὺς σίτους ἔκοψε. — Ὁ ἴκτινος ἐδίωκε τὴν ἀηδόνα. — Ὑμεῖς, ὦ νομεῖς, πρόβατα ποιμαίνετε.—Ἡ Ἰνδικὴ πολλὰς ἀγέλας ἔχει ἐλεφάντων καὶ ἄλλων πελωρίων ζώων.

2. Ὁ Ἡρόστρατος τὸν τῆς Ἀρτέμιδος νεὼν ἐνέπρησε.— Ὁ Φιλίππου χρυσὸς ἅπαντας τοὺς τῶν Ἀθηνῶν ῥήτορας διεφθάρκει. — Ἀνθρώπου νοῦς τὸ παρὸν ὁρᾷ, τὸ μέλλον προορᾷ. — Μοῦσαι, ᾄδετε τὸν τοῦ θείου Ἀχιλλέως χόλον. — Τίς ἄνθρωπος τὴν τῆς πατρίδος μνήμην ποτὲ ἀποβάλλει; — Ἀθῆναι τὴν τῶν Ἰωνικῶν ἠθῶν μαλακίαν ἐμιμήσαντο. — Ἡρακλῆς, ἔτι παῖς ὤν, ὄφεις δύο ὑπερμεγέθεις ἔπνιξε. — Ὁ Θουκυδίδης τὸν Πελοποννησιακὸν πόλεμον ἱστόρηκε. — Οἱ Αἰγύπτιοι ἱεροὺς κροκοδείλους ἔτρεφον.— Οἱ Θρᾷκες τὰ μέταλλα ἐμπείρως ἐχάλκευον.— Τῶν μεγάλων ἀνδρῶν τοὺς μὲν ἀνδριάντας καὶ τὰ μνημεῖα θαυμάζω, ἔτι δὲ μᾶλλον τὴν τῶν πράξεων καὶ διανοιῶν εἰκόνα. — Ὁ κώνωψ τὸν λέοντα προυκαλέσατο καὶ ἐνίκησε. — Ἡ τοῦ Δίωνος εὐγένεια καὶ μεγαλοψυχία τὴν τοῦ Διονυσίου ὑποψίαν ἐξήγειρεν.— Ὁ Πλούταρχος τοῦ τῶν ἐνδόξων ἀνδρῶν βίου καὶ τὰ μικρολογώτατα γράφει.— Οἱ Πέρσαι οὔτε ναοὺς οὔτε βωμοὺς ἱδρύουσι· προσκυνοῦσι δὲ τὸν ἥλιον, τὴν σελήνην, τὸ πῦρ, τὴν γῆν, τὸν ἄνεμον καὶ τὸ ὕδωρ.

162ᵉ Exercice.

Suite du régime des verbes actifs (*Grammaire*, § 477).

Οἱ ποιηταὶ ψυχὴν πᾶσι τοῖς ἀψύχοις διδοῦσι.— Ὦ θεός, ἐμποίησον ἡμῖν προαίρεσιν τῶν ἡμετέρων προγόνων ἀξίαν. — Ὁ Κράσσος μέγα ἀργύριον τῷ Καίσαρι ἐκεχρήκει.— Σικελία καὶ Αἴγυπτος τοῖς Ῥωμαίοις σῖτον παρεῖχον. — Οἱ μυθογράφοι λόγον τοῖς θηρίοις προσποιοῦσιν.— Ὁ τῶν Σκυθῶν βασιλεὺς αἰνιγματῶδές τι δῶρον τῷ Δαρείῳ ἔπεμψεν· οἱ γὰρ βάρβαροι πρέσβεις τῷ Πέρσῃ ὄρνεον, μῦν, βάτραχον καὶ βέλος ἐκόμισαν. —Κάλλος νεότητι ὑπέρτερόν τι φίλτρον ἐμποιεῖ.— Ὁ Ἀλέξανδρος πάντα τὰ χρήματα τοῖς φίλοις διένειμε. — Οἱ τοῦ Καίσαρος λόγοι παράδοξον προθυμίαν τοῖς στρατιώταις ἔδωκαν. — Ἡ σύγκλητος οὐ συνεχώρησε τῷ Κικέρωνι τὴν τοῦ θριαμβοῦ τιμήν.— Ὁ Ἀλέξανδρος ἄπειρον ἀρχὴν νηπίῳ παιδὶ, ἀδελφῷ ἠλιθίῳ κατέλιπεν. — Ὁ Θεμιστοκλῆς, φυγὰς ὤν, ἀφελῆ καὶ εὐγενῆ ἐπιστολὴν τῷ Ἀρταξέρξῃ ἔπεμψεν.— Ὁ θεὸς οὐχ ἅπαντα τοῖς αὐτοῖς δέδωκεν· ὅπλα ἑκάστοις διανενέμηκε, κέρατα ταύροις, κέντρον με-

λίσσαις, ῥώμην καὶ ταχυτῆτα λέουσι, σοφίαν καὶ λογισμὸν ἀνθρώποις.— Ὁ Καῖσαρ τέσσαρας ἅμα ἐπιστολὰς τοῖς γραμματεῦσιν ὑπηγόρευε.— Οἱ παλαιοὶ τὴν τῆς Βρεταννίας μορφὴν ἀμφιπελέκει ἀπείκαζον.— Ὁ Καλιγούλας τὸν χλευασμὸν τῇ ὠμότητι προσετίθη.— Οἱ λόγοι καταφυγὴν καὶ παραμυθίαν τοῖς δυστυχέσι παρέχουσι. — Αὔγουστος εὐτραπέλους ἐπιστολὰς τοῖς φίλοις ἔγραφε. — Οἱ δικασταὶ τὸν στέφανον τῷ Σοφοκλεῖ νέῳ ὄντι ἐπένειμαν, ὅθεν ἡττηθεὶς ὁ Αἰσχύλος τὴν πατρίδα ἔλιπε.— Θεσσαλός τις τὸν περικλυτὸν Βουκέφαλον τῷ Φιλίππῳ προσήγαγε.

163ᵉ Exercice.

Suite du régime des verbes actifs (*Grammaire*, § 478).

Ἡ ἀρετὴ μόνη ἡμᾶς ἐπὶ (ou πρὸς) τὴν εὐδαιμονίαν τὴν ἀληθινὴν ἄγει. — Ὁ Σωκράτης πάντας τοὺς νέους ἐφ' ἑαυτὸν (ou πρὸς ἑαυτὸν) ἐπήγετο. — Οἱ θεοὶ τοὺς Τρῶας καὶ τοὺς Ἕλληνας πρὸς (ou ἐπὶ) τὴν μάχην παρεκάλουν. — Ἡ τῶν ἀνθυπάτων ὠμότης πολλάκις τὰς ἐπαρχίας πρὸς (ou ἐπὶ) ἀπόστασιν προέτρεπε. — Ἡ σύγκλητος ἅπαντας τοὺς πολίτας πρὸς (ou ἐπὶ) τὴν τῆς πατρίδος ἄμυναν ἐκάλεσε.— Ὁ κοῦφος τῶν μελισσῶν βόμβος ἡμᾶς πρὸς (ou ἐπὶ) ὕπνον παρακαλεῖ.— Ἡ τοῦ τόπου βεβαιότης καὶ ἐπιούσης βοηθείας ἐλπὶς τοὺς Γάλλους πρὸς (ou ἐπὶ) καρτερὰν ἄμυναν προῆγε. — Ἡ Τόμυρις αὐτὴ τοὺς στρατιώτας πρὸς (ou ἐπὶ) φόνον παρώξυνε.— Παρακάλει τοὺς νέους πρὸς (ou ἐπὶ) συγγνώμην ἀδικημάτων.— Ἡ μὲν τῶν ὑλῶν καὶ τῶν ἀγρῶν ἡσυχία ἡμᾶς πρὸς (ou ἐπὶ) μελέτην παρακαλεῖ· ὁ δὲ τῶν πόλεων θόρυβος καὶ κλύδων πρὸς (ou ἐπὶ) ἐνέργειαν προτρέπει. — Πλεονεξία ἀνθρώπους πρὸς (ou ἐπὶ) ἅπαντα τὰ ἀδικήματα προσάγεται. — Πρῶτος ὁ Σωκράτης τὴν φιλοσοφίαν πρὸς (ou ἐπὶ) τὴν τοῦ ἀνθρώπου γνῶσιν ἀνεκάλεσε. — Χρηστὴ νεότης ὑμᾶς πρὸς (ou ἐπὶ) ἀξιότιμον γῆρας ἄξει. — Τὰ ἔτη καὶ ὁ τοῦ κράτους κόρος τὸν Διοκλητιανὸν πρὸς (ou ἐπὶ) τὸν ἰδιωτικὸν βίον προέτρεψαν. — Ἀμφίβολός τις χρησμοῦ ἀπόκρισις τὸν Κροῖσον πρὸς (ou ἐπὶ) τὸν πόλεμον ἐκεῖνον παρώρμησεν, ὃς τὴν τῶν Λυδῶν δύναμιν διέλυσε.

164ᵉ Exercice.

Suite du régime des verbes actifs (*Grammaire*, § 479).

1. Ὁ Φοῖβος ἐμὲ τῶν τέκνων ἐστέρησε. — Ὁ Θεὸς τὸν κόσμον θαυμάτων πεπλήρωκεν. — Ὀδυσσεὺς οἴνου Πολύφημον τὸν Κύκλωπα ὑπερενέπλησεν. — Ὁ Ῥωμύλος δόξης τοὺς Ῥωμαίους ἐκόρεσε. — Τὰ πάθη ταραχῆς καὶ λύπης τὸν βίον ἐμπίπλησι. — Ὁ Βέῤῥης τὴν Σικελίαν τῶν τιμιωτάτων χρημάτων ἀπεστέρησεν. — Ὁ Λύσανδρος τοὺς Σπαρτιάτας μακροῦ πολέμου καὶ χαλεποῦ ἀπήλλαξε. — Θάνατος πάντων κακῶν τὸν

δίκαιον ἀπαλλάσσει. — Ὁ πόλεμος ἀγαθῶν πολιτῶν τὴν πόλιν ἐστέρησε. — Τὸ τοῦ Ἀλεξάνδρου ὄνομα μόνον τοὺς Πέρσας φόβου ἐνεπίμπλη. — Οἱ Ῥωμαῖοι πολλοὺς δημοτικοὺς ἄνδρας τῆς ὑπατείας ἠξίωσαν.

2. Αἱ τοῦ τυράννου ἀπειλαὶ οὐκ ἀποτρέψουσι τὸν σοφὸν ἀπὸ τῶν δεόντων. — Οἱ Ῥωμαῖοι τοὺς βαρβάρους ἀπὸ τῶν τῆς ἀρχῆς ὅρων πολὺν χρόνον ἀπεῖρξαν. — Τοὺς κακοὺς τῶν ἀγαθῶν χωρίζετε. — Οἱ κύνες τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπείργουσιν. — Εὐλάβεια ἀπὸ τοῦ κινδύνου ἡμᾶς φυλάσσει. — Ὁ Θεός ποτε τὸν δίκαιον ἀπὸ τοῦ ἀσεβοῦς χωρίσει. — Ὁ Δημοσθένης τὸ πλεῖστον τῆς Ἑλλάδος μέρος ἀπὸ τῆς τῶν Μακεδόνων συμμαχίας ἀπέτρεψε. — Πάγος φύλλα ἀπὸ δένδρων ἀπολύει. — Ὁ νόμος τὸν Λύσανδρον ἀπὸ τῆς βασιλείας ἀπεῖργε. — Οἱ δειλοὶ τῶν ἀνθρώπων θανάτου διάνοιαν ἀφ' ἑαυτῶν ἀπείργουσι. — Ἕκτορ, σὺ μόνος τὰς ἡμετέρας γυναῖκας καὶ τοὺς παῖδας ἀπὸ τῶν Ἑλλήνων φυλάσσεις. — Ἡ μὲν δάφνη, ἔφασκον οἱ παλαιοί, τὸν κεραυνὸν ἀπὸ τῆς τῶν ποιητῶν κεφαλῆς ἀπείργει· ὁ δὲ κισσὸς τὸν νικητὴν ἀπὸ τῶν τοῦ φθόνου βασκανιῶν φυλάσσει. — Ὦ θεοί, ταύτην τὴν συμφορὰν ἀφ' ἡμῶν ἀποτρέπετε.

165e Exercice.

Suite du régime des verbes actifs.

1. Αἱ μέλισσαι τὸν χυλὸν ἐκ τῶν ἀνθέων ἐκλέγουσι. — Ἐκ τῶν παλαιῶν γραμμάτων τὰ πλεῖστα τῶν μαθημάτων ἠρυσάμεθα. — Πάντες ἐκ τοῦ αὐτοῦ ἀρχεγόνου τὸ γένος ἕλκομεν. — Ὁ χρόνος τὰ ὑμέτερα εὐεργετήματα οὔποτε ἐκ τῆς ἡμετέρας μνήμης ἀφανίσει. — Κλεάνθης ὁ φιλόσοφος ἐβιότευεν ὕδωρ ἀντλῶν ἐκ φρέατος. — Οἱ κακοὶ μόνον ἐκ τῶν τῆς πόλεως συμφορῶν κέρδος λαμβάνουσι. — Ἀφανίζοιεν οἱ θεοὶ ἐξ ἡμῶν τὴν ἔριδα καὶ τὸν πόλεμον. — Οἱ τοῦ Ἀσκληπιοῦ υἱοὶ τὸ βέλος ἐκ τοῦ τραύματος ἀνέσπασαν. — Ὁ σοφὸς ἐκ τῶν ἐχθρῶν κέρδος λαμβάνει. — Ἡ τύχη τὸν Κικέρωνα ἐξ ἀγνώστων γονέων ἔφυσε. — Οἱ τιμηταὶ ἐκ τοῦ τῶν βουλευτῶν καταλόγου ἐξήλειφον οὓς ἐκείνης τῆς τιμῆς ἀπηξίουν. — Ἐκ τῆς τῶν ἀγαθῶν ἀνδρῶν συνουσίας μεγάλην ὠφέλειαν λαμβάνομεν.

2. Ὁ Φίλιππος παρὰ τοῦ Ἐπαμινώνδου τὴν τοῦ πολέμου τέχνην ἐμεμαθήκει. — Σοφισταί τινες ἀργύριον μέγα παρὰ τῶν βασιλέων καὶ τῶν ἰδιωτῶν ἐλάμβανον. — Ὁ σοφὸς παρὰ τοῦ χρόνου τὸ τῶν κακῶν τέλος προσδοκᾷ. — Οἱ θεοὶ παρὰ τῶν θνητῶν δῶρα ἐδέχοντο. — Ὀδυσσεὺς παρὰ τῶν Ἑλλήνων τὰ Ἀχιλλέως ὅπλα παρεδέξατο. — Ὁ Φιλοκτήτης οὐδὲν ἔτι παρὰ τοῦ τῶν ἀνθρώπων οἴκτρου ἤλπιζε. — Ὁ Θεὸς παρὰ τῶν ἀνθρώπων εὐχὴν ἀπαιτεῖται. — Ὁ Ξέρξης πολὺν στόλον παρὰ τῶν Τυρίων παρειλήφει. — Πρωσδοκάτω ὁ ἐπίορκος παρὰ μὲν τῶν θεῶν τιμωρίαν, παρὰ δὲ τῶν ἀνθρώπων καταφρόνησιν. — Ὁ Δημοσθένης παρὰ τοῦ πατρὸς ἱκανὰ

χρήματα εἰλήφει. — Τὰ πράγματα παρ' αὐτοπτῶν ἠκούσαμεν. — Οἱ θεοὶ τὰ παρὰ τῶν ὑποκριτῶν δῶρα οὐ προσδέχονται. — Παρὰ γνωρίμων συγγραφέων οἱ ἐντυγχάνοντες πάντα εὐμενέστερον προσδέχονται. — Ὁ Κίμων ὁ Ἀθηναῖος παρὰ τοῦ πατρὸς Μιλτιάδου ἔνδοξον ὄνομα καὶ πεντήκοντα ταλάντων τίμημα μόνον παρειλήφει.

166e Exercice.

Suite du régime des verbes actifs (*Grammaire*, § 480).

Ἐλεῶ τῆς ἐρημίας (ou ἐπὶ τῇ ἐρημίᾳ) τύραννον ὃς κόλακας μὲν πολλοὺς, φίλον δὲ οὐδένα ἔχει. — Θαυμάζωμεν τὸν θεὸν τῆς δυνάμεως καὶ τῆς φιλανθρωπίας (ou ἐπὶ τῇ δυνάμει καὶ τῇ φιλανθρωπίᾳ). — Ἅπαντες οἱ συγγραφεῖς τοὺς Σπαρτιάτας ἐπὶ τῇ ἀνδρείᾳ καὶ εὐταξίᾳ (ou τῆς ἀνδρείας καὶ εὐταξίας) ἐπῃνέκασι. — Ὁ ἄγροικος τὸν ἀστὸν ζηλοῖ τοῦ ῥᾳδίου βιότου (ou ἐπὶ τῷ ῥᾳδίῳ βιότῳ). — Οἱ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους τῆς ἐν Μαραθῶνι νίκης (ou ἐπὶ τῇ ἐν Μαραθῶνι νίκῃ) ἐμακάρισαν. — Ὁ Φίλιππος τὸν Ἀλέξανδρον τᾶς προπετείας (ou ἐπὶ τῇ προπετείᾳ) ἐμέμψατο. — Τίς οὐκ ἂν οἰκτείροι Πρίαμον καὶ Ἑκάβην τῆς τῶν τέκνων ἀποβολῆς (ou ἐπὶ τῇ τῶν τέκνων ἀποβολῇ); — Ἅπαντες οἱ συγγραφεῖς τὸν μὲν Τραϊανὸν καὶ τὸν Μάρκον Αὐρήλιον τῶν ἀρετῶν (ou ἐπὶ ταῖς ἀρεταῖς) ἐπήνεσαν· τὸν δὲ Κόμμοδον καὶ τὸν Καρακάλλαν ἅπαντες τῆς ὠμότητος (ou ἐπὶ τῇ ὠμότητι) ἠτίμασαν. — Οἱ μὲν Πέρσαι τὸν Ἀλέξανδρον τῆς ἡμερότητος καὶ τῆς μετριότητος (ou ἐπὶ τῇ ἡμερότητι καὶ τῇ μετριότητι) ἐπῄνουν· οἱ δὲ Μακεδόνες αὐτὸν τοῦ φρονήματος (ou ἐπὶ τῷ φρονήματι) πικρῶς ἔψεγον. — Γέρον, ζηλοῦμέν σε τῆς εὐδαιμονίας καὶ ἡσυχίας (ou ἐπὶ τῇ εὐδαιμονίᾳ καὶ ἡσυχίᾳ). — Τοὺς παλαιοὺς γλυφεῖς τῆς ὑπερβαλλούσης τέχνης (ou ἐπὶ τῇ ὑπερβαλλούσῃ τέχνῃ) θαυμάζομεν. — Ὦ Ἀθηναῖοι, ἔφασκεν ὁ Φίλιππος, ὑμᾶς ζηλῶ οὐ τῶν τειχῶν (ou ἐπὶ τοῖς τείχεσι), οὐ τῶν στρατιωτῶν (ou ἐπὶ τοῖς στρατιώταις), οὐ τῶν στόλων (ou ἐπὶ τοῖς στόλοις), ἀλλὰ τοῦ Δημοσθένους (ou ἐπὶ τῷ Δημοσθένει). — Οἱ θεοὶ τὸν Μάριον τοῦ γήρως (ou ἐπὶ τῷ γήρᾳ) ᾤκτειραν.

167e Exercice.

Suite du régime des verbes actifs (*Grammaire*, § 481).

Ὁ ἄνθρωπος οὐδὲν ἀποκομίζει ταύτης τῆς γῆς (ou ἀπὸ ταύτης τῆς γῆς). — Συγχαίρω ὑμῖν τῆς εὐδαιμονίας (ou ἐπὶ τῇ εὐδαιμονίᾳ). — Ἡ παρθένος δάκρυα τῶν παρειῶν (ou ἀπὸ τῶν παρειῶν) ἀπέβαλε. — Ἐκκρίνετε τὸν σῖτον τὸν ἀγαθὸν τῆς αἴρας (ou ἐκ τῆς αἴρας). — Ὁ Χείρων κένταυρος τὸν τοῦ Πηλέως υἱὸν τῷ Φοίνικι συνεδίδαξε. — Ἡ

σύγκλητος ἅπαντας τοὺς Ἑλληνικοὺς φιλοσόφους τῆς πόλεως (ou ἐκ τῆς πόλεως) ἐξέβαλε. — Οἱ παλαιοὶ τὰ σπουδῆς ἀξιώτατα πράγματα ἀλεκτρυόνος φωνῆς (ou ἐξ ἀλεκτρυόνος φωνῆς) ἢ ὄρνιθος ὀρέξεως (ou ἐξ ὄρνιθος ὀρέξεως) ἐξήρτων. — Οἱ Ῥωμαῖοι τοὺς Καρχηδονίους τοῖς Νομάσιν ἐπολέμωσαν. — Ὁ Σωκράτης συνεζήτει τοῖς μαθηταῖς τὴν ἀλήθειαν. — Ὁ ὕπατος τὸν ὅρκον τῶν στρατιωτῶν (ou ἀπὸ τῶν στρατιωτῶν) ἀπελάμβανε. — Οἱ νικήσαντες τὴν δεκάτην τῶν τοῦ ἡσσηθέντος χρημάτων (ou ἐκ τῶν τοῦ ἡσσηθέντος χρημάτων) ἐξέλαβον. — Δεῖ ἐκλέγειν τῶν ποιητῶν (ou ἐκ τῶν ποιητῶν) τὰς καλλίστας γνώμας καὶ τὰς εἰς βίου διαγωγὴν ὠφελιμωτάτας. — Οἱ πρῶτοι ἄνθρωποι πῦρ τῶν χάλικος φλεβῶν (ou ἐκ τῶν χάλικος φλεβῶν) ἐξέτριψαν. — Ἁπασῶν τῶν τεχνῶν τὰ στοιχεῖα τῶν παλαιῶν (ou παρὰ τῶν παλαιῶν) παρειλήφαμεν. — Αἱ Νύμφαι ταῖς Μούσαις τὰς χεῖρας συνέπλεξαν. — Ἀπέῤῥιψεν ὁ ποταμὸς τῶν ὑδάτων (ou ἀπὸ τῶν ὑδάτων) πολλὰ ἀνθρώπων καὶ ἵππων πτώματα. — Θεός τις τῆς ὑδρίας (ou ἐκ τῆς ὑδρίας) ποταμὸν ἐκχέει. — Αἱ μέλισσαι τὴν νεκρὰν τῆς κυψέλης (ou ἐκ τῆς κυψέλης) ἐκκομίζουσι. — Πεῖνα τῆς ὕλης (ou ἐκ τῆς ὕλης) τοὺς λύκους ἐξωθεῖ. — Ὁ Ἡρακλῆς τὸν Ἀνταῖον γίγαντα πέδου (ou ἐκ πέδου) ἐξῆρε. — Οἱ Ῥωμαῖοι τῷ Ἱέρωνι, Συρακουσῶν τυράννῳ, συμμαχίαν συνῆψαν.

168ᵉ Exercice.

Suite du régime des verbes actifs (*Grammaire*, § 482).

Ἅπαντες οἱ ἄνθρωποι τὴν τύχην ἀδικίας (ou τὴν ἀδικίαν τῆς τύχης) κατηγοροῦσι. — Οἱ Ἀθηναῖοι τῶν στρατηγῶν νικησάντων θάνατον κατέγνωσαν. — Οἱ σύμμαχοι τὸν Παυσανίαν προδοσίας (ou τὴν προδοσίαν τοῦ Παυσανίου) κατηγόρησαν. — Οἱ δικασταὶ τὸν Μάριον στάσεως ἀπέλυσαν. — Οἱ Ἀθηναῖοι τῶν συκοφαντῶν φυγὴν κατεγίγνωσκον. — Ὁ Δημοσθένης τὸν Αἰσχίνην συκοφαντίας καὶ ψεύδους ἐξήλεγξε. — Οἱ ἐπιγενόμενοι τὸν Σωκράτην ἀσεβείας ἀπολελύκασι. — Φιλόσοφός τις τυράννῳ τινὶ ἔλεγε· « Σὺ μὲν θάνατόν μου καταδικάζεις· ἡ δὲ φύσις καὶ σοῦ ἐκ πολλοῦ κατέγνωκε. » — Δοῦλός τις τοὺς υἱοὺς τοῦ Βρούτου ὑπατεύοντος προδοσίας κατηγόρησε (ou τῶν υἱῶν τοῦ Βρούτου ὑπατεύοντος προδοσίαν κατηγόρησε). — Οἱ Ἀθηναῖοι τὸν Νικίαν βραδυτῆτος καὶ ἀπορίας (ou τοῦ Νικίου βραδυτῆτα καὶ ἀπορίαν) κατηγόρουν. — Ὁ Ἄρειος πάγος τὸν Δημοσθένην δωροδοκίας ἐξήλεγξε, δῶρα παρ' Ἁρπάλου λαβόντα, καὶ πεντήκοντα ταλάντων αὐτὸν ἐτίμησε. — Ἡ τῶν Ῥωμαίων ἀχαριστία οὐκ ἀπολύει τὸν Κοριολανὸν τοῦ ἀσεβήματος. — Ὁ Ἄρειος πάγος τὸν Ὀρέστην μητροκτονίας ἐδίκασε. — Τοῦ Ἰξίονος κατέγνωσαν οἱ θεοὶ κόλασιν θανάτου χείρω. — Ὁ λύκος τὴν ἀλώπεκα κλοπῆς (ou τῆς

ἀλώπεκος κλοπὴν) κατηγόρει. — Ἡ φήμη ἐνίοτε τῶν μὲν ἀναιτίων καταγιγνώσκει, τοὺς δ' αἰτίους τῶν μεγίστων ἀδικημάτων ἀπολύει. — Εὐτυχία καὶ δυστυχία ἀνθρώπους ὁμοίως κουφότητος ἢ μαλακίας ἐλέγχουσι. — Πάντες οἱ λαοὶ τῶν προδοτῶν καὶ τῶν αὐτομόλων θάνατον κατεγνώκασι. — Τὸ τοῦ κόσμου θέαμα τοὺς ἀσεβεῖς τυφλότητος καὶ μανίας ἐλέγχει. — Οἱ ἐπιγενησόμενοι ἅπαντας τοὺς λαοὺς ἀγνωμοσύνης δικάσουσι καὶ κουφότητος.

169e Exercice.

Suite du régime des verbes actifs (*Grammaire*, § 483).

Ἡ φύσις ζῷά τινα στεγανὸν δέρμα ἐνδέδυκε. — Ἀνάγκη τὰς πρώτας τέχνας τοὺς ἀνθρώπους ἐδίδαξε. — Ἡ τῶνδε τῶν τόπων ὄψις ὑπομιμνήσκει με τὰς κατὰ τὴν ἐμὴν παιδίαν εὐδαίμονας ἡμέρας. — Ὁ Ἀννίβας οὐκ ἔπρασσε λύτρα τοὺς Ἰταλικοὺς αἰχμαλώτους. — Οἱ στρατιῶται ἅπαντα τὰ ἱμάτια τὸν Ἰησοῦν ἐξέδυσαν. — Πάντα ὑπομιμνήσκει ἡμᾶς τὰς τοῦ Θεοῦ εὐεργεσίας. — Τύχη τις τοὺς ἀνθρώπους τὴν τοῦ μάγνητος ἀρετὴν ἐδίδαξε. — Τὰ πάθη πολλάκις τὴν ἀλήθειαν ἡμᾶς κρύπτει. — Αἴτει τὸν θεόν, οὐ τὸν πλοῦτον καὶ τὴν δόξαν, ἀλλὰ τὴν σοφίαν. — Ὁ Πυθαγόρας τοὺς μαθητὰς τὴν μετριότητα ἐδίδασκε. — Ὁ Ἀλέξανδρος τὸν Ἀβδαλώνυμον βασιλικὴν πορφύραν αὐτὸς ἐνέδυσε. — Οἱ σοφισταὶ ἀργύριον μέγα τοὺς μαθητὰς ἐξέπρασσον. — Ὁ Πρίαμος τὸν Ἀχιλλέα τὸν τοῦ Ἕκτορος υἱοῦ νεκρὸν ἀπῄτει. — Τὸν ὁδοιπόρον ὁ ἥλιος τὴν χλαῖναν ἐξέδυσε. — Οἱ δυνατοὶ τοὺς νέους τῶν δούλων τίμια ἱμάτια ἐνέδυον. — Ἡ φύσις μεγάλα μυστήρια ἡμᾶς κρύπτει. — Ὁ Ἀπόλλων, φυγὰς ὤν, τοὺς ποιμένας τὴν τῶν ἐπῶν τέχνην ἐδίδασκε. — Οἱ Ταραντῖνοι Πύῤῥον, τὸν τῆς Ἠπείρου βασιλέα, βοήθειαν ᾔτησαν. — Τί με αἰτεῖτε; — Ὁ Κάτων τοὺς Ῥωμαίους τὴν τῶν προγόνων ἀφέλειαν καὶ ἀφιλοχρηματίαν καὶ τὰς ἄλλας ἀρετὰς διηνεκῶς ὑπεμίμνησκε. — Αἱ Τρωάδες γυναῖκες πολυτελῆ πέπλον τὴν Ἀθηνᾶν ἐνέδυσαν.

170e Exercice.

Régime des verbes transitifs indirects ou verbes neutres (*Grammaire*, § 484).

Αἱ μονομαχίαι τοῖς Ῥωμαίοις διαφερόντως ἤρεσκον. — Οἱ κακοὶ πολῖται μόνοι τοῖς νόμοις ἀπειθοῦσι. — Ἡ Ἑλλὰς εὐκλεῶς πάσαις ταῖς τῶν Περσῶν δυνάμεσιν ἀντέστη. — Πᾶς τις ἡμῶν πειθαρχεῖ τινι. — Ἅπασα ἡ Ἑλλὰς τοῖς Ὀλυμπικοῖς ἀγῶσι παρῆν. — Οἱ ἀκρατεῖς τῇ γαστρὶ δουλεύουσι. — Οἱ Δελφοὶ τῷ Αἰσώπῳ ἐπεβούλευσαν. — Ἡ Μακεδονία τῇ τοῦ Ἀλεξάνδρου πλεονεξίᾳ οὐκ ἐπήρκει. — Οὐδεὶς μητρὸς εὐχαῖς καὶ δάκρυσιν ἀντιτείνει. — Οἱ ἡττηθέντες πᾶσι τοῖς τῶν νικησάντων ῥητοῖς

συγκατέβησαν. — Ὁ εὐγενὴς ἀνὴρ καὶ ἐλεήμων τοῖς πτωχοῖς ἐπαρκεῖ. — Εὐταξία, δίκη, ἐγκράτεια ἅπασι τοῖς δήμοις πρέπουσι. — Ὁ Πομπήϊος σχεδὸν ἅπασι τοῖς τῆς γῆς λαοῖς ἐπεπολεμήκει. — Ἀποθνήσκει ὁ Μιθριδάτης, οὐ τοῖς Ῥωμαίοις, ἀλλὰ τῇ τῶν θεῶν γνώμῃ εἴκων. — Ἡ ὑπερήφανος Νιόβη, ἡ τὴν Λητὼ καθυβρίσασα, τῇ τῆς θεᾶς τιμωρίᾳ ὑπέπεσε. — Ἅπαντα τὰ κακὰ ἡμῖν ἅμα προσπίπτει. — Ὁ σοφὸς οὐ προσέχει τοῖς τῶν κακηγόρων λόγοις. — Οἱ ἀψευδεῖς τῶν φίλων πολλάκις τοῖς βασιλεῦσιν ἀπεχθραίνονται. — Τὸ τῶν Ἑλλήνων ἦθος τοῖς Ῥωμαίοις ἀπήρεσκε. — Ὁ Τιβέριος τοῖς μὲν θεοῖς οὐκ ἐπίστευε, τοῖς δὲ μάντεσι καὶ ἀστρολόγοις καὶ μάλα. — Πόλεμος τοῖς Λακεδαιμονίοις ἐπιτήδευμα μόνον ἐλευθέρου ἀνδρὸς ἄξιον ἐδόκει εἶναι.

171ᵉ Exercice.

Suite du régime des verbes transitifs indirects ou verbes neutres
(*Grammaire*, § 485).

1. Ἡ πόλις ὅπλων καὶ στρατιωτῶν γέμει. — Ἅπαντες οἱ τῆς Ἑλλάδος δῆμοι τοῦ ἀπὸ τῆς Ἀττικῆς μαρμάρου ἔχρῄζον. — Τὰ πτώματα ἤδη σκωλήκων ζέει. — Αἱ Ἀθῆναι ἀνθρώπων καὶ χρημάτων ἠπόρουν. — Ὁ Ἀναξαγόρας οὔποτε τῶν πολιτικῶν πραγμάτων ἐφρόντισεν. — Οἱ Λακεδαιμόνιοι ἐμπορίας καὶ γεωργίας ἠμέλουν. — Οἱ Ῥωμαῖοι, τοὺς Πάρθους διώκοντες, ὕδατος ἠπόρουν. — Οἱ ἀσθενεῖς καὶ οἱ γέροντες ἡλίου καὶ θερμοῦ χρῄζουσι. — Ὁ καμὼν ὁδοιπόρος σκιᾶς καὶ ψύχους ἐπιθυμεῖ. — Οἱ δυνατοὶ χαλεπῶς βίαν κατέχουσι. — Διαφέρει προθυμία ἀθυμίας. — Αἱ ἡμέτεραι ἅλῳ σίτων πολλῶν γέμουσι. — Οἱ ἄνθρωποι, ὅσοι τῶν μικρῶν ἁμαρτημάτων οὐκ ἀπέχονται, ταχὺ μειζόνων οὐκ ἀφέξονται. — Ἀρετὴ συκοφαντίας περιέσται.

2. Τὰ μέγιστα κακὰ πολλάκις ἐξ αὐθαδείας συμβαίνει. — Ἀηδία ἐξ ὁμαλότητος ἐγένετο. — Οἱ τῆς Σπάρτης βασιλεῖς ἐκ τοῦ Ἡρακλέους ἐγεγόνεισαν. — Πάντες ἔφευγον ἐκ ταύτης τῆς ἀναστάτου χώρας. — Μέλαν καὶ διεφθορὸς αἷμα ἐκ τῆς πληγῆς ἐφέρετο. — Ἡ τῆς Σπάρτης καὶ τῶν Ἀθηνῶν ἔχθρα ἐκ τῆς τοῦ γένους μάλιστα διαφορᾶς ἐγίγνετο. — Ὁ πολέμιος ταχὺ ἐκ τῆς ἡμετέρας χώρας ἀπῆλθεν. — Ὕδωρ ἐκ τῶν τῆς πέτρας ῥωγμῶν ἔσταζε. — Πάντα τὰ ἅρματα ἀπὸ τῶν βαλβίδων καθάπαξ ὁρμᾷ. — Ἄφθονος πηγὴ ἐκ τῆς πέτρας προῤῥεῖ. — Δυσχεραίνοντες οἱ ἀκροαταὶ πάντες κατὰ μικρὸν ἐκ τοῦ ἀκροατηρίου ὑπεξεδύοντο. — Τὸ κόμμι ἐξ ἰδίου τινὸς δένδρων εἴδους στάζει. — Ἐκ μέσου τῶν Τρώων ἀφίπταται βέλος.

172e Exercice.

Suite du régime des verbes transitifs indirects ou verbes neutres (*Grammaire*, § 485).

Ὁ Ἀλέξανδρος, ἔτι παῖς ὤν, τὸν περίφημον Βουκέφαλον ἐδάμασεν, ᾧ οὐδεὶς χρῆσθαι ἐτόλμα. — Τίς ἡμῶν οὐκ ἄλγεῖ τοῖς τῆς πατρίδος κακοῖς ὥσπερ ἰδίοις; — Οἱ κακοὶ τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ ἀποχρῶνται. — Οἱ ἐπιγενησόμενοι τοῖς διωγμοῖς ἀεὶ ἐπαγανακτήσουσιν, οὓς οἱ πρῶτοι χριστιανοὶ ὑπέμειναν. — Ὁ Καῖσαρ ἐπιεικείᾳ καὶ πρᾳότητι σχεδὸν ἀεὶ ἐχρῆτο. — Οἱ Τρῶες οὐ πολὺν χρόνον τῷ τοῦ Πατρόκλου θανάτῳ ἐχάρησαν. — Παῖδες τοῖς ἐλαχίστοις ἥδονται. — Τίς λαὸς σανιδωταῖς ναῦσι πρῶτος ἐχρήσατο; — Ἡ τῶν Γράκχων μήτηρ δικαίως τοῖς παισὶν ἐσεμνύνετο. — Ὁ δῆμος τῇ τῶν σιτίων σπάνει καὶ τῇ τῶν δανειστῶν ὠμότητι ἀπηχθραίνετο. — Ὁ Ἀλέξανδρος τῇ μακρᾷ τῶν Τυρίων ἀμύνῃ ἐχαλέπαινε. — Ἅπασι μὲν τοῖς ἀνθρώποις, μάλιστα δὲ τοῖς ἀθλίοις, ὡς ἀδελφοῖς χρῆσθε. — Οἱ στρατιῶται μήκει καὶ χαλεπότητι τῆς ὁδοῦ δυσχεραίνουσι. — Ἄμφω τὼ δήμω ὁμοίως τῇ εἰρήνῃ ἐχαιρέτην. — Κέχρημαι καὶ κατακέχρημαι πᾶσι τοῖς ἀγαθοῖς ἃ οἱ θεοὶ τοῖς θνητοῖς ἀπονέμουσι, τῆς δ' εὐδαιμονίας ἄγευστος ἀποθνήσκω. — Οἱ παλαιοὶ κριοῖς καὶ καταπέλταις ἐχρῶντο. — Ὁ Σωκράτης ταῖς μώρου τινὸς λοιδορίαις οὐκ ἠχθέσθη.

173e Exercice.

Suite du régime des verbes transitifs indirects ou verbes neutres (*Grammaire*, § 486).

Πολλαὶ βλάσται τοῦ αὐτοῦ στελέχους (ou ἀπὸ τοῦ αὐτοῦ στελέχους) ἀποβλαστάνουσι. — Ἡ Ἐλευσὶς κώμη Ἀθήναις παρέκειτο. — Ἡ Περσεφόνη θεὰ τῷ ἀνδρὶ παρήδρευε. — Οἱ φίλοι οἱ γνήσιοι τοῖς δυστυχέσι προσμένουσι. — Ἡ ναῦς ἀδήλοις σκοπέλοις ἐπέπταισε. — Ἄμφω τὼ ἀντιπάλω ἅμα τοῖν ἁρμάτοιν (ou ἀπὸ τοῖν ἁρμάτοιν) ἀπεπηδησάτην. — Ὁ Σωκράτης τῷ Ἀλκιβιάδῃ συνεσκήνει καὶ πολλάκις αὐτῷ συνδιελέγετο. — Οἱ Μακεδόνες τοῖς Πέρσαις ἡττηθεῖσι καὶ ἀτάκτως φεύγουσιν ἐπέκειντο. — Ἐρειπίοις πόλεων πάλαι ἐνδόξων ἐνεβαίνομεν. — Πολλοὶ καὶ ἀτενεῖς πολέμιοι ἡμῖν ἀντιστρατοπεδεύουσιν. — Ἀετὸς ὑψηλῆς πέτρας (ou ἀφ' ὑψηλῆς πέτρας) ἐξαίφνης ἀφιπτάμενος τῇ ἀγέλῃ ἐπισκήπτει. — Ὁ ἐλέφας καὶ ὁ ῥινοκέρως τῷ τίγριδι καὶ τῷ λέοντι ἀντιτολμῶσι, καὶ ἐνίοτε αὐτοὺς νικῶσι. — Πειρίθους Θησεῖ, Ὀρέστῃ Πυλάδης, Σκιπίωνι Λαίλιος συνεβίω. — Ποιηταί, ῥήτορες, ἱστοριογράφοι, ἅπαντες οἱ ἐπιφανέστατοι τῆς Ῥώμης συγγραφεῖς Καίσαρι ἢ Αὐγούστῳ συνεχρόνησαν. — Ὁ Σπάρτακος, ὃς ἐπιπολὺ τοῖς ἀρίστοις Ῥώμης στρατηγοῖς καθ' ἑαυτὸν ἀντέστη, μονομαχοτροφείου (ou ἀπὸ μονομαχοτροφείου) ἀπεδεδράκει. — Ἡ τῶν

Ἀθηνῶν παρακμή τε καὶ αἱ συμφοραὶ δημαγωγῶν καὶ συκοφαντῶν (ou ἐκ δημαγωγῶν καὶ συκοφαντῶν) ἐξεγένοντο.

174e Exercice.

Suite du régime des verbes transitifs indirects ou verbes neutres (*Grammaire*, § 487).

Οὐκ ὀλιγωρῶ τῆς τῶν ἐμῶν φίλων εὐτυχίας. — Οἱ μαλακοὶ καὶ ῥᾴθυμοι τῶν ἀνθρώπων ἀεὶ τῶν καλλίστων καιρῶν ὑστεροῦσιν. — Ἅπασαι αἱ μέτριαι ἀσκήσεις τῷ σώματι χρησιμεύουσι. — Γαλλία, Ἱσπανία, Ἰταλία, Ἑλλὰς καὶ Ἀσία τοῦ γνωστοῦ τότε κόσμου ἐμέσευον. — Ἡ Ἀττικὴ τῇ Βοιωτίᾳ ὡμόρει. — Οἱ Πέρσαι ἐπαγγελιῶν καὶ κολακειῶν ἠφείδησαν, ὥστε τοὺς Ἀθηναίους τοῦ τοῖς Ἕλλησι συμφέροντος ἀφιστάναι. — Ποσειδῶν σοι δυσμενταίνει, τὸν Κύκλωπα Πολύφημον τυφλώσαντι. — Εὐνοεῖτε τοῖς νέοις ὅσοι τῇ τῶν καλῶν σπουδῇ ἑαυτοὺς ἐκδιδοῦσι. — Τῶν παίδων οἱ ἀγενεῖς τῆς τῶν πατέρων δόξης ἀμοιροῦσι. — Ὁ Ξέρξης τῶν τοῦ Λακεδαιμονίου Δημαράτου συμβουλιῶν ἀνηκουστήσας αἰσχρῶς ἡττήθη. — Τὸ πρῶτον ἡ τῆς Σπάρτης καὶ τῶν Ἀθηνῶν φιλοτιμία τῇ Ἑλλάδι ἐλυσιτέλησε. — Ἡμεῖς γέροντες τῶν καλῶν τόπων μεμνήμεθα, οὓς παῖδες ὄντες μεμαθήκαμεν. — Οἱ σκληροὶ τοῦ Δράκοντος νόμοι τῷ τῶν Ἀθηναίων ἤθει ἀνηρμόστουν. — Τίς ποτε δύναιτ' ἂν τῶν εὐεργεσιῶν ἀμνημονεύειν, ὅσας παρὰ τοῦ θεοῦ καὶ τῆς πατρίδος καὶ τῶν γονέων εἴληφεν;

175e Exercice.

Suite du régime des verbes transitifs indirects ou verbes neutres (*Grammaire*, § 488).

1. Ἄνυτος καὶ Μέλιτος Σωκράτην ἀποκτεῖναι μὲν ἐδύναντο, βλάψαι δ' οὔ. — Ὁ δίκαιος οὐδενὶ φθονεῖ, οὐδένα ἀδικεῖ. — Οὐκ ἄγαμαι τοὺς νέους ὅσοι τοῖς πρεσβυτέροις ἀντιλέγουσι. — Οἱ Πάρθοι οὔποτε σκοποῦ τοξεύοντες ἡμάρτανον. — Οἱ ἡττημένοι καὶ δεδεμένοι βασιλεῖς τοῦ τῶν θριαμβευόντων ἅρματος προεπορεύοντο. — Ὕβρις ὕβριν ἀμείβει, φόνος φόνον. — Ὁ Νεοπτόλεμος παρὰ τῶν Ἑλλήνων οὐ τυχὼν τῶν τοῦ πατρὸς ὅπλων, ἔλιπε τὸν στρατόν. — Οἱ γεωργοί, λήξαντες τῶν πόνων, ἱλαρῶν ᾀσμάτων ἄρχουσι. — Ὅστις τῶν κακῶν φείδεται, τοὺς ἀγαθοὺς βλάπτει. — Οἱ τοὺς ἄλλους ἀνθρώπους εὐεργετοῦντες μόνοι τῷ ὄντι μεγάλοι τε καὶ εὐδαίμονές εἰσι. — Οἱ Ἕλληνες τὴν Τροίαν καθελόντες τὴν τῶν ἡττημένων μοῖραν ᾤκτειραν. — Τίς οὐκ ἐπισκήψειεν ἂν πατράσιν ὅσοι τῆς τῶν τέκνων παιδείας ἀμελοῦσι; — Ὁ Δημοσθένης τὰς Ἀθήνας λείπων· « Ἀθηνᾶ, ἔφη, τί τρισὶ ζώοις χαίρεις τοῖς χαλεπωτάτοις, τῇ γλαυκί, τῷ ὄφει, τῷ δήμῳ; »

2. Ὁ Σάτυρος μουσικὸς, ἀκούσας ποτὲ τοῦ Ἀρίστωνος φιλοσόφου, οὐκέτι τοῦ αὐλοῦ ἅπτεσθαι ἠθέλησε. — Πολλὰ ζῶα ἐπιγιγνομένου τοῦ χειμῶνος αἰσθάνεται. — Οἱ Λακεδαιμόνιοι, τῶν τῆς ποιήσεως θελγήτρων ἀναίσθητοι, οὔτε τραγῳδιῶν οὔτε κωμῳδιῶν (ou οὔτε τραγῳδίας οὔτε κωμῳδίας) ἤκουον. — Δέδοικα ζῷον μὲν ἅπαξ αἵματος, δῆμον δὲ ἅπαξ ἀκολασίας γευσάμενον. — Οἱ παῖδες πάνθ' ὁρᾷν, πάντων ἅπτεσθαι θέλουσιν. — Ὁ Ἀλέξανδρος, σίτου ἀπορῶν, τῆς τῶν καμήλων καὶ ἄλλων ὑποζυγίων σαρκὸς ἐγεύσατο. — Οἱ τοῦ Δημοσθένους λόγοι οὐκ ἐλλυχνίου ὄζουσιν, ὡς Πυθέας ἔφασκεν, ἀλλὰ λογισμοῦ. — Φεύγουσιν ἵπποι τὸ πρῶτον τῆς καμήλου ὀσφραινόμενοι. — Τὰ δειλότατα τῶν ζώων τοῖς τῶν τέκνων ἁπτομένοις ἐπεμβάλλει. — Ἡ ψυχὴ τῶν ἡδονῶν ἅπαξ γευσαμένη, καινῶν ἐπιθυμεῖ. — Διονύσιος τὴν ἀλήθειαν Πλάτωνος πρώτου ἤκουσε. — Ὁ Πύῤῥος τοῦ Πριάμου καταβεβλημένου καὶ ἱκετεύοντος ἐδράξατο.

176ᵉ Exercice.

Suite du régime des verbes transitifs indirects ou verbes neutres (*Grammaire*, § 488).

Πᾶσαι κακίαι ἀγνωμοσύνῃ ἕπονται. — Ὁ Μέμνων, τῷ Ἀλεξάνδρῳ πολεμῶν, στρατιώτην τινὰ ἐπάταξεν, ὃς τὸν Μακεδόνων βασιλέα κακῶς ἔλεγε. — Ὁράτιος ὁ Κόκλης μόνος παντὶ τῷ πολεμίῳ στρατῷ ἐμαχέσατο. — Ὁ Σωκράτης, θάνατον προσδοκῶν, τοῖς φίλοις ἡσύχως συνδιελέγετο. — Μαχέσθωσαν οἱ στρατιῶται οὐ μόνον τοῖς πολεμίοις, ἀλλὰ καὶ πείνῃ καὶ δίψῃ. — Μαλακία τὸ πλεῖστον εὐτυχίᾳ ἕπεται. — Τοῖς ἀγαθοῖς ὁμιλοῦντες, αὐτοὶ γενήσεσθε ἀγαθοί. — Τὸ θεῖον τοῖς δικαίοις τῶν ἀνθρώπων ὑπουργεῖ. — Οἱ Λακεδαιμόνιοι τὸν Ἀγησίλαον ἔπεμψαν τοῖς Αἰγυπτίοις βοηθήσοντα. — Ὁ Σωκράτης τῷ Ξενοφῶντι ἀπαντήσας, νέῳ τε καὶ καλῷ ὄντι, οὐκέτι αὐτοῦ ἀπηλλάχθη. — Κακοδαίμων ὅστις φίλοις βοηθεῖν οὐ δύναται. — Ὁ Ἀλέξανδρος τὸν Παρμενίωνα δεινῶς ἐπόθησεν, ὃς αὐτῷ ἀεὶ ἠκολουθήκει. — Ὅμηρος τοὺς παλαιοὺς ἥρωας τοῖς θεοῖς ποιεῖ μαχομένους. — Λύκων καὶ ἄλλων ὠμοφάγων ζώων ἀγέλαι τῷ στράτῳ ἠκολούθουν. — Αἱ Ἑστιάδες τῆς θανατώσεως ἀπολύειν ἐδύναντο τοὺς κατακεκριμένους οἷς ἀπήντων. — Ὁ Καῖσαρ πάσας μὲν τὰς πόλεις εἷλεν αἷς ἐπεχείρησε, πάντας δὲ τοὺς πολεμίους ἐνίκησεν οἷς ἐμαχέσατο. — Πηλείδη, τῷ Ἀγαμέμνονι διαλλαγεὶς, καὶ τὰ σὰ ὅπλα ἀναλαβὼν τοῖς Ἕλλησι καταβεβλημένοις βοήθει. — Μῦς τις λέοντι ἀπαντήσας, αὐτὸν ταπεινῶς τὸν βίον ᾔτησε. — Ἡ Ῥωμαία σύγκλητος οὔποτε πολεμίῳ νικῶντι καὶ τὸ τῆς Ἰταλίας πέδον πατοῦντι ἐσπένδετο. — Κάτων ὁ Τιμητικὸς τῇ τῶν ἡλικιωτῶν πολυτελείᾳ καὶ διαφθορᾷ ἐπολέμει.

177e Exercice.

Suite du régime des verbes transitifs indirects ou verbes neutres (*Grammaire*, § 489).

Ὁ τῶν Συρακουσίων ἁβρὸς καὶ φιλήδονος βίος τῷ Πλάτωνι (ou τὸν Πλάτωνα) οὐκ ἤρεσε. — Οἱ Σκύθαι ψῦχος καὶ λιμὸν (ou πρὸς τὸ ψῦχος καὶ τὸν λιμὸν) ἐκαρτέρουν. — Ἡ τοῦ Γάλβου αὐστηρία καὶ φιλαργυρία τοῖς πραιτωριανοῖς (ou τοὺς πραιτωριανοὺς) ἀπήρεσαν. — Οἱ Γάλλοι, μεγάλοι ὄντες καὶ ῥωμαλέοι, τὴν μικρὰν τῶν Ῥωμαίων ἡλικίαν (ou τῆς μικρᾶς τῶν Ῥωμαίων ἡλικίας) κατεφρόνουν. — Ὁ Ἀλέξανδρος τῶν τοῦ Ἀριστοτέλους διδαγμάτων (ou τὰ τοῦ Ἀριστοτέλους διδάγματα) ἀεὶ ἐμνημόνευσε. — Τοῖς μὲν ἅπαξ πλανωμένοις συγγιγνώσκομεν, τοῖς δὲ ἀεὶ πλανωμένοις (ou τοὺς δὲ ἀεὶ πλανωμένους) μεμφόμεθα. — Οἱ ἀμαθεῖς καὶ οἱ ἀνόητοι τὰ μὲν ἀξιέπαινα (ou τοῖς μὲν ἀξιεπαίνοις) μέμφονται, τὰ δὲ ἐπίψογα ἐπαινοῦσι. — Ὁ σοφὸς καταφρονεῖ τούτους (ou τούτων) οἳ τὰ ἀστάθμητα ἀγαθὰ διώκοντες, τῶν παρόντων οὐκ ἀπολαύουσι. — Οἱ τῶν τριάκοντα τυράννων δορυφόροι τοὺς ἀρίστους πολίτας (ou τοῖς ἀρίστοις πολίταις) ἐλοιδόρουν. — Ἄγαμαι τοὺς Ἀθηναίους τὴν πατρίδα καὶ τὴν πόλιν λείποντας (ou τῶν Ἀθηναίων τὴν πατρίδα καὶ τὴν πόλιν λειπόντων) ὥστε δουλείαν φεύγειν. — Πολλάκις ὅστις πᾶσιν (ou πάντας) ἀρέσκειν βούλεται, οὐδενὶ (ou οὐδένα) ἀρέσκει. — Ὁ Ἀννίβας ἀρίστων Ῥώμης στρατηγῶν (ou ἀρίστους Ῥώμης στρατηγοὺς) μόνος ἐκράτησε.

178e Exercice.

Suite du régime des verbes transitifs indirects ou verbes neutres (*Grammaire*, § 490).

Ὁ Μάριος ἰδίᾳ τοῖς Κίμβροις καὶ τοῖς Τεύτοσιν ἐπιπεσὼν δύο λαμπρὰς νίκας ἐνίκησε. — Ὁ Διονύσιος, φίλων ἔρημος, ἀθλιώτατον βίον ἔζη. — Οὐδεὶς πλείους πολέμους ἐπολέμησε, πλείους μάχας ἐμαχέσατο, πλείους νίκας ἐνίκησεν ἢ ὁ Καῖσαρ. — Οἱ Ἀθηναῖοι πλείους ἑορτὰς ἢ οὐδεὶς ἄλλος τῆς Ἑλλάδος δῆμος ἑώρταζον. — Οἱ Φοίνικες πλοῦς ἔπλευσαν μακροτέρους καὶ ἐπικινδυνοτέρους ἢ οὐδεὶς ἄλλος τῶν παλαιῶν δήμων. — Ὁ Ἀννίβας τὰς Ἄλπεις διαπερῶν μεγίστους ἐκινδύνευσε κινδύνους. — Οἱ Ἕλληνες δεινὴν νόσον νοσοῦντες τὴν τοῦ Ἀγαμέμνονος ἀσέβειαν ἐξέτινον. — Ὁ Κικέρων, τοῦ θριάμβου ἀτυχήσας, ἐσχάτην λύπην ἐλυπήθη. — Οἱ βασιλεῖς νενικημένοι καὶ ἐζωγρημένοι τὸν λοιπὸν βίον διέζων δεινοτάτην δουλείαν δουλεύοντες. — Πᾶς ὁ πολέμιος στρατὸς βαθύτατον ὕπνον καθηῦδε. — Κάτων ὁ νεώτερος οὐδεμίαν σχεδὸν ἀρχὴν ἦρξε. — Αἱ πηγαὶ τούτων τῶν μακαρίων τόπων ὕδωρ καὶ μέλι ῥέουσι. — Ἡδέως κινδύνων τε μεμνήμεθα τῶν κινδυνευθέντων καὶ πόνων τῶν πο-

νηθέντων. — Ἐκεῖνα τὰ τρόπαια τὴν μνήμην διαφυλάξει τῶν τε στρατειῶν ἃς ἐστρατευσάμεθα καὶ τῶν νικῶν ἃς ἐνικήσαμεν. — Ἐπιλάθεσθε τῶν ἀδικιῶν ἃς οἱ ὑμέτεροι πολῖται ὑμᾶς ἠδίκησαν.

178e Exercice.

Régime de la voix passive (*Grammaire*, § 491).

1. Ἡ Αἴγυπτος ὑπ' ἀκρίδων ἐκπορθεῖται. — Οἱ φιλόσοφοι ὑπὸ τῶν παλαιῶν Ἑλλήνων σοφοὶ προσηγορεύοντο. — Πτολεμαῖος, ὁ τῶν Μακεδόνων βασιλεὺς, ὑπὸ τῶν Γάλλων ἐνικήθη καὶ ἀνῃρέθη, καὶ πᾶσα ἡ Μακεδονία ὑπὸ τούτων τῶν βαρβάρων ἐσυλήθη. — Ὁ ἥλιος ὑπὸ πάντων τῶν τῆς Ἀνατολῆς δήμων προσεκυνεῖτο. — Σίδηρος καὶ χαλκὸς τῇ τῶν χειρῶν προστρίψει (ou ὑπὸ τῆς τῶν χειρῶν προστρίψεως) κατατρύχονται. — Ὁ ἀγαθὸς ἀνὴρ τιμᾶται ὑπὸ πάντων. — Ὁ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης ὑπὸ τῶν αὐτῶν διδασκάλων ἐπεπαίδευντο. — Οἱ τοῦ Παρθενῶνος ζωοφόροι ὑπὸ τῶν τοῦ Φειδίου μαθητῶν πεποίηνται. — Ἀχιλλεὺς ὑπὸ Πάριδος τιτρώσκεται. — Ἡ Μασσαλία πόλις ὑπ' ἀποικίας Φοινίκων ἐκτίσθη. — Σίδηρος ὑπὸ μάγνητος ἐφέλκεται. — Ἄνθρωποι τῷ κέρδει (ou ὑπὸ τοῦ κέρδους) ῥᾳδίως δελεάζονται. — Ὁ θάμνος τῇ τοῦ γεωργοῦ χειρὶ (ou ὑπὸ τῆς τοῦ γεωργοῦ χειρὸς) ἀνώρθωται. — Οἱ Ἀθηναῖοι ὑπὸ τοῦ Ἀλκιβιάδου ἐπολεμοῦντο. — Ἡ Αἴγυπτος ὑπὸ τῆς φύσεως θαυμασίως ὠχύρωται.

2. Ἡ ὀλίγη χεὶρ τοῦ Λεωνίδου ὑπὸ τοῦ τῶν πολεμίων πλήθους (ou τῷ τῶν πολεμίων πλήθει) συνετρίβη. — Ὁ Σοφοκλῆς ῥαγὶ (ou ὑπὸ ῥαγὸς) ἀπεπνίγη. — Οἱ βασιλεῖς ὑπὸ πολλῶν δορυφόρων κακῶς φυλάσσονται. — Ὀρφεὺς ὑπὸ τῶν Θραττῶν γυναικῶν διεσπάσθη. — Ὁ μὲν κάλαμος ἐκάμφθη, ἡ δὲ δρῦς ἀνέμων φορᾷ (ou ὑπ' ἀνέμων φορᾶς) ἐξεῤῥιζώθη. — Ἡ δίκη ὑπὸ τοῦ Ἀρείου πάγου ἐδικάσθη. — Θάλασσα ὑπερμέτροις χώμασι (ou ὑπὸ χωμάτων ὑπερμέτρων) συνέχεται. — Τῆς πορφύρας ἡ χρεία ὑπὸ τῶν Φοινίκων ἐξευρέθη. — Πολὺς τιμίων βίβλων ἀριθμὸς ὑπὸ τοῦ Λουκούλλου συνείλεκτο. — Τὰ τοῦ Ὁμήρου ἔπη ᾔδετο ὑπὸ ῥαψῳδῶν τινῶν ὀνομαζομένων. — Αἱ τοῦ Οἰδίποδος συμφοραὶ ὑπὸ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἱστοροῦνται. — Ἡ τῶν μελισσῶν εὐτεχνία ὑπὸ τοῦ Οὐιργιλίου ὕμνηται. — Τῶν ποιημάτων τὰ κερτομώτατα ὑπὸ τοῦ Ἀρχιλόχου ποιητοῦ γέγραπται. — Ἡ τῶν παλαιῶν χρόνων ἀφέλεια ὑπὸ τῶν Ῥωμαίων τῆς γῆς κυρίων γενομένων κατεφρονεῖτο.

180ᵉ Exercice.

Suite du régime de la voix passive (*Grammaire*, § 491).

Κῦρος ὁ νεώτερος τῷ Λυσάνδρῳ ἔφη· « Ἐμοὶ (ou ὑπ' ἐμοῦ) οὗτοι μὲν οἱ κῆποί εἰσι διαγεγραμμένοι, ταῦτα δὲ τὰ δένδρα πεφυτευμένα. » — Ὁ τῶν ἁλιευτῶν χροῦς ἡλίῳ καὶ θαλάσσῃ (ou ὑφ' ἡλίου καὶ θαλάσσης) ἐπικαίεται. — Τὸ πέδον συνεχεῖ ὄμβρῳ (ou ὑπὸ συνεχοῦς ὄμβρου) ἐβέβρεκτο. — Ἡ βίβλος ἡ ἡμῖν ἀνεγνωσμένη σοι (ou ὑπὸ σοῦ) συγγέγραπται. — Ἡ τῶν στρατιῶν ῥώμη εὐταξίᾳ (ou ὑπ' εὐταξίας) μὲν αὐξάνεται, ἀταξίᾳ (ou ὑπ' ἀταξίας) δὲ ἐλαττοῦται. — Ὁ τῶν Τρώων στόλος δεινῇ θυέλλῃ (ou ὑπὸ δεινῆς θυέλλης) ἐσκεδάσθη. — Ἅπαντα τὰ κακὰ οἷς (ou ὑφ' ὧν) αἱ Θῆβαι βαρύνονται, σοὶ (ou ὑπὸ σοῦ) παρεσκεύασται. — Ὁ τῶν Ἑλλήνων στρατὸς τοῖς τοῦ Φιλοκτήτου ὀλολυγμοῖς (ou ὑπὸ τῶν τοῦ Φιλοκτήτου ὀλολυγμῶν) ἠνωχλεῖτο. — Πάντα ὑπὸ τῆς θείας προνοίας (ou τῇ θείᾳ προνοίᾳ) προεώραται, πάντα διατέτακται. — Ὁ ὄφις μ' ἔτυψεν, ὅς μοι (ou ὑπ' ἐμοῦ) ἐθάλφθη. — Ἡ τοῦ βασκάνου καρδία ἀνιάτῳ τινὶ κακῷ (ou ὑπ' ἀνιάτου τινὸς κακοῦ) ἐσθίεται. — Ὁ Αἰνείας φοβερῷ ἐνυπνίῳ (ou ὑπὸ φοβεροῦ ἐνυπνίου) ἐξηγέρθη. — Αἱ ὑπερβόρειοι χῶραι ὀλιγάκις ἡλίῳ (ou ὑφ' ἡλίου) καταυγάζονται. — Τοῦτο τὸ πρᾶγμά μοι (ou ὑπ' ἐμοῦ) ἐπιμαρτυρεῖται. — Τὰ τοῦ Οὐεσπασιανοῦ ἀγαθὰ φιλαργυρίᾳ (ou ὑπὸ φιλαργυρίας) ἐξημαυροῦτο. — Πόλεις ὅλαι σεισμοῖς (ou ὑπὸ σεισμῶν) κατεσκάφθησαν. — Ἡ γῆ τῷ τῶν ἀρίστων πολεμιστῶν αἵματι (ou ὑπὸ τοῦ τῶν ἀρίστων πολεμιστῶν αἵματος) πεφοίνικται. — Ὁ λόγος ὁ τότε μοι (ou ὑπ' ἐμοῦ) λεχθεὶς ὑπὸ πάντων τῶν παρόντων (ou πᾶσι τοῖς παροῦσιν) ἐκροτήθη.

181ᵉ Exercice.

Suite du régime de la voix passive (*Grammaire*, § 492).

Ὅστις ἄνδρα τεχνίτην ἢ χεῖρα ἢ ὄμμα ἀφῃρεῖτο, τούτου θάνατος ὑπὸ τῶν Ἰνδῶν κατεγιγνώσκετο. — Οἱ Ῥωμαῖοι χαρᾶς καὶ ἐλπίδος τῇ Τορκουάτου νίκῃ ἐνεπλήσθησαν. — Ὁ Ἥφαιστος ὑπὸ τοῦ Διὸς ἐξ Ὀλύμπου κατεκρημνίσθη. — Ἀκέραιον φυλάσσετε τὴν δόξαν ἣ ὑμῖν ὑπὸ τῶν ὑμετέρων προγόνων παραδέδοται. — Πολλὰ ἱερεῖα τοῖς θεοῖς ὑπὸ τῶν θνητῶν ἐθύετο. — Οἱ πονηρότατοι αὐτοκράτορες τῶν θείων τιμῶν ὑπὸ τῆς συγκλήτου ἠξιοῦντο. — Ὁ ἄνθρωπος οὐ παρορμᾶται εἰς τὸ ἀδίκημα θειοτέρᾳ τινὶ ἀνάγκῃ. — Ἡ τῆς πόλεως διοίκησις τῷ Λυκούργῳ ὑπὸ τῶν Λακεδαιμονίων ἐνεπιστεύθη. — Οἱ τοῦ Βρούτου υἱοὶ ὑπὸ τῶν ῥαβδούχων τὰ ἱμάτια ἀπεδύθησαν καὶ πρὸς κίονα προσεπασσαλεύθησαν. — Ὁ Νεοπτόλεμος πρὸς τὸν Φιλοκτήτην ὑπὸ τῶν Ἑλλήνων ἐπέμφθη. — Οἱ

Ἀθηναῖοι τῇ τοῦ Δημοσθένους δεινότητι εἰς πόλεμον προετρέποντο. — Τὰ μὲν τέκνα ἀπὸ τῶν μητέρων, αἱ δὲ γυναῖκες ἀπὸ τῶν ἀνδρῶν ἀπεχωρίσθησαν καὶ ὑπὸ τῶν νικησάντων ἐπράθησαν. — Τοῖς τῶν προγόνων παραδείγμασι πρὸς ἀρετὴν πλασσόμεθα. — Ὁ Ἀλέξανδρος ὑπὸ τοῦ Ἀριστοτέλους εἰς τοὺς ἠθικοὺς καὶ πολιτικοὺς λόγους ἀνήχθη. — Ὁ Ἀλέξανδρος τοῖς τῶν κολάκων ψεύδεσιν ἐπὶ τὸν Παρμενίωνα παρωξύνθη. — Ὁ Καρακάλλας πρὸς τὸν Γέταν τοῖς τῆς μητρὸς δάκρυσι καὶ ταῖς λιταῖς οὐ διηλλάγη. — Ὁ Ἀρίων ἐκ τῶν κυμάτων διεσώθη ὑπὸ δελφῖνος ὃς αὐτοῦ ἠκηκόει. — Ἡ νίκη τοῖς Ῥωμαίοις ἀπηγγέλθη ὑπὸ δυοῖν ἱππέων ἀγνώστων οἳ μετὰ ταῦτα οὐκέτι ἐφάνησαν.

182ᵉ Exercice.

Régime de la voix moyenne (*Grammaire*, § 493).

1. Δῆμοί τινες τὴν τῆς κεφαλῆς κορυφὴν ὅλως ἀποκείρονται. — Οἱ παλαιοὶ Γάλλοι τὸν πώγωνα καὶ τὴν κόμην καθίεντο. — Οἱ Ἀθηναῖοι ταῖς τοῦ Θεμιστοκλέους συμβουλίαις πειθόμενοι μέγαν στόλον κατεσκευάσαντο. — Οἱ ἀποστάντες οὔτε ὅπλα οὔτε σῖτον πορίζεσθαι ἐδύναντο. — Τῶν σοφιστῶν οἱ ἐνδοξότατοι τὰς μεγίστας πόλεις συνεχῶς διερχόμενοι πολὺ ἀργύριον ἐπράσσοντο. — Δῆμοί τινες ὑπερβόρειοι οἰκίας ποιοῦνται ὑπογείους. — Ὦ Ἀθηναῖοι, φυλακτικοὶ διαμένετε, καὶ πάντα κίνδυνον ἀπώσεσθε. — Ὁ Φίλιππος τὸν Ἀριστοτέλην φιλόσοφον μετεπέμψατο, τὴν τοῦ Ἀλεξάνδρου παίδευσιν ἐπιτρέπειν αὐτῷ βουλόμενος. — Οἱ Ἕλληνες νικήσαντες λείαν ἅπασαν διείλοντο τὴν συνειλεγμένην. — Ὦ βασιλεῖς, οἵτινες τῇ ἐξουσίᾳ σωφρόνως χρῆσθε, τροπαίων πάντων κάλλιστον καὶ μονιμώτατον καθίστασθε. — Ὁ Ἀχιλλεὺς τὰ ὅπλα ἐνεδύσατο ἃ Ἥφαιστος ἐπεποιήκει. — Ὁ Καῖσαρ, ὁρῶν τὸν Βροῦτον αὐτὸν τὸ ξίφος ἐντείνοντα, κεφαλὴν ἐκαλύψατο καὶ θάνατον ἡσύχως ἔμεινεν. — Ἔνιοι δῆμοι τὸ σῶμα ὅλον ἐπιχρώννυνται. — Αἱ Τρωάδες, τὸν τοῦ Ἕκτορος τοῦ γενναίου Τροίας προμάχου θάνατον πυνθανόμεναι, στῆθος τύπτονται, τρίχας τίλλονται. — Ὁ Αἰνείας, ἀράμενος τὸν γέροντα Ἀγχίσην τὸν πατέρα καὶ τοὺς ἐφεστίους θεούς, Τροίας ἐξῆλθε.

2. Παῖδες, νῦν μὲν τοῖς γονεῦσι καὶ διδασκάλοις πείθεσθε· ἄνδρες δὲ γενόμενοι, τοῖς νόμοις πείσεσθε. — Οἱ φιλότιμοι, πάντων δεόμενοι, δυστυχέστατοι δούλων εἰσίν. — Οἱ Τύριοι, οἳ τῇ Διδοῖ εἵποντο, τοῖς τῆς Λιβύης δήμοις συνετάξαντο. — Ὁ Φωκίων πολλαῖς ἔχθραις ὑπέκειτο. — Ὁ Κικέρων τὸν Σκιπίωνα ἡμῖν παρίστησι τῷ Λαιλίῳ διαλεγόμενον. — Ὦ Ἀθηναῖοι, ὑμῖν ἴσως μὲν οὐ χαριοῦμαι, ὅμως δὲ πᾶσαν τὴν ἀλήθειαν ἐρῶ. — Τιμόκλεια ἄγναμπτός τε καὶ ἀδεὴς τοῖς στρατιώταις εἵπετο, τοῖς αὐτὴν πρὸς τὸν Ἀλέξανδρον ἄγουσιν. — Οἱ ἱππεῖς τὰς λόγχα-

καταῤῥήξαντες τοῖς ξίφεσιν ἐχρήσαντο. — Οἱ γονεῖς τῇ τῶν τέκνων εὐδαιμονίᾳ εὐφραίνονται. — Ὁ πένης ὁ χρηστὸς τῷ Κυρίῳ παρακαθέζεται. — Οἱ πένητες οἱ τοῖς δυνατοῖς συναναστρεφόμενοι ἔτι μᾶλλον τῇ πενίᾳ καταλγύνονται. — Οἱ Γάλλοι, Ἰταλικοῦ οἴνου γευσάμενοι, χώρας ὠρέγοντο ἥτις τοιούτους καρποὺς ἔφερε. — Πάντων μὲν, μάλιστα δὲ τῆς ὑμετέρας ψυχῆς ἐπιμελεῖσθε. — Πλανηθήσεσθε τοῖς τοῦ Ἐπικούρου σφαλεροῖς δόγμασιν ἑπόμενοι. — Ὁ Σόλων τῇ τοῦ Πεισιστράτου τυραννίδι συνεχῶς ἠναντιοῦτο.

183ᵉ Exercice.

Régime des verbes unipersonnels (*Grammaire*, § 494).

Οὐκ ἀπόχρη σώφρονι ἀνδρὶ τὰ τῆς ἱστορίας πράγματα γιγνώσκειν· καὶ τὰς τῶν πραγμάτων αἰτίας γιγνώσκειν αὐτῷ συμφέρει. — Οὐδενὶ προσήκει τῷ γένει καὶ τῷ πλούτῳ ἐπαίρεσθαι. — Οὐκ ἐξῆν τοῖς Λακεδαιμονίοις τέχνην ἡντιναοῦν ἀσκεῖν. — Τοῖς μὲν πρεσβυτέροις λέγειν, τοῖς δὲ νέοις ἀκούειν προσήκει. — Πάρεστιν ὑμῖν ἀΐδιον δόξαν κτήσασθαι. — Οἱ Ἕλληνες, ὡς ἐδόκει Δαρείῳ, τῷ ἀναρίθμῳ τῶν Περσῶν στρατῷ ἐναντιοῦσθαι οὐκ ἐδύναντο. — Ἐξῆν μὲν ὑμῖν μηδαμῶς ἐπαγγέλλεσθαι, τὴν δὲ ὑπόσχεσιν ψεύδεσθαι οὐκ ἔξεστι. — Τοῖς Καρχηδονίοις ἐλείπετο τῇ νίκῃ χρῆσθαι ἣν ἀνήρηντο. — Τοῖς τοῦ Πυθαγόρου μαθηταῖς ἀπείρητο τοῦ τῶν ζώων κρέως ἅπτεσθαι. — Οὐ προσήκει τοῖς Ῥωμαίοις τὸν πόλεμον προσδοκᾶν, ἀπαντᾶν δὲ πρέπει. — Τῷ θεῷ ἔδοξε τὰ ἀγαθὰ ἐμὲ ἀφελέσθαι ἃ ἐδεδώκει. — Οὐκ ἀπόχρη τῷ ἀνθρώπῳ ταῖς τοῦ σώματος ἐνδείαις ἐπαρκεῖν· οὐκ ἔξεστιν αὐτῷ τῆς ψυχῆς ἀμελεῖν. — Μεγάλῳ βασιλεῖ προσήκει τοῖς ἐχθροῖς συγγνώμην ἔχειν. — Τὸ ἱππικὸν, ὡς ἡμῖν δοκεῖ, μεγίστη τῶν ἀνατολικῶν δήμων ἰσχὺς ἦν.

184ᵉ Exercice.

Suite du régime des verbes unipersonnels (*Grammaire*, § 495).

Πολεμικοῦ βασιλέως τοῖς Πέρσαις δεῖ. — Πολλῶν ἡμᾶς δεῖ. — Τῷ Ἀλεξάνδρῳ χαλινοῦ ἅμα καὶ ἡνιῶν ἔδει. — Τοῖς Ἀθηναίοις ταχὺ τῆς σφαγῆς μετεμέλησεν Ἀνδρόγεω, υἱοῦ Μίνωος. — Τοῖς ἀπαιδεύτοις καὶ βαρβάροις ἀνθρώποις ἔδει τότε οὐ πολλῶν. — Οὔ μοι τῶν Γύγεω, τοῦ τῆς Λυδίας βασιλέως, θησαυρῶν μέλει. — Τῷ Θρασυβούλῳ τῆς πατρίδος ἐλευθερώσεως ἔμελε. — Τοῖς τῆς παραθαλασσίου Ἀσίας Ἕλλησι, ταῖς τοῦ Μιλτιάδου συμβουλίαις μὴ πεισθεῖσι, τῆς προαιρέσεως ταχὺ μετεμέλησε. — Τοῖς Ῥωμαίοις τοῦ τῆς πατρίδος μεγέθους μόνον ἔμελε. — Τοῖς δυνατοῖς δεῖ σωφροσύνης μείζονος ἢ τοῖς ἄλλοις ἀνθρώποις. — Τοῖς Συβαρίταις συμποσίων καὶ χορῶν μόνον μέλει. — Πᾶσι τοῖς ἀνθρώποις τῆς θείας

προστασίας δεῖ. — Τῷ Διογένει οὐκ ἔμελεν Ἀλεξάνδρου οὔτε τῆς βασιλικῆς αὐτοῦ δυνάμεως. — Θησεῖ καὶ Πειρίθῳ, τὴν Περσεφόνην ἁρπάσαι βουληθεῖσι, τῆς προπετείας μετεμέλησεν. — Ἀναπαύλης ἔδει τοῖς στρατιώταις οὕτω μακρᾷ ὁδῷ καμοῦσιν. — Οἱ ἄνθρωποι οἷς τοῦ μέλλοντος οὐ μέλει βίου διάγουσιν ὥσπερ ἄλογα ζῶα. — Χρημάτων δεῖ ὑμᾶς καὶ στρατιωτῶν. — Τῷ Δαρείῳ, τοῖς Σκύθαις πολεμήσαντι, τῆς ἀβουλίας μετεμέλησε.

185ᵉ Exercice.

Régime de l'adverbe (*Grammaire*, § 496).

Ὁ σοφὸς ἄλλως φρονεῖ καὶ πράττει ἢ οἱ πολλοί. — Ὁ Βρασίδας, Σπάρτης βασιλεύς, ἀξίως τῆς πατρίδος μαχόμενος ἀνῃρέθη. — Τὸ πρᾶγμα ἐναντίως ἐγένετο ταῖς ἐλπίσιν ἃς εἰλήφειμεν. — Οἱ Ἀθηναῖοι, ὑπὸ τοῦ Σύλλα πολιορκούμενοι, οὐκ ἀναξίως τῶν προγόνων ἠμύναντο. — Ὁμολογουμένως τοῖς τῆς φύσεως νόμοις διάγετε. — Οὐδεὶς βέλτιον τοῦ Καίσαρος τὴν τῶν στρατιωτῶν φιλίαν προσάγεσθαι ἠπίστατο. — Ὁ Πτολεμαῖος, τὸν Πομπήϊον φονεύων, οὔτε τῇ δόξῃ πρεπόντως ἔπραττεν οὔτε τῷ συμφέροντι. — Ἕκτωρ τῶν τῆς Ἰλιάδος ἡρώων ἡμᾶς μάλιστα κινεῖ. — Οἱ Ῥωμαῖοι τὴν Καρχηδόνα πολιορκοῦντες δεινότερον ἔπραξαν ἢ δικαιότερον. — Οἵ τε κάστορες ἔτι τὰ καλύβια οἰκοδομοῦνται, αἵ τε μέλισσαι ἔτι τὸ μέλι ποιοῦνται ὁμοίως τοῖς πρώτοις κάστορσι καὶ ταῖς πρώταις μελίσσαις. — Τὴν τοῦ Σύλλα φιλοτιμίαν φανερώτερον οὐδὲν ἄλλο κατελέγχει ἢ αἱ προγραφαί. — Οἱ μὲν νέοι, πολλάκις δὲ καὶ οἱ γέροντες, ταῖς ἐπιθυμίαις ἑπομένως πράττουσι. — Οὐδεὶς τῇ τῶν Ῥωμαίων ἐπικρατείᾳ δεινότερον ἢ ὁ Οὐερκινγετόριξ ἀντέστη. — Βέλτιόν ἐστι λυσιτελῶς τοῖς πολίταις προσφέρεσθαι ἢ ἡδέως. — Οἱ θεοὶ εὐνοϊκῶς τῇ πόλει χρήσαιντο.

186ᵉ Exercice.

Suite du régime de l'adverbe (*Grammaire*, § 497).

Καρποὺς ἡ Ἀττικὴ φέρει οὐ πολλαχοῦ τῆς γῆς φυομένους. — Ποῦ τῆς Εὐρώπης τὰ καλὰ ἐκεῖνα δένδρα ἀνθεῖ; — Ἐνταῦθα τῆς ὁδοῦ γίγνεται τὸ πέδον ἀσφαλέστερον. — Πόθεν γῆς πάντα τὰ ζῶα ἐκεῖνα τὰ ὑπερμεγέθη ἐγίγνετο; — Σῖτος μὲν καὶ ἄμπελος ἐνταῦθα τῆς χώρας θαυμασίως φύονται· ἕτεροι δὲ καρποὶ βέλτιον φύονται ἀλλαχοῦ τῆς ἡμετέρας γῆς. — Ἡ τοῦ Δημοσθένους μνήμη πολλαχοῦ τῆς Ἑλλάδος ἐπῃνεῖτο. — Ὅποι ἂν γῆς ἔλθητε, οὐδαμοῦ ἀνθρώπους φιλαργυρίας ἢ φιλοτιμίας ἀτελεῖς εὑρήσετε. — Λῃσταὶ πανταχόθεν τῆς Ἰταλίας συναθροισθέντες πρῶτοι τῆς Ῥώμης οἰκήτορες ἐγένοντο. — Ποῖ ἀναισθησίας ἡμᾶς ἄγει ἡ συνεχὴς εὐτυχία. — Πανταχοῦ τῆς ἀρχῆς ὁ ἀριθμὸς καὶ ἡ δύναμις

τῶν χριστιανῶν ηὐξάνοντο. — Ἐνταῦθα τῆς Γαλλίας αἱ μέγισται μάχαι συμβέβληνται. — Ὅπη τῶν μεθορίων οἱ βάρβαροί ποτε ἐμβάλλειν ἐπεχείρουν εἰς τὴν ἀρχὴν, ὑπὸ τῶν Ῥωμαϊκῶν ταγμάτων ἐξεκρούοντο. — Ὁ Διογένης οὐδαμοῦ τῆς Ἑλλάδος ἄνδρας ἀγαθοὺς ἐφεύρισκεν.

187ᵉ Exercice.

Suite du régime de l'adverbe (*Grammaire*, § 498).

Πότε τοῦ ἐνιαυτοῦ τὴν ἄμπελον κλαδεύειν πρέπει; — Πηνίκα τῆς νυκτὸς αἱ τῶν πολεμίων δυνάμεις ἀνεστρατοπέδευσαν; — Αὔριον τηνικάδε τῆς ἡμέρας ἡ τῆς ἀρχῆς μοῖρα διακριθήσεται. — Ὁ Νικομήδης, εἷς τῶν ἐνδοξοτάτων ἀθλητῶν, τῇ τέχνῃ ἀποταξάμενος, ὀψὲ τῆς ἡλικίας τῶν Μαντινέων νομοθέτης ἐγένετο. — Οἱ παλαιοὶ πρωῒ τῆς ἡμέρας διανίσταντο. — Ἡ μάχη ὀψὲ τῆς νυκτὸς ἔτι διετέλει. — Οἱ στρατιῶται πρωῒ τῆς ἐπιούσης ἡμέρας ἐν τοῖς ὅπλοις ἐγίγνοντο. — Ὁ Δημοσθένης ἐπιπολὺ τῆς νυκτὸς ἐμελέτα. — Πότε τοῦ ἔτους οἱ τῶν Ῥωμαίων ὕπατοι εἰς ἀρχὴν καθίσταντο; — Πότε τοῦ βίου ὑμῖν δοκεῖ ὁ Ἀλέξανδρος ἑαυτοῦ μέγιστος γενέσθαι;

188ᵉ Exercice.

Suite du régime de l'adverbe (*Grammaire*, § 499 I).

Οἱ παλαιοὶ ὀλίγον μετάλλου κἀκ τῶν εὐπορωτάτων μεταλλείων ἐξώρυσσον. — Πόσον σίτου καὶ ἐλαίου ἀναγκαῖόν ἐστι τῇ Ῥώμῃ. — Ἅλις καὶ λίαν αἵματος ἐχύθη. — Ὁ Πακτωλὸς ποταμῶν πλουσιώτατος ἐνομίζετο· οὐδεὶς γὰρ ἄλλος τοσοῦτον χρυσοῦ ἔφερε. — Σίτου μὲν πλέον, οἴνου δ' ἔλαττον παρέχουσιν αἱ ἑσπέριοι χῶραι τῆς Γαλλίας. — Διογένης ὁ Κυνικὸς ἁπάντων Ἑλλήνων φιλοσόφων πλεῖστον μὲν ἀναιδείας, ὑπερηφανίας δ' οὐκ ἐλάχιστον ἐπεδείξατο. — Ὁ Νεῖλος οὐχ ἅλις πηλοῦ κατέθηκε. — Ἡ γῆ οὐκ ἅδην ὕδατος κατέπιε. — Πόσον χρυσοῦ καὶ ἀργύρου ἡ Εὐρώπη ἐκ τοῦ νέου κόσμου παρείληφεν; — Ὁ Νέρων, παῖς μὲν ἔτι ὤν, εὐφυέστατος εἶναι ἐδόκει· οὐδεὶς γὰρ πώποτε τῶν βασιλευσάντων τοσοῦτον ἐπιεικείας καὶ σωφροσύνης ἐπεδέδεικτο. — Οὐδεὶς δῆμος πλεῖον καρτερίας ἢ οἱ Ῥωμαῖοι ἐπεδείξατο. — Οἱ παραθαλάσσιοι δῆμοι ὀλίγον τοῦ χρέως ἐσθίουσι.

189ᵉ Exercice.

Suite du régime de l'adverbe (*Grammaire*, § 499 II).

Ἡ μὲν περισσὴ σπουδὴ πολλάκις ὕποπτός ἐστιν· ἡ δὲ πλείων σωφροσύνη μᾶλλον τοῖς νέοις πρέπει. — Ἀλέξανδρος ἀμαχεὶ μὲν κατέστραπτο τὰς μεγίστας τῆς τῶν Περσῶν ἀρχῆς πόλεις· ἡ δὲ τῆς Τύρου πολιορκία

πλείους τὰς δυσχερείας ἔσχεν· οἱ γὰρ οἰκηταὶ ταύτης τῆς πόλεως μείζονι ἀρετῇ τε καὶ καρτερίᾳ ἠναντιώθησαν. — Ὁ Δημάδης ὀλίγον χρόνον τῷ Δημοσθένει ἐπέζησεν, ᾧ ἐχθρὸς ἦν. — Ὅσης εὐλαβείας καὶ ἀταραξίας δεῖ τῷ στρατηγῷ ὃς τοσούτου ἀνθρώπων πλήθους ἐπιστατεῖ; — Ὁ μὲν Ἀριστείδης ἐλάχιστα φιλότιμος ἦν Ἀθηναίων· τῷ δὲ Θεμιστοκλεῖ οὐ τοσαύτη τῶν συμφερόντων ἐνῆν ἀμέλεια. — Ὁ Ἀλέξανδρος φύσει μὲν ἱκανὴν σωφροσύνην εἶχεν, ὑπὸ δὲ τῶν κολάκων διεφθάρη. — Ὁ Ἀλέξανδρος μεγίστῃ σπουδῇ περὶ τὴν ἰατρικὴν ἐσχόλασε. — Ὁ Τίτος χρόνον ἱκανὸν ἐβασίλευσε. — Ἡ περισσὴ εὐλάβεια τὸν Νικίαν νικῶντα πολλάκις ἐκώλυε. — Ἡ μείων προθυμία καὶ ἡ μείζων ἔννοια ἐκείναις ταῖς συμφοραῖς προαπαντῆσαι ἂν δύναιτο. — Οἱ κοῦφοι τῶν παίδων ὀλίγον κέρδος ἐκ τῶν τοῦ διδασκάλου διδαγμάτων κομίζονται. — Αἱ θαυμάσιοι ὑπὸ τῶν Ῥωμαίων ἀνατετμημέναι ὁδοὶ οὐκ ἐλάχιστον θαῦμα παρέχουσι. — Ὅσην τὴν ἡδονὴν παρέχουσιν ἡμῖν αἱ διηγήσεις τῶν πεπαιδευμένων καὶ ἀψευδῶν ὁδοιπόρων; — Ὁ Ἀλέξανδρος ἀθλητικοὺς ἀγῶνας ἀμελέστερον ἐτίθει. — Ὁ Κικέρων τὴν μὲν ἐλευθερίαν, ὅσονπερ ὁ Κάτων, ἠγάπα· ἀνδρεία δὲ οὐκ ἐνῆν αὐτῷ τοσαύτη.

190ᵉ Exercice.

Suite du régime de l'adverbe (*Grammaire*, § 499 III).

Ἐκ τοῦ σκληροῦ τῶν δρυῶν φλοιοῦ πολὺ μέλι ἐκρυήσεται. — Ὁ Ἀλέξανδρος τὸ πρῶτον οἴνῳ σὺν πολλῇ σωφροσύνῃ ἐχρῆτο. — Οἱ σύμμαχοι τῶν Ἀθηναίων περισσὴν βίαν καὶ ὑπερηφανίαν κατηγόρουν. — Ὁ Καῖσαρ ὅλην τὴν Ἰταλίαν ἐν ὀλίγῳ χρόνῳ διεπορεύθη. — Ὅσου ἐδέησε χρόνου τοῖς τῆς Αἰγύπτου βασιλεῦσιν οἳ τὰς περιβοήτους πυραμίδας ᾠκοδόμησαν; — Τὰ πολλὰ τῶν ἀμφιβίων ζώων πολὺν χρόνον χερσεύειν οὐ δύναται. — Βροῦτος καὶ Κάσσιος μικρᾷ σὺν ἐλπίδι ἐμάχοντο· εἰ δὲ μὴ, σὺν μείζονι φιλονεικίᾳ περὶ τῆς νίκης ἂν ἠγωνίσαντο. — Τῶν ἀνθρώπων ἅμα τὴν περισσὴν καὶ τὴν οὐχ ἱκανὴν εὐπείθειαν κατηγοροῦμεν. — Οἱ ἡμέτεροι πρόγονοι ὀλίγου μὲν τοῦ ἀργυρίου, πολλῆς δὲ τῆς δόξης ἐπεθύμουν. — Ἐν τοῖς τῆς Ἑλλάδος ῥήτορσι, πρῶτος Ἰσοκράτης σὺν τοσαύτῃ κομψότητι ἔγραψε. — Πολλοῦ μὲν χρόνου δεῖ ὥστε ἄνθρωπον ἀνατρέφειν, ἐλαχίστον δὲ ὥστε κτεῖναι. — Τῶν δήμων ὡς τὰ πολλὰ οἱ πενέστατοι τὴν ἐλευθερίαν σὺν μεγίστῃ ἀνδρείᾳ διασώζουσι. — Ἡ Ῥώμη πλεῖστον χρόνον τὴν τῶν ψευδῶν θεῶν θεραπείαν διεφύλαξε. — Πολλάκις σὺν πολλῇ δαπάνῃ ἀναστρέφομεν ἃ οἱ πρὸ ἡμῶν σὺν πολλῷ πόνῳ καὶ ἀργυρίῳ κατεσκεύασαν. — Αἱ μὲν τῶν παλαιῶν συμφοραὶ οἰκτρόταταί εἰσι· τὰ δὲ τῶν καθ' ἡμᾶς πάθη οὐκ ἐλάσσονος σπουδῆς ἐστιν ἄξια. — Οὐκ ἀεὶ πιστεύομεν τοῖς πλείστης πίστεως ἀξίοις.

191ᵉ Exercice.

Suite du régime de l'adverbe (*Grammaire*, § 499 III).

Πολυμαθέστατοι ἀνθρώπων οὐκ εἰσιν οἱ πλείστας βίϐλους κεκτημένοι. — Ὁ Ἀντώνιος πλείους μὲν τριήρεις εἶχεν ἢ ὁ Αὔγουστος· αἱ δὲ τούτου νῆες κουφότεραι ἦσαν. — Κράσσος Ῥωμαίων πλουσιώτατος ἐνομίζετο· οὐδεὶς τοσαῦτα χρήματα ἐκέκτητο παντοῖα. — Οἱ πόνοι καὶ αἱ νόσοι πολλοὺς ἤδη στρατιώτας ἀνηρπάκεισαν. — Πόσοι ὄρνιθες τὸν τοῦ ἡλίου ὄρθρον ἡδέως ὑμνοῦσι; — Τῶν δένδρων ὅσα τὰ ἄνθη πλεῖστα φέρει πολλάκις ἐλαχίστους δίδωσι τοὺς καρπούς. — Οἱ τῆς ἀνατολῆς βασιλεῖς πολλοὺς μισθοφόρους ἐκ τῆς Ἑλλάδος αὐτῆς καὶ τῶν πλησίον χωρῶν ἐλάμϐανον. — Ὅσοι Πέρσαι ὑπὸ μυρίων Ἀθηναίων ἡσσήθησαν; — Ἡ Γερμανία ὀλίγα ζῶα τρέφει. — Ἡ Λακεδαίμων ὀλίγους μὲν πολίτας, πολλοὺς δὲ δούλους εἶχεν, Εἱλώτας καλουμένους. — Αἱ τῶν Καρχηδονίων δυνάμεις περισσοὺς μὲν τοὺς μισθοφόρους, οὐχ ἱκανοὺς δὲ τοὺς πολίτας ἐχώρουν. — Ὁ μὲν Πομπήϊος ἐκ τῶν διαφόρων τῆς ἀνατολῆς μερῶν πολλὴν δύναμιν συνηθροίκει· ὁ δὲ Καῖσαρ οὐ στρατιώτας τοσούτους, ἀλλὰ πλείους εἶχε Ῥωμαίους. — Ὁ Οὐάῤῥων τῶν καθ' ἑαυτὸν πολυμαθέστατος ἐνομίζετο· ὀλίγοι τῶν Ῥωμαίων τοσαῦτα πράγματα ἔγνωσαν. — Οὐ τῶν ἀνθρώπων οἱ ἀμαυρότατοι τὸ πλεῖστον ἐλαχίστους ἔχουσιν ἐχθρούς. — Οἱ δεινοὶ τῆς ἰσημερίας χειμῶνες πολλῶν ναυαγίων αἴτιοι ἐγένοντο. — Πᾶσαι αἱ νῦν οἰκούμεναι τῆς γῆς χῶραι ἐλάσσους τοὺς θῆρας ἢ τὸ παλαιὸν ἔχουσι. — Ἡ Νιόϐη, πλείω τέκνα ἔχουσα τῶν Λητοῦς, τῇ θεᾷ ἐφύϐρισε. — Ὅσα ἀγαθὰ τῇ Ἀττικῇ οἱ θεοὶ δεδώκασι. — Μέρη τινὰ τῆς θαλάσσης ἐλάσσους ἰχθῦς ἢ ἕτερα τρέφει. — Οἱ μὲν στάχυες τοὺς κόκκους οὐχ ἱκανοὺς χωροῦσι· τὰ δὲ δένδρα περισσὰ τὰ φύλλα φέρει.

192ᵉ Exercice.

Régime de la préposition (*Grammaire*, § 501).

Ἀθηναῖός τις τῷ Ἀνταλκίδᾳ ἔλεγεν· « Ὑμᾶς πολλάκις ἡμεῖς ἀπὸ τοῦ Κηφισοῦ δεδιώχαμεν. » « Ἀλλ' ἡμεῖς, εἶπεν ὁ Λακεδαιμόνιος, ὑμᾶς οὔποτε ἀπὸ τοῦ Εὐρώτου. » — Οἱ Μῆδοι τοῖς δούλοις μαχόμενοι ἱμᾶσιν ἀντὶ ξιφῶν ἐχρήσαντο. — Ὁ πρὸ τῆς πατρίδος ἀποθνήσκων ἀνὴρ θνητὸν σῶμα ἀθανάτου δόξης ἀνταλλάσσει. — Ἡδύ ἐστιν ἐκ τοῦ αἰγιαλοῦ πέλαγος θεάσασθαι ἠγριωμένον. — Ὁ σοφὸς ἀνὴρ ἐκ τοῦ βίου ὡσεὶ ἐκ συμποσίου ἐξέρχεται. — Ἡ Καρχηδὼν ἀντὶ τῆς Ἰταλίας ἔκειτο. — Οἱ Ἕλληνες πρὸ τῆς μάχης ὕμνον τινὰ ᾖδον Παιᾶνα καλούμενον. — Ἔξιθι ἐκ τῶν δημοσίων λειτουργιῶν μὴ πλουσιώτερος, ἀλλ' ἐντιμότερος. — Οἱ ἀγνώμονες κακὸν ἀντ' ἀγαθοῦ ἀντιδιδοῦσι. — Πρὸ τῶν ὀφθαλμῶν τὰ κακὰ

συνεχῶς ἔχετε οἷς οἱ ἄνθρωποι ὑπόκεινται. — Οἱ δῆμοι πρὸ τῶν γυναικῶν καὶ τέκνων μαχόμενοι σχεδὸν ἀήττητοί εἰσιν. — Οἱ παλαιοὶ Γερμανοὶ ἐκ πολέμου καὶ ληστείας ἐβιότευον. — Τί τοῖς δήμοις ἀγαθὸν ἀντ' ἐλευθερίας πάρεστι δίδοσθαι; — Μούμμιος ἐκ Κορίνθου πολὺν πινάκων καὶ ἀνδριάντων ἀριθμὸν ἔπεμψε. — Οἱ Θηβαῖοι πρὸ τοῦ Ἐπαμεινώνδου τῶν πρωτείων οὐκ ἔτυχον. — Ὁ Ἰάπυξ ἀπ' Ἰταλίας πνέων ταχὺ τὴν ἡμετέραν ναῦν ἐώθει. — Οἱ υἱοὶ τῶν πολεμιστῶν τῶν πρὸ τῆς πατρίδος ἀποθανόντων ἐκ τοῦ δημοσίου ἐκτραφήσονται. — Ὁ ποταμὸς ἀπὸ τῆς πηγῆς εὐρύτερος γίγνεται καὶ ἡσυχαίτερος. — Οἱ Ῥωμαῖοι πρὸ τοῦ πρώτου Καρχηδονιακοῦ πολέμου σχεδὸν ἄπειροι τῆς ναυτιλίας ἦσαν. — Ὁ Καῖσαρ ὑπὸ τῶν φίλων καὶ τῶν πιστοτάτων σπουδαστῶν ἐφονεύθη.

192ᵉ Exercice.

Suite du régime de la préposition (*Grammaire*, § 501).

Ζωΐλος ὁ καθ' Ὁμήρου τε καὶ Πλάτωνος καὶ ἑτέρων συγγραφέων ἐπιφανῶν γράψας, μαθητὴς ἦν Πολυστράτου, ἑνὸς τῶν τοῦ Σωκράτους κατηγόρων. — Τὸ πῦρ ἀνὰ νύκτα καὶ ἡμέραν ἐν τῷ τῆς Ἑστίας ναῷ διεφυλάσσετο. — Ὀδυσσεὺς πάλιν ἐν Ἰθάκῃ σὺν Ἀθηνᾷ βασιλεύσει. — Οἱ Ἕλληνες ὑπὸ τοῦ Ἕκτορος διωκόμενοι ἀνὰ τὸ πεδίον σκεδάννυνται. — Οἱ πατέρες οἱ τῆς τῶν τέκνων παιδεύσεως ἀμελοῦντες εἰς τὴν πόλιν πλημμελοῦσιν. — Ὁ Ἀλέξανδρος εἰς τὴν Ἀσίαν ἤδη διαβὰς πολλάκις τῷ Ἀριστοτέλει ἔγραφε. — Λιμὸς ἐν ταῖς τῆς Σκυθίας κρυεραῖς τε καὶ ἐρήμοις οἰκεῖ χώραις. — Θεμιστοκλῆς ἐν τῇ πατρίδι πρῶτον, εἶτ' ἐν Ἑλλάδι, καὶ τέλος ἐν ταῖς βαρβάροις χώραις ἔνδοξος ἐγένετο. — Οἱ Γάλλοι εἰς τὰς ἐκκλησίας σὺν ὅπλοις ᾔεσαν. — Οἱ Σαγοντῖνοι εἰς τὰ ἔσχατα καταστάντες ἑαυτοὺς σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις ἔπρησαν. — Ἡ φήμη περὶ τῆς τοῦ Ἀλεξάνδρου νόσου ταχὺ ἀνὰ τὸ στρατόπεδον διεδέδοτο. — Οἱ Λίβυες τοὺς λέοντας ἐν παγίσιν ἀγρεύουσι. — Ὁ Καμβύσης τοῖς Πέρσαις· « Σὺν θεοῖς, εἶπεν, ὁ Κῦρος, τῆς ὑμετέρας στρατιᾶς ἡγούμενος, ἐνδόξους ὑμᾶς οὐκ ἐν τῇ Ἀσίᾳ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ ἐποίησεν. » — Ἀνὰ τὸν ποταμὸν τοὺς μὲν ἀγροὺς εὖ εἰργασμένους, τὰς δὲ κώμας πολυανθρώπους καὶ καλῶς ἐκτισμένας ἐθαυμάζομεν. — Ὁ Πλάτων πολλάκις τὸν Ξενοκράτην ἔσκωπτεν εἰς τὸ ἄχαρι. — Ὁ Περικλῆς, ἀνὰ πᾶσαν τὴν ἀρχήν, οὐδενὸς πολίτου θάνατον κατέγνω. — Οἱ Ῥωμαῖοι τὰς ναῦς τῶν Καρχηδονίων ἐν τοῖς ἐμβόλοις ἐτίτραινον, οἷς τὰς τῶν τριήρων πρώρας ἐσκεύασαν. — Οἱ μεγάλοι ῥήτορες ἐκ τῆς Ῥώμης μετὰ τῆς ἐλευθερίας ἠφανίσθησαν. — Πολλοὶ τῶν ἡμετέρων χωρῶν ὄρνιθες ἀνὰ τὸν χειμῶνα εἰς θερμοτέρους τόπους μετοικοῦσι. — Ὁ Καῖσαρ τοῖς πεζοῖς ἑκατὸν νομίσματα ἀν' ἕκαστον στρατιώτην ἔδωκεν.

194ᵉ Exercice.

Suite du régime de la préposition (*Grammaire*, § 502).

1. Οἱ παλαιοὶ τὸ μέλλον διὰ τῆς τῶν οἰωνῶν πτήσεως καὶ διὰ τῶν τοῦ ἱερείου σπλάγχνων καταλαμβάνειν ᾤοντο. — Διὰ τῆς νυκτὸς αἰσθάνεται τὸ οὖς καὶ τῶν ἀσθενεστάτων φθόγγων. — Ὁ Γάλβας ὑπὸ τῶν πραιτωριανῶν ἐμισεῖτο διὰ τὴν φειδωλίαν. — Ποταμοί τινες, μῆκός τι χώρας ἀρδεύσαντες, ἐξαίφνης κατὰ τῆς γῆς ἀφανίζονται. — Ὁ Κικέρων τοὺς κατὰ τοῦ Ἀντωνίου λόγους Φιλιππικοὺς ἐπέγραψε. — Κατὰ τὸν Πλάτωνα, ὕπνος καὶ κάματος μελέτῃ ἐναντίοι εἰσί. — Οἱ Ἕλληνες τοὺς Πέρσας ἐν τρισὶ μεγάλαις μάχαις ἐνίκησαν, δὶς μὲν κατὰ γῆν, ἅπαξ δὲ κατὰ θάλασσαν. — Μετ' Ἐπαμεινώνδαν, ἡ τῶν Θηβαίων δύναμις ταχέως παρήκμασε. — Ὁράτιος διὰ τοῦ τῆς ἀδελφῆς σώματος ξίφος διελαύνει τῷ τῶν Κουριατίων αἵματι βεβαμμένον. — Μετὰ Κόδρον, οἱ Ἀθηναῖοι τὴν βασιλείαν κατέλυσαν. — Ὁ Ἀλέξανδρος τὸν στρατὸν ὑπὲρ τὸν Ὕφασιν ἄγειν οὐκ ἐδυνήθη. — Ὁ Καῖσαρ ὑπὸ τῆς συγκλήτου καὶ τοῦ δήμου δικτάτωρ διὰ βίου ἀπεδείχθη. — Οἱ γραφεῖς τὴν Τύχην ἐποίουν ὑπὲρ τῆς Τιμοθέου, Ἀθηναίων στρατηγοῦ, αἰωρουμένην. — Οἱ Πελοποννήσιοι μετὰ πάσης τῆς δυνάμεως εἰς τὴν Ἀττικὴν ἐνέβαλον. — Ὁ Κικέρων, ὑπὸ τῆς ὄψεως τῶν ἐνόπλων ταραχθεὶς ὧν ὁ Πομπήϊος ἐπεπληρώκει τὴν ἀγοράν, τὸν λόγον οὐκ εἶπεν ὃν ὑπὲρ τοῦ Μίλωνος ἐπεποιήκει.

2. Ξέρξης, τὸν Ἄθω διορύξας, διὰ γῆς ἔπλευσεν. — Ὁ Ἀλέξανδρος, ἰδὼν τὴν ἑαυτοῦ εἰκόνα ὑπὸ τοῦ Ἀπελλοῦ γεγραμμένην, οὐ κατὰ τὴν ἀξίαν τὸ ἔργον ἐπήνεσεν. — Ὁ Δημοσθένης ὑπὲρ τοῦ Ἁρπάλου δημηγορήσας, δωροδοκίας κατηγορήθη καὶ ἐξηλέγχθη. — Οἱ Πλαταιεῖς μόνοι μετὰ τῶν Ἀθηναίων ἐν Μαραθῶνι ἐμαχέσαντο. — Ὁ φρόνιμος ἀνὴρ οὐδενὶ πράγματι ὑπὲρ δύναμιν ἐπιχειρεῖ. — Μετὰ τὴν εὐεργεσίαν ἡ χάρις αὐτίκα γηράσκει. — Αἱ Ἀθῆναι διὰ θαλάσσης τοὺς καρποὺς πάσης τῆς οἰκουμένης ἐλάμβανον. — Ὁ Ζεὺς τὸν Ἥφαιστον ἀπὸ τῶν τοῦ Ὀλύμπου κορυφῶν κατεκρήμνισε. — Οἱ τῶν Ῥωμαίων αὐτοκράτορες δεινοὺς νόμους κατὰ τῶν πρώτων χριστιανῶν ἀνέδειξαν. — Κατὰ τοὺς μάγους, ὁ ἐμπρησμὸς τοῦ ναοῦ τῆς Ἐφεσίας Ἀρτέμιδος μεγίστας συμφορὰς τῇ Ἀσίᾳ ἐσήμαινε. — Μετ' Ἀλέξανδρον, ἡ ἀρχὴ ἣν ἐκέκτητο ὑπὸ τῶν ὑπάρχων διεμερίσθη. — Ἄνθρωπος κατ' εἰκόνα θεοῦ πεποίηται. — Ὁ Θουκυδίδης ὑπὲρ τοῦ Πελοποννησιακοῦ πολέμου ἱστορίαν ἡμῖν καταλέλοιπε συγγραφέως τε μεγάλου καὶ πολιτικοῦ ἀνδρὸς ἀξίαν. — Ὀλίγοι ἄνθρωποι ὑπὲρ τὰ ἑκατὸν ἔτη ζῶσιν. — Οἱ Ἀθηναῖοι ἁπάσης τῆς Ἑλλάδος σωτηρίαν διὰ τῶν ἰδίων κινδύνων ἠσφάλισαν.

195e Exercice.

Suite du régime de la préposition (*Grammaire*, § 503).

Παρὰ πᾶσι τοῖς ἔθνεσι τὴν τῶν τεθνηκότων θρησκείαν εὑρίσκομεν. — Οὐδεὶς Ῥωμαῖος βουλευτὴς τὰ δῶρα λαβεῖν ἠθέλησεν, ἃ Κινέας παρὰ τοῦ Πύῤῥου προσενηνόχει. — Κατὰ τοὺς Ἕλληνας, Ἀπόλλων καὶ αἱ ἐννέα Μοῦσαι ἐπὶ τοῦ Πίνδου καὶ τοῦ Ἑλικῶνος ᾤκουν. — Μεγάλη ἔρις περὶ (ou ἀμφὶ) τῶν Ἀχιλλέως ὅπλων ἐν τῷ Ἑλληνικῷ στρατῷ ἐγένετο. — Ἡ τοῦ Φιλίππου ὑμνουμένη δεινότης οὐδὲν ἦν πρὸς (ou παρὰ) τὴν μεγαλοπραγμοσύνην ἣν ὁ Ἀλέξανδρος ἐκ παιδίου ἐπεδείξατο. — Οἱ Πέρσαι ἀμφὶ (ou περὶ) τὴν κεφαλὴν κάλυμμα φέρουσι τιάραν ὠνομασμένον. — Ἐπὶ τοῦ Κρόνου οἱ ἄνθρωποι ἥσυχοι καὶ εὐδαίμονες ἐβιότευον. — Ὁ πόλεμος παρὰ τὴν ἁπάντων γνώμην ταχὺ διελύθη. — Οἱ αὐτοκράτορες φρούρια παρὰ τοὺς τῆς ἀρχῆς ὅρους κατεσκευάκεισαν. — Ὁ Ἰάσων σὺν τοῖς πρώτοις τῆς Ἑλλάδος ἥρωσιν ἐπὶ τὸ δέρας ἀνήχθη. — Ἐργάζεσθε μὴ μόνον ἐπὶ τῷ παρόντι, ἀλλὰ μάλιστα ἐπὶ τῷ μέλλοντι. — Πάντες οἱ περὶ τὸν Ἀλκιβιάδην αὐτὸν ἐθώπευον, καὶ οὕτω τὴν τοῦ νεανίου κενοδοξίαν ηὔξανον. — Ἐν τῇ βίβλῳ ἣν περὶ τῆς οἰκονομίας γέγραφεν, ὁ Ξενοφῶν τοὺς πολλοὺς τῆς Ἀττικῆς πόρους ἐγκωμιάζει. — Ἡ τῶν Ῥωμαίων σύγκλητος πάντα ἐπὶ τῇ τῶν ὁμόρων ἐθνῶν δουλώσει ἐποίει. — Εὔμουσος μὲν ἀνὴρ παρὰ τὴν ἁρμονίαν οὐκ ᾄδει, ἀγαθὸς δ' ἄρχων παρὰ τοὺς νόμους οὐ χαρίζεται. — Εὐδαιμονία μὲν παρὰ τῶν θεῶν, σωφροσύνη δὲ παρ' ἡμῶν αὐτῶν γίγνεται.

196e Exercice.

Suite du régime de la préposition (*Grammaire*, § 503).

Οἱ Καρχηδόνιοι, τῆς Σικελίας ἐκβληθέντες, τὴν Ἰβερίαν ὑφ' ἑαυτοῖς ποιεῖσθαι ἐβούλοντο. — Οἱ Λακεδαιμόνιοι ὑπ' αὐλῷ (ou πρὸς αὐλὸν) εἰς μάχην ἐπορεύοντο. — Πάντες δικαίως ἀστρολόγου καταγελῶσιν ὅστις, εἰς ἥλιον καὶ σελήνην βλέπων, τὰ παρὰ ποσὶν οὐχ ὁρᾷ. — Εὐμενεῖς μὲν πρὸς τοὺς ἀσθενεῖς, δίκαιοι δὲ πρὸς τοὺς δυνατοὺς ἔστε. — Κυκλοτερὴς στοὰ περὶ τὴν ἀγορὰν ἐδέδμητο. — Ὁ Σύλλας ἐν τῷ κατὰ τοῦ Ἰουγούρθα πολέμῳ ὑπὸ τῷ Μαρίῳ ἐστρατεύσατο. — Ἐν τῇ Λιβύῃ πολλάκις οἱ στρατιῶται, τὰς σκηνὰς πηγνύμενοι, σκορπίους ὑπὸ τῶν λίθων (ou ὑπὸ τοῖς λίθοις) εὑρίσκουσιν. — Ἀγαθὸν μὲν οὐδὲν παρὰ κακοῦ, κακὸν δ' οὐδὲν παρ' ἀγαθοῦ προσδοκῶ. — Ὄνειδος πολλάκις ὑπ' ὀργῆς ἢ ἔχθρας λεχθὲν ἠγνοημένην ἢ ἠμελημένην τῆς ψυχῆς νόσον ἰάσατο. — Οἱ Πυθαγορικοὶ μετὰ πολλῆς σπουδῆς τῇ τῆς ἰατρικῆς μελέτῃ ἑαυτοὺς ἐξεδίδοσαν. — Περὶ ὑμῶν αὐτῶν σπανίως μὲν, ἀεὶ δὲ μετὰ πολλῆς τῆς εὐλαβείας λέγετε. — Διογένης γραΐ εἶπεν ἣ τὸ πρόσωπον ἐφυκοῦτο· « Εἰ μὲν ἐπὶ τοῖς

ζῶσιν ἐντρίβῃ, ματαιοπονεῖς· εἰ δ' ἐπὶ τοῖς νεκροῖς, ἐπείγου. » — Ὁ προδότης ὑπ' ἐκείνων αὐτῶν ἀτιμᾶται, οἳ ἐκ τῆς προδοσίας κερδαίνουσι. — Ὁ Σιμωνίδης, γέρων ἤδη ὤν, παρὰ τὸν Ἱέρωνα, τὸν Συρακουσῶν τύραννον, ἦλθεν, ὑπὸ τῆς ἐκείνου φιλοδωρίας προσαχθείς. — Ὁ Κόνων τὰς Ἀθήνας ὁρῶν ὑπὸ τῇ Σπάρτῃ γενομένας, ὑπὸ λύπης κατετήκετο. — Οἱ Ἀθηναῖοι ἀνδριάντα μὲν τῷ Σόλωνι ἐπὶ τῆς ἀγορᾶς ἔστησαν, αὐτὸν δὲ πρὸς μιᾷ τῶν τῆς πόλεως πυλῶν ἔθαψαν. — Τῷ Ἀλκιβιάδῃ, πρὸς τῷ γένει, κάλλος ἐνῆν καὶ πλοῦτος καὶ ἄλλα ὡς ἀληθῶς ἀγαθά.

197ᵉ Exercice.

Régime des prépositions-adverbes (*Grammaire*, § 504).

Ἄνευ (ou ἄτερ ou δίχα ou χωρὶς) τῆς δίκης, οἱ ἄνθρωποι ὥσπερ θηρία διάγοιεν ἄν. — Πᾶν ἀγαθὸν ὅ τι οὐκ ἔνδον ἐστὶ τῆς ἡμετέρας ψυχῆς, οὐκ ἔστιν ἀληθῶς ἡμέτερον. — Ἀεὶ μεταμέλεια γίγνεται ἡμῖν τούτων ἃ ἔξω ἡμῶν αὐτῶν γενόμενοι ποιοῦμεν. — Χελιδὼν ποτε πόῤῥω τῶν ἀγρῶν ἀνέπτη. — Ὁ θεὸς τὸ στόμα οὐ πόῤῥω τῶν ὀφθαλμῶν καὶ τῶν ῥινῶν τέθεικε. — Οὐ πόῤῥω τῆς Ἰταλίας κεῖται ἡ Σικελία, πλουσία νῆσος καὶ πολυάνθρωπος. — Ὁ Φίλιππος Ἀριστοτέλους ἕνεκα τὴν Στάγειρον πόλιν ἀποκατέστησεν, ἣν ἀνῃρήκει. — Πάντ' ἀπόλωλε, χωρὶς (ou πλὴν) τῆς εὐτιμίας. — Μασινισσᾶς, Νομάδων βασιλεύς, ἄχρις (ou μέχρις) ἀκροτάτου γήρως ἵππευσε. — Ὁ μισάνθρωπος Τίμων χωρὶς τῶν ἄλλων ἀνθρώπων διῆγε. — Πέραν τοῦ ποταμοῦ ὁ πολέμιος στρατὸς παρατεταγμένος ἦν. — Οὐδὲν πέραν τοῦ δικαίου καὶ μετρίου ζηλωτόν ἐστι. — Ὅστις ἄνευ (ou ἄτερ ou δίχα ou χωρὶς) μέμψεως βεβίωκεν, ἄνευ (ἄτερ, etc.) φόβου ἀποθνήσκει. — Ὁ Ξέρξης, πλὴν τῶν Τυρίων, οὐκ εἶχε ναύτας τοῖς Ἕλλησι παραπλησίους. — Ὁ δεινὸς συνήγορος ἔξω τῆς ὑποθέσεως οὐκ ἐκφέρεται ταῖς τῶν ἀντιδίκων ὑποκρούσεσι. — Οἱ Λακεδαιμόνιοι ἔξω τῆς χώρας τὸν νεκρὸν τοῦ Παυσανίου, προδοσίας ἁλόντος, ἔῤῥιψαν. — Οἱ Μακεδόνες, ἄχρι (ou μέχρι) τῆς τοῦ Φιλίππου καταστάσεως, βάρβαροι παρὰ τῶν ἄλλων Ἑλλήνων ἤκουον. — Ἅπαντες οἱ βουλευταί, πλὴν τοῦ Κάτωνος, τῷ τοῦ Καίσαρος λόγῳ ἐπικλασθῆναι ἐδόκουν. — Αἰνείας μόνος, ἔμπροσθεν τῆς νεώς, πάντα μὲν τὰ κακὰ ἐμνημόνευεν ἃ ἐπεπόνθει, πάντας δὲ τοὺς ἑταίρους οὓς ἀπολώλεκει. — Ἄνευ (ou ἄτερ ou χωρὶς) φιλίας, ὁ βίος ἀνυπόστατον ἄχθος ἂν εἴη. — Ἡ Συρία μεταξὺ τῆς Τουρκίας καὶ τῆς Αἰγύπτου κεῖται.

198ᵉ Exercice.

Suite du régime des prépositions-adverbes (*Grammaire*, § 504 I et II).

Οὐδὲν εὐτυχίᾳ (ou εὐτυχίας) πλησιαίτερόν ἐστιν ἢ ἀτυχία.—Οἱ τῶν ἀνθρώπων εὐεργέται ἐξ ἴσου τοῖς θεοῖς τιμῶνται.—Αἱ τῶν πενήτων ὀδύναι καὶ ἔνδειαι ἅμα τῷ χειμῶνι αὔξονται.—Ἡ Ἥρα οὐδεμιᾷ μὲν πόλει ἴσον τῇ Καρχηδόνι ἐχαρίζετο, οὐδένα δὲ δῆμον ἴσον τοῖς Ῥωμαίοις ἐμίσει, ἐκ τῶν Τρώων γεγονόσι. — Πλησίον (ou παραπλησίον ou ἐγγὺς) τῆς Ἐφέσου πόλεως (ou τῇ Ἐφέσῳ πόλει) ἔνδοξος ἦν ναὸς τῇ Ἀφροδίτῃ ἱερός.— Μετὰ τὴν περὶ Κάνναν ἧτταν, ἅπασα ἡ τῶν Ῥωμαίων σύγκλητος ἀντίον (ou ἐναντίον) τῷ ὑπάτῳ Βάῤῥωνι ἦλθε. —Ἄνθρωπος ὅστις τῷ ἑαυτοῦ βίῳ ἐπιχειρεῖ, ὅμοιός ἐστι στρατιώτῃ ὅστις τὴν τάξιν ἐναντίον (ou ἔμπροσθεν) τῶν πολεμίων (ou τοῖς πολεμίοις) λείπει. — Οὐδὲν τὰς ψυχὰς ἴσον δουλείᾳ ταπεινοῖ.—Οἱ μεγάλοι ποιηταὶ καὶ οἱ μεγάλοι συγγραφεῖς ἐξ ἴσου τοῖς ἐνδοξοτάτοις στρατηγοῖς βαίνουσι.—Ὁ Δίων ἐπὶ τὴν Σικελίαν ἀνήχθη ἅμα ναυσὶν ὅπλων γεμούσαις. —Αἱ Ἑλληνίδες παρθένοι οὔποτε ἐναντίον ξένων ἀνδρῶν προήεσαν.—Ἄνθρωπος πολλάκις ἐγγὺς ὢν θανάτου (ou θανάτῳ) ἐλπίδας ἔτι εἰς τὸ μέλλον προτείνει.—Ὁ Πειρίθους ἐνίους ἐνδόξους πόνους ἅμα (ou ὁμοῦ) τῷ Θησεῖ ἐξήνυσεν.—Ὁ Κράσσος, πρῶτος τῶν Ῥωμαίων στρατηγῶν, στρατείας ἐναντίον τοῖς Πάρθοις ἀντελάβετο.—Ὁ Καῖσαρ τὴν Ἰταλίαν ἅμα (ou ὁμοῦ) τῷ μαρτίῳ μηνὶ λιπών, αὐτίκα πολέμου πάλιν ἤρξατο. — Πάνθ' ὁμοῦ θεοῖς δυνατὰ, πάντ' ἄνευ θείας προστασίας ἀδύνατά ἐστι. — Συκοφάντην ἐξ ἴσου ἰώδει ὄφει φεύγετε.— Ὁ Ἀλέξανδρος ὁμόσε πᾶσι τοῖς κινδύνοις ἀσμένως ἔτρεχε.

199ᵉ Exercice.

Suite du régime des prépositions-adverbes (*Grammaire*, § 505).

Οἱ νικηταὶ πάσας τὰς χώρας πορθοῦσιν ἃς διέρχονται, πυρὸς δίκην πάσας τὰς ὕλας ἐσθίοντος ἃς καταλαμβάνει. — Ὁ Ἀλέξανδρος ποίμνης δίκην τὸν ἀναρίθμητον Περσῶν στρατὸν ἤλαυνεν.— Ὁ Ἀντώνιος δήμαρχος ἐν τῇ συνεδρίᾳ Καίσαρος ἐπιστολὴν βίᾳ τῶν ὑπάτων ἀναγινώσκει.— Οἱ γραφεῖς τὰς Μούσας ἡμῖν παριστᾶσι κύκλῳ τοῦ Ἀπόλλωνος κιθαρίζοντος καθημένας. —Ὁ Καῖσαρ τὰς τοῦ ταμιείου πύλας κατήραξε βίᾳ τοῦ Μετέλλου δημάρχου. — Οἱ ποταμοὶ, αὐξηθέντες τοῖς ὄμβροις, σὺν πατάγῳ χειμάῤῥων δίκην ῥέουσι. — Ὁ Ἀλέξανδρος τὴν Ἰνδίαν Διονύσου δίκην ὑφ' ἑαυτῷ ποιήσασθαι ἐβουλήθη. — Ὁ Μέτελλος Κίμβερ, εἷς τῶν συνωμοτῶν, τὴν Καίσαρος ἐπιείκειαν τοῦ ἀδελφοῦ φεύγοντος χάριν ἐπεκαλεῖτο. — Οἱ Τρῶες τῷ Ἀχιλλέως ξίφει ἔπιπτον, σταχύων δίκην ὑπὸ τοῦ θεριστοῦ ἀμωμένων. —Οἱ Σικελοὶ τῶν Ἀθηναίων αἰχμαλώτων ἐφεί-

σαντο Εὐριπίδου χάριν, οὗ τὰς τραγῳδίας ἐθαύμαζον. — Ὁ Ῥωμύλος τάφρον ἐπεσκάφει κύκλῳ τῆς χώρας οὗ ἡ Ῥώμη ἀνίστασθαι ἤμελλεν. — Οἱ ἱππεῖς, ἀφ' ἵππων καταβάντες, πεζῶν δίκην ἐμαχέσαντο. — Ὁ Κικέρων νόμον εἰσήνεγκε τῶν παίδων ἕνεκα τῶν προγεγραμμένων, οὓς ὁ Σύλλας πάσης δημοσίας ἀρχῆς ἀναξίους ἀνειρήκει. — Ἡ τῶν πονηρῶν εὐτυχία χειμάῤῥου δίκην ἐκρέει. — Οὐδὲν πράξετε, οὐδὲν λέξετε Ἀθηνᾶς βίᾳ. — Οὐδὲν μᾶλλον ἀφόρητόν ἐστιν ἢ ἀνθρώπων ὁμιλία ὅσοι μόνον γλώσσης χάριν λέγουσι.

200e Exercice.

Questions de lieu. — Question *ubi* (*Grammaire*, § 508).

1. Αἱ ψοφώδεις τέχναι ἐν Συβάρει ἀπείρηντο· οὐδὲ ἐξῆν ἀλεκτρυόνας ἐν τῇ πόλει τρέφειν. — Οἱ παῖδες ἐν τῷ ἀγρῷ τραφέντες τὰ πολλὰ ἰσχυρότεροι τῶν ἐν τῇ πόλει εἰσί. — Ὁ Νουμᾶς ἥσυχος διῆγεν ἐν ταῖς Κύρεσι, μικρᾷ τῶν Σαβίνων πόλει. — Φυτά τινα μόνον ἐν ταῖς ἀποτόμοις καὶ ὀρειναῖς χώραις γίγνεται. — Ἐν τῇ Ἀρσινόῃ πόλει, πρῶτον Κροκοδείλων πόλει ὠνομασμένῃ, οἱ Αἰγύπτιοι ἱερὸν κροκόδειλον ἔτρεφον, ὅσπερ τιθασὸς ἦν. — Ὁ Θαλῆς, ἐν τῇ Μιλήτῳ γεγονὼς, ἐν τῇ Ἰωνίᾳ, πρῶτος σοφὸς ἐκλήθη. — Τρόπαια ἐν Μαραθῶνι, ἐν Σαλαμῖνι καὶ ἐν Πλαταιαῖς ἐγηγερμένα, τὴν δόξαν τῶν πολιτῶν ὑπερ τῆς πατρίδος πεσόντων διασώσει. — Οἱ ξένοι πολλὰ μὲν ἐν τῇ Ἑλλάδι, πλεῖστα δὲ ἐν Ὀλυμπίᾳ θαύματος ἄξια εὑρίσκουσι. — Ἐν τῇ τῆς Ἀττικῆς παραλίᾳ πόλις ἐστὶν Ἐλευσὶς, ἐν ᾗ ὁ τῆς Ἐλευσινίας Δήμητρός ἐστι ναὸς καὶ τὸ τέμενος ὃ καθιέρωσεν Ἴκτερος. — Πάντες οἱ Σπαρτιᾶται κοινῇ δειπνοῦσιν· οὐκ ἔξεστι δ' αὐτοῖς ἐν ἀλλοτρίᾳ χώρᾳ διάγειν. — Οἱ Ἐτροῦσκοι, τὸν βίον ἐν συμποσίοις καὶ ἀκολασίαις διάγοντες, τὴν παλαιὰν δύναμιν ἀπολωλέκασι.

2. Ἐν τῇ Κρήτῃ πολλαί εἰσι πόλεις, ὧν τρεῖς μείζονες καὶ ἐνδοξότεραι τῶν ἄλλων εἰσί· Κνωσὸς, Γορτύνη καὶ Κυδωνία. — Οἱ τῆς Μιέζης πολῖται ἐν δημοσίῳ τινὶ κήπῳ ἔτι δεικνῦσι τήν τε ἕδραν ἐφ' ἧς ὁ Ἀριστοτέλης καθῆστο καὶ τοὺς ἐπισκίους ὄρχους ἐν οἷς περιεπάτει. — Ἐν τοῖς ξηροτάτοις καὶ θερμοτάτοις τόποις πλεῖστα καὶ βέλτιστα γίγνεται ἀρώματα. — Πολλάκις Αἰθίοπες βασιλεῖς ἐν τῇ Αἰγύπτῳ ἐβασίλευσαν. — Ἐν τῇ Εὐρώπῃ, τὰ μὲν ὄρη ἧσσον ὑψηλὰ, οἱ δὲ ποταμοὶ ἧσσον εὐρεῖς καὶ βαθεῖς εἰσιν ἢ ἐν τοῖς ἄλλοις γῆς μέρεσιν. — Ἐν τῇ Γαλλίᾳ, ἡ πλείστη τῆς χώρας ὕλαις τὸ πάλαι πεπυκασμένη ἦν. — Ἐν Τάραντι, οἱ Ῥωμαῖοι πρέσβεις ὑπὸ τοῦ πλήθους ἀγροίκως ὑβρισμένοι ἦσαν. — Ἅπαντες σχεδὸν οἱ τοῦ Ἀλεξάνδρου διάδοχοι ἐκόσμησαν τὰ βασίλεια ἃ Ἀλέξανδρος ἐν Ἀλεξανδρίᾳ ᾠκοδομήκει. — Ἐν τῇ Πελοποννήσῳ, σχεδὸν Ταινάρου, οἱ οἰκήτορες λατομίας πολλὰς εἰργάζοντο μαρμάρου ὀνομαστοῦ.

201ᵉ Exercice.

Suite de la question *ubi* (*Grammaire*, § 509).

Οἱ ἱππεῖς οἱ παρὰ (ou πρὸς) ταῖς τοῦ βουλευτηρίου θύραις τὴν τελευτὴν προσέμενον τῆς συνεδρίας, τὸν Καίσαρα, ὡς Κατιλίνου κοινωνὸν ὄντα, ἀποκτεῖναι βουλόμενοι. — Ὁ Ἀλέξανδρος πρὸς (ou παρὰ) τῷ Γρανεικῷ τριάκοντα καὶ τετρακοσίους στρατιώτας μόνον ἀπώλεσε. — Οἱ ποιηταὶ πρὸς (ou παρὰ) τῇ Ταρτάρου εἰσόδῳ τὸν Κέρβερον καὶ ἄλλα τέρατα ἔτι φοβερώτερα ἵδρυσαν. — Ἡ τῆς Ῥωμαίας ἀρχῆς τύχη δὶς παρὰ (ou πρὸς) Φαρσάλῳ διεκρίθη. — Πολλοὶ δορυφόροι πρὸς (ou παρὰ) ταῖς τοῦ βασιλείου θύραις ἀγρυπνοῦσιν. — Ἡ ναῦς ἡ τὴν τοῦ Γερμανικοῦ κόνιν φέρουσα, τὸ πρῶτον παρὰ (ou πρὸς) τῇ Κερκύρᾳ νήσῳ ἔστη, ἐναντίον τῆς Καλαβρίας κειμένη. — Ὁ Σωκράτης παρὰ (ou πρὸς) τῷ Ἰλισσῷ σὺν τοῖς φίλοις διαλεγόμενος περιεπάτει. — Πρὸς (ou παρὰ) τῇ Κυρήνῃ, ἡ γῆ οὐ μόνον σῖτον, ἀλλὰ καὶ ἄμπελον καὶ ἐλαίαν φέρει. — Παρὰ (ou πρὸς) Μύνδῃ ὁ Καῖσαρ μέγιστον ἐκινδύνευσε κίνδυνον. — Πρὸς (ou παρὰ) τῇ Μέμφει ἦσαν αἱ πυραμίδες ἐκεῖναι αἱ περιβόητοι, τῶν παλαιῶν βασιλέων μνήματα. — Φύλακες πρὸς (ou παρὰ) πάσαις ταῖς ἐξόδοις τῆς ἐπαύλεως ἣν ὁ Ἀννίβας ᾤκει, ἐτάχθησαν. — Πᾶς ὁ Θηβαίων δῆμος, λοιμῷ βαρυνθεὶς, πρὸς (ou παρὰ) τοῖς βωμοῖς τὴν τῶν θεῶν ἐπιείκειαν ἐπεκαλεῖτο. — Οἱ τῶν Ἑλλήνων πρέσβεις πρὸς (ou παρὰ) τῷ τοῦ μεγάλου βασιλέως θρόνῳ οὐ προσεκύνουν ποτέ. — Ὁ Ἀρισταῖος ποιμὴν παρὰ (ou πρὸς) τῇ τοῦ ποταμοῦ πηγῇ περίλυπος εἱστήκει, καὶ τὴν μητέρα ἐπεκάλει. — Οἱ Καρχηδόνιοι μέγιστον νεώριον παρὰ (ou πρὸς) τῷ λιμένι τῷ Κώθωνι ὠνομασμένῳ ᾠκοδομήκεισαν. — Ἡττηθεὶς παρὰ (ou πρὸς) Ζάμῃ, ὁ Ἀννίβας εἰρήνην αἰτῆσαι ἀναγκάσθη τὸν Σκιπίωνα. — Ὁ Ἀμίλκας παρὰ (ou πρὸς) Ἱμέρᾳ ἡττήθη ὑπὸ τοῦ Γέλωνος, τοῦ Συρακουσῶν τυράννου, καὶ ἐν τῇ μάχῃ ἔπεσε. — Ὁ τῶν Ῥωμαίων στόλος, πρὸς (ou παρὰ) Ὀστίᾳ ὁρμισάμενος, οὐρίους ἀνέμους προσεδόκα.

202ᵉ Exercice.

Suite de la question *ubi* (*Grammaire*, § 510).

Ἀγνωμοσύνη παρὰ μὲν πᾶσι τοῖς δήμοις στυγερὸν ἀδίκημα νομίζεται, παρ' οὐδενὶ δὲ κολάζεται. — Παρ' ἔθνεσί τισι τῆς Ἰνδίας αἱ χῆραι ἑαυτὰς ἐπὶ τῷ τῶν τεθνεώτων ἀνδρῶν τύμβῳ κατακαίουσι. — Αἱ Ῥωμαΐδες γυναῖκες τὰ τῆς Ἀγαθῆς Θεᾶς μυστήρια παρ' ἑτέρῳ τῶν ὑπάτων ἐτέλουν. — Παρὰ τοῖς παλαιοῖς Γερμανοῖς αἱ γυναῖκες μόναι τὸ μέλλον προεφήτευον. — Τῶν αὐτῶν μύθων οἱ πλεῖστοι παρ' ἅπασίν εἰσι τοῖς μυθογράφοις. — Ὁ Βέρρης τὴν οἰκίαν τῶν ξένων ἐσύλα παρ' οἷς κατελελύκει. —

— Ὁ Λακεδαιμόνιος Δημάρατος, ὃς παρὰ τῷ Ξέρξῃ διῆγε, μόνος τὴν ἀλήθειαν αὐτῷ λέγειν ἐτόλμησε. — Παρὰ τοῖς Ῥωμαίοις, ἀόριστος ἦν ἡ τῶν πατέρων ἐξουσία. — Παρὰ πολλοῖς τῶν παίδων γέρως ἐλπὶς ἰσχυροτέρα ἐστὶν ἢ κολάσεως φόβος. — Ἐνίοτε παρὰ τῷ αὐτῷ ἀνθρώπῳ τά τε κακὰ καὶ τὰ καλὰ εὑρίσκομεν τὰ μάλιστα ἐναντία δοκοῦντα εἶναι. — Παρὰ τοῖς Λακεδαιμονίοις, κλοπὴ δεξιῶς ἐργασθεῖσα οὐκ ἐνομίζετο ἀδίκημα εἶναι. — Οἱ παρὰ τῷ Πλάτωνι διάγοντες οὐχ ἧσσον τῇ αὐτοῦ πραότητι καὶ ἀφελείᾳ τῶν ἠθῶν ἢ τῆς φρονήσεως δεινότητι ἐτέρποντο. — Ὁ Ἀλκιβιάδης τὸ πλεῖστον τῆς νεότητος παρὰ τῷ Περικλεῖ διήγαγεν, ἐπιτρόπῳ καὶ θείῳ ὄντι. — Παρὰ τοῖς παισίν, ἡδονὴ καὶ λύπη ταχὺ παρατρέχουσιν. — Ἡ τοῦ Πομπηΐου δόξα μεγάλη ἦν, μάλιστα δὲ παρὰ τοῖς τῆς Ἀνατολῆς δήμοις, οἷς ὁ Καῖσαρ ἔτι ἄγνωστος ἦν. — Αἱ νόσοι παρὰ παισὶν ἢ παρ' ἐφήβοις, παρὰ γέρουσιν ἢ παρ' ἀκμάζουσι συχνότεραί εἰσιν. — Οἱ κόλακες πολλάκις παρὰ τοῖς βασιλεῦσι πλέον τῶν ἀληθινῶν φίλων ἰσχύουσιν.

203e Exercice.

Question *quò* (*Grammaire*, § 511).

1. Ἀννίβας εἰς τὴν Καρχηδόνα πολλοὺς μοδίους ἔπεμψε δακτυλίων πλήρεις τῶν Ῥωμαίων ἱππέων. — Ὀδυσσεὺς καὶ Διομήδης, εἰς τὸ τῶν Τρώων στρατόπεδον εἰσελθόντες, πάντα αἵματος καὶ φόνου ἐνέπλησαν.— Οὐεσπασιανὸς αὐτοκράτωρ πολλάκις εἰς μικρὰν κατ' ἀγρὸν οἰκίαν ᾔει, ἐν ᾗ γεγονὼς ἦν.— Μιλτιάδης Ἀθηναίων ἀποικίαν εἰς τὴν Χεῤῥόνησον ἤγαγε. — Παροιμία τις Ἑλληνικὴ ἔλεγεν· Οὐ δυνατὸν πᾶσιν ἰέναι εἰς Κόρινθον. — Ἡ Ῥώμη δύο τάγματα μόνον εἰς τὴν Ἀσίαν ἐπὶ τὸν Ἀντίοχον ἀπεστάλκει.—Οἱ Καῖσαρ πρῶτος Ῥωμαϊκὸν στρατὸν εἰς τὴν Βρεταννίαν ἤγαγεν. — Οἱ Γάλλοι σὺν πολλῷ στρατῷ εἰς τὴν Ἰταλίαν εἰσῆλθον. — Ὁ Νεῖλος εἰς τὴν μεσόγειον θάλασσαν εἰσβάλλει. — Ὁ Ἰνδὸς καὶ ὁ Γάγγης τὸ ὕδωρ εἰς τὴν Ἐρυθρὰν θάλασσαν φέρουσι. — Οἱ νικηταὶ πολλάκις εἰς ἑτέρας χώρας ὅλα ἔθνη μετεστήσαντο. — Ὁ τοῦ Ἀλεξάνδρου νεκρὸς ταριχευθεὶς εἰς Ἀλεξάνδρειαν ἐκομίσθη. — Ἐν Ῥώμῃ, οἱ πατροκτόνοι εἰς βύρσαν μετὰ κακοποιῶν ζώων ἔμψυχοι ἐνραφέντες, εἰς τὸν Τίβεριν ἐῤῥίπτοντο.— Παρὰ τοῖς Ἀθηναίοις, οἱ ἀδικήσαντες εἰς φάραγγα κατεκρημνίζοντο Βάραθρον ὠνομασμένην. — Ὁ Κάτων τῷ Φουλβίῳ ὑπάτῳ ἐπετίμησεν, εἰς Αἰτωλίαν τὸν Ἔννιον ποιητὴν ἀγαγόντι.— Ὁ Ἐμπεδοκλῆς, ποιητὴς καὶ φυσικός, ἑαυτὸν εἰς τὸν ἔμπυρον τῆς Αἴτνης κρατῆρα ἔῤῥιψεν.

2. Οἱ τῆς Αἰγύπτου βασιλεῖς τοὺς ἀλιτηρίους καὶ τοὺς αἰχμαλώτους εἰς μέταλλα πέμπουσιν, ἐπὶ τοῖς Αἰγύπτου καὶ Αἰθιοπίας ὁρίοις κείμενα. — Ἡμεῖς μὲν ὕδωρ εἰς ποταμόν, οἱ δὲ παλαιοὶ ξύλον εἰς ὕλην φέρειν

ἔλεγον. — Ὁ Δημοσθένης, τὴν τοῦ Ἀντιπάτρου νίκην πυθόμενος, εἰς τὴν Καλαυρίαν νῆσον ἔφυγεν. — Ὁ Καῖσαρ, ἀπαξιώσας εἰς Ἤπειρον στρατηγὸν ἄνευ στρατοῦ διώκειν, εἰς Ἰβηρίαν ἤει, στρατῷ ἄνευ στρατηγοῦ μαχούμενος. — Ὁ ἄνθρωπος εἰς τὴν ἔρημον ἀπήλασε πολλὰ ζῶα, ἃ χώρας κατεῖχεν εὐπόρους νῦν οὔσας καὶ πολυανθρώπους. — Ῥωμαῖός τις αὐτοκράτωρ εἰς ἔρημον νῆσον ἅπαντας τοὺς συκοφάντας ἐξώρισεν. — Ὁ ῥύαξ, τοὺς καμίνους ἐκρήξας, πυρφόρον ποταμὸν εἰς τοὺς ἀγροὺς ἐκχέει. — Οἱ ἀνθύπατοι εἰς τὰς ἐπαρχίας πεμφθέντες αὐτοκρατείας ἀπέλαυον. — Ὀδυσσεύς, εἰς τὴν Σικελίαν προσορμισάμενος, τὸν Κύκλωπα Πολύφημον ἐτύφλωσεν, ὃς δέκα αὐτοῦ ἑταίρους ἀποκτείνας κατεδηδόκει. — Ὁ Ἀλέξανδρος, ἱδρῶτος καὶ κόνεως ἀνάπλεως, εἰς τὰ κρυερὰ τοῦ Κύδνου ὕδατα ἑαυτὸν ἀπέῤῥιψε. — Ὁ Ἀλέξανδρος, τὴν τῶν στρατιωτῶν δυσαρέστησιν πυθόμενος, τοὺς ὑπάρχους εἰς τὴν κλισίαν συνεκάλεσεν. — Ὁ Ἰφικράτης εἰς τὸν Ἀθηναίων στρατὸν καινά τινα τακτικά τε καὶ ὅπλα εἰσήγαγε. — Πομπήϊε, τίς ὀλέθριος μοῖρά σε εἰς Αἴγυπτον ἤλαυνε; — Οἱ ἄνθρωποι τοῖς δένδροις ὅμοιοί εἰσιν, ἃ ταχέως ἀποθνήσκει, ὀψιαίτερον εἰς ἑτέρας χώρας μεταφυτευθέντα. — Ὁ Δανιὴλ προφήτης, πάνυ νέος ἔτι ὤν, αἰχμάλωτος εἰς Βαβυλῶνα ἀπῆκτο.

204ᵉ Exercice.

Suite de la question *quò* (*Grammaire*, § 512).

Ὁ τράγος καὶ ἡ ἀλώπηξ ἅμα πορευόμενοι πρὸς φρέαρ ἀφίκοντο. — Ὁ Ἡρακλῆς πρὸς τὰ ἔσχατα τῆς Ἰβηρίας ἀφικόμενος, ἐπέσχεν. — Οἱ μύριοι πρὸς τὸ τῶν πόνων τέλος ἤδη προσήρχοντο. — Οἱ δῆμοι οἱ τοὺς ὑπερβορείους χώρας οἰκοῦντες πρὸς τὴν μεσημβρίαν μάλιστα ἀποτείνουσι. — Ὁ Σκιπίων, μετὰ πάσης τῆς δυνάμεως πρὸς Λιβύην ἔπλευσε. — Ὁ Ῥήγολος πρὸς τὴν Καρχηδόνα ἐπελάσας ἡττήθη καὶ ἐζωγρήθη ὑπὸ Ξανθίππου τοῦ Λακεδαιμονίου. — Ἀννίβας πρὸς Ῥώμην προσήγγισε μᾶλλον ἢ ἄλλος τις πολέμιος στρατηγὸς μετὰ τὴν πρώτην τῶν Γάλλων εἰσβολήν. — Ὁ Καῖσαρ, πρὸς τὸν Ῥουβίκωνα ἀφικόμενος, ὃς τὴν ἐντὸς τῶν Ἄλπεων Γαλλίαν ἐκ τῆς Ἰταλίας ἀφορίζει, τινὰ χρόνον ἠπόρησε. — Οἱ Μακεδόνες, πρὸς τὸν Ὠκεανὸν ἀφικόμενοι, ὑπὸ τῶν παλιῤῥοιῶν τὸ πρῶτον ἐξεπλάγησαν. — Ὁ Ἀλέξανδρος πρὸς τὴν Περσέπολιν προσερχόμενος τετρακισμυρίοις σχεδὸν Ἕλλησιν ἀπήντησεν, ὑπὸ τῶν βαρβάρων κεκολουμένοις. — Πάντες ὄρνιθες ὅσοι ἐπέτοντο πρὸς τὴν Ἄορνον, ἔπιπτον, ὥς φασι, καὶ ἀπέθνησκον. — Ἑρμῆς τοὺς νεκροὺς πρὸς τὸ πλοῖον ἐψυχαγώγει τοῦ Χάρωνος, ὃς τούτους πάλιν πρὸς τὸ τῶν τριῶν δικαστήριον ἀπῆγεν, Αἰακοῦ, Μίνωος καὶ Ῥαδαμάνθυος. — Ἶρις, τὰ τῆς Ἥρας ἐπιτάγματα τῇ Πείνῃ ἀπαγγείλασα, τὸ ἅρμα πρὸς τὸν οὐρανὸν ἔτρεψε. — Εἷς τῶν τοῦ

Τηλεμάχου ἀνταγωνιστῶν σχεδὸν πρὸς τὸν σκοπὸν ἀφικόμενος, ἐκ τοῦ ἅρματος ἔπεσε καὶ ἐξετραχηλίσθη. — Ὁ Ἡρακλῆς, λιπὼν ἃ θανάσιμα παρὰ τῆς μητρὸς Ἀλκμήνης παρειλήφει, πρὸς τὸν οὐρανὸν ἀνέπτη. — Ὀλίγοι ποταμοὶ πρὸς βορέαν ῥέουσιν. — Ὁ Φιλοκτήτης ταῖς Νεοπτολέμου λιταῖς ἐπικαμφθεὶς πρὸς τὴν Τρωάδα τέλος ἀνήχθη. — Οἱ ἄθλιοι πρὸς τὴν ἐσχάτην τιμωρίαν ἀγόμενοι ἔτι ὑπ' ἀγεννοῦς ὄχλου ὠνειδίζοντο. — Ἀνδρομάχη, ἱερείῳ τινὶ παρόμοιος, πρὸς τὸν βωμὸν ἐχώρει, ὑπὸ τοῦ Πύῤῥου ἑλκομένη.

205ᵉ Exercice.

Suite de la question *quò* (*Grammaire*, § 513).

Ὁ Ἀννίβας πρῶτον μὲν πρὸς τὸν Ἀντίοχον, τὸν τῆς Συρίας βασιλέα, ἔπειτα δὲ, ὑπὸ τῆς τῶν Ῥωμαίων ἔχθρας ἀεὶ διωκόμενος, πρὸς τὸν Προυσίαν, τὸν τῆς Βιθυνίας βασιλέα, κατέφυγε. — Ὁ Κινέας ὑπὸ Πύῤῥου τοῦ βασιλέως εἰς Ῥώμην πεμφθεὶς πρῶτον πρὸς τοὺς τῶν βουλευτῶν κρατίστους ἦλθε. — Ἡ Δαρείου γυνὴ καὶ ἡ μήτηρ ἁλοῦσαι πρὸς τὸν Ἀλέξανδρον ἤχθησαν. — Οἱ τῶν Σκυθῶν πρέσβεις πρὸς τὸν τῶν Μακεδόνων εἰσαχθέντες βασιλέα μετὰ παῤῥησίας ἅμα καὶ εὐγενείας αὐτὸν προσηγόρευσαν.— Ὁ ἀκόλαστος υἱὸς, εἰς ἐσχάτην ἀπορίαν καθεστηκὼς, τέλος πρὸς τὸν πατέρα ἐπανῆλθε. — Ὑπερμεγέθης τις ῥόμβος ἐν τῷ Ἀδρίᾳ ἁλοὺς πρὸς τὸν Δομετιανὸν ὑπὸ τῶν ἁλιέων ἐκομίσθη. — Ὁ Περσεὺς πρὸς τὸν Παῦλον Αἰμίλιον ἀχθεὶς οὐ τῷ δυστυχήματι προσεκαρτέρησε.— Ἡ τοῦ Κικέρωνος κεφαλὴ πρὸς Φουλβίαν, τὴν Ἀντωνίου γυναῖκα, ἐκομίσθη. — Οἱ δήμαρχοι πολλάκις πρὸς τὸν δῆμον ἐκάλουν τοὺς ἐπιφανεστάτους πολίτας. — Οἱ τῶν Ἑλλήνων ἡγεμόνες λίαν τεθαῤῥηκότες πρὸς τὸν Τισσαφέρνην πορευθέντες κατεφονεύθησαν. — Βάρβαροί τινες δῆμοι τὰς τῶν τεθνεώτων πολεμίων κεφαλὰς ἔτι νῦν ἀποκόπτουσι, καὶ πρὸς τοὺς ἡγεμόνας κομίζουσι τοὺς ἑαυτῶν ὡς ἀνδρείας μαρτύρια. — Ὀρφεὺς εἰς τὸ ἔρεβος πρὸς Πλούτωνα καὶ Περσεφόνην καταβῆναι ἔγνω, ὥστε τούτω τὼ θεὼ εἰς ἔλεον τρέψαι. — Ὁ Τιβέριος, Πείσωνα πρὸς τὸν Γερμανικὸν πέμψας, φονεὺς τοῦ νεανίου γενέσθαι ἐνομίσθη. — Ὁ λέων νοσήσας πρὸς ἑαυτὸν ἅπαντα τὰ ζῶα ἐκάλεσε. — Οἱ ἐπιφανέστατοι βασιλεῖς τοὺς μεγάλους τεχνίτας καὶ συγγραφεῖς πρὸς ἑαυτοὺς ἐπάγεσθαι ἐπειράσαντο. — Ὁ Πρίαμος πρὸς τὸν Ἀχιλλέα ἦλθε, τὸν τοῦ Ἕκτορος νέκυν ἀπαιτήσων. — Θηβαία γυνὴ στρατηγόν τινα τῶν Μακεδόνων εἰς φρέαρ ἀποῤῥίψασα πρὸς τὸν Ἀλέξανδρον ὑπὸ τῶν στρατιωτῶν εἱλκύσθη.

206ᵉ Exercice.

Question *unde* (*Grammaire*, § 514).

1. Ὁ Κάδμος, ἐκ Φοινίκης φεύγων, τὰς Θήβας ἐν τῇ Βοιωτίᾳ κατῴκισε. — Οἱ λαοὶ ἐκ πάντων τῶν Ἑλλάδος μερῶν πρὸς τοὺς ἐν Ὀλυμπίᾳ ἀγῶνας συνέῤῥεον. — Καρχηδὼν ἐκ τῆς Νομαδικῆς ἀρίστην ἵππον καὶ ἐκ τῶν Βαλεαρίδων νήσων δεινοτάτους σφενδονήτας μετεπέμπετο. — Ὁ Κρόνος, ἐξ οὐρανοῦ ὑπὸ τοῦ Διὸς ἐκβληθεὶς, εἰς τὸ Λάτιον, ὥς φασι, κατέφυγε. — Ὁ Λυκοῦργος, δοὺς τῇ Σπάρτῃ τοὺς νόμους τοὺς περιβοήτους, ἐκ τῆς πόλεως εἰσαεὶ ἐξῆλθε. — Κατὰ τοὺς παλαιοὺς, Ζεὺς τὸν μὲν κεραυνὸν ἐκ νεφελῶν ἔβαλλε, τὸν δ' ὑετὸν ἐξ οὐρανοῦ κατέχεε. — Πολλαὶ νῆες ἐκ τῆς Ἰνδικῆς σὺν τιμίοις φόρτοις ἐπανερχομέναι ὑπὸ λῃστῶν ἑαλώκεισαν. — Οἱ Ῥωμαῖοι ἐκ Λιβύης πολὺν λεόντων καὶ ἐλεφάντων ἀριθμὸν εἰς τοὺς ἀγῶνας μετεπέμποντο. — Ὁ Πομπήϊος, τὴν Καίσαρος πρόσοδον πυθόμενος, ἐκ Ῥώμης σὺν τοῖς πλείστοις τῆς συγκλήτου ἐξῆλθε. — Δαναὸς ἐξ Αἰγύπτου φεύγων τὸ Ἄργος εἷλε. — Ὁ Ἀνάχαρσις, ἐκ τῆς Σκυθίας ὁρμήσας ὥστε τὰ τῶν Ἑλλήνων ἤθη μανθάνειν, πρῶτον εἰς τὰς Ἀθήνας ἦλθε, καὶ πολὺν χρόνον ἐν τῇ πόλει διέτριψε. — Ἡ τοῦ Κέκροπος ἀποικία ἐκ τῆς Σαΐδος πόλεως τῆς ἐν Αἰγύπτῳ τὸ γένος ἀνεῖλκε. — Ὁ Κίμων, ἐκ τοῦ Πειραιέως σὺν διακοσίαις τριήρεσιν ἐξελθὼν, τὰς ἐν Καρίᾳ καὶ Λυκίᾳ παραλίους πόλεις ὑφ' ἑαυτῷ ἐποιήσατο, καὶ τὸν τῶν Περσῶν στόλον ἐγγὺς τῆς Κύπρου νήσου ἐνίκησε.

2. Πελώριός τις ὗς, ἐκ τῶν Αἰτωλίας ὑλῶν ὁρμήσας, τοὺς περὶ τὴν Καλύδωνα πόλιν ἀγροὺς ἐπόρθει. — Οἱ ἀνάριθμοι στρατοὶ οὓς οἱ τῶν Περσῶν βασιλεῖς ἐκ πάντων τῶν πρὸς ἕω ἐκομίζοντο, πολλάκις ἐκ τῶν χωρῶν εἰς ἃς ἐνέβαλον ἀναχωρῆσαι δι' ἀσιτίαν ἠναγκάζοντο. — Τὰ ἐκ τῆς Λιβύης ζῶα τὸ πλεῖστον ἰσχυρότερα καὶ ἀγριώτερα τῶν ἐκ τῆς Ἀσίας ἐστί. — Ὁ Θεμιστοκλῆς, ἐξελαθεὶς ἐκ τῆς Ἑλλάδος ἣν ἔσωσε, πρὸς τὸν βασιλέα τὸν μέγαν κατέφυγε. — Ὁ Ἀλέξανδρος ἐκ Κιλικίας εἰς Αἴγυπτον διέβη. — Οἱ Καρχηδόνιοι πλοῦτον μέγαν ἐκ τῶν ἐν Ἱσπανίᾳ μετάλλων ἐκομίζοντο. — Ποταμός τις Ζιόβερις καλούμενος, ἐκ τῶν ἐν τῇ Ὑρκανίᾳ ὀρῶν ὁρμήσας, ἐξαίφνης κατάγειος ἀφανίζεται, εἶτ' αὖθις ἀναφαίνεται, ὥσπερ ἐξ ἄλλης τινὸς πηγῆς ἀναφυόμενος. — Ὁ Ἄγις, κακός τις ποιητὴς, ἐκ τοῦ Ἄργους ἐλθὼν, εὔνοιαν ἔσχε παρὰ τοῦ Ἀλεξάνδρου. — Ὁ Σκιπίων, ἐκ τοῦ Καπετωλίου καταβὰς, εἰς τὴν ἔπαυλιν ἀπῄει. — Ὁ Μάλλιος, γραφὴν παρανόμου φιλοτιμίας γραφεὶς καὶ ἁλοὺς, ἐκ τοῦ Ταρπηΐου λόφου κατεκρημνίσθη, ἐξ οὗ τοὺς Γάλλους αὐτός ποτε κατεκρήμνισε. — Πᾶς Λακεδαιμόνιος ὅστις ἐκ τῆς μάχης ἄνευ ἀσπίδος ἐπανήρχετο, ἄτιμος εἶναι ἐνομίζετο. — Οἱ Γερμανοὶ ἐκ τῆς ἐνέδρας ἐξαίφνης ὁρμή-

σαντες τοὺς Ῥωμαίους ἐν ταῖς λίμναις ἐμπεποδισμένους διέφθειραν. — Οἱ αὐτοκράτορες, οἱ ἐν τῇ Ῥώμῃ μετὰ τοὺς δώδεκα Καίσαρας ἐβασίλευσαν, ἐκ πασῶν τῶν τῆς ἀρχῆς ἐπαρχιῶν, ἔνιοι δὲ καὶ ἐξ ἐθνῶν ἔτι βαρβάρων ἐγένοντο. — Ἰκτῖνός τις ἐξ ἀέρος προσενεχθεὶς ἀηδόνα ταλαίπωρον κατέλαβε. — Ὅσος ἐστὶ πλοῦτος ὁ ἐκ τῶν τῆς γῆς ἐγκολπίων ἀνατελλόμενος.

207ᵉ Exercice.

Suite de la question *undè* (*Grammaire*, § 515).

Ὁ τῶν Τρώων στόλος, οὐρίῳ πνεύματι φερόμενος, ταχέως ἀπὸ τῶν τῆς Λιβύης αἰγιαλῶν ἀπεστάλη. — Οἱ ἀσεβεῖς καὶ οἱ ἱερόσυλοι ἀπὸ τῆς τῶν ἀγαθῶν συνουσίας ἀπειργέσθωσαν. — Ἡ τοῦ Πυγμαλίωνος ὠμότης καὶ πλεονεξία τοὺς ξένους ἀπὸ Τύρου εἴργει. — Οἱ πολιορκούμενοι, λίθων νιφάδας βάλλοντες, καὶ ἔλαιον ζέον καταχέοντες, τοὺς ἐφορμῶντας ἀπὸ τῶν τειχῶν ἀπείργουσι. — Οἱ βάρβαροι οἱ ἀπὸ τοῦ Κασπίου πελάγους ἀφικόμενοι τοῖς τὴν ἀρχὴν κατοικοῦσιν ἔτι φοβερώτεροι τῶν ἄλλων ἐδόκουν εἶναι. — Οἱ Ῥωμαῖοι ἀπὸ τοῦ Γερμανικοῦ Ὠκεανοῦ μέχρι τοῦ Εὐξείνου πόντου τὴν ἀρχὴν ἐξέτειναν. — Οἱ παλαιοὶ ἐτησίους ὠνόμαζον τοὺς ἀνέμους οἳ κατὰ τακτοὺς χρόνους ἀπὸ τῆς ἄρκτου εἰς τὸ Αἰγαῖον πέλαγος πνέουσι. — Ἡ τοῦ Κλωδίου βία ἀπὸ τῆς ἀγορᾶς πάντας τοὺς ἀγαθοὺς ἀπεῖργε. — Ὁ Ἕκτωρ ἑαυτὸν ἀποσπάσας ἀπὸ τῶν τῆς Ἀνδρομάχης περιβολῶν εἰς δῆλον θάνατον τρέχει. — Οὐδὲν ἔτι ἀπὸ τῶν Ἀθηνῶν τὸν τῶν Περσῶν στρατὸν ἀποτρέπειν ἐδύνατο, τὰς Θερμοπύλας ὑπερβεβληκότα. — Οἱ ἀπὸ τῆς θαλάσσης ἀφεστηκότες δῆμοι πολλῶν πλεονεκτημάτων ἄμοιροί εἰσιν. — Ἐν τοῖς Ἐκβατάνοις ἡ τοῦ βασιλέως οἰκία ἀπὸ τῆς πόλεως ἀποκεχωρισμένη ἦν περιτειχίσματι τῶν ἄλλων ὑψηλοτέρῳ τε καὶ ἰσχυροτέρῳ. — Ἡ θάλασσα ἡμᾶς οὐ μόνον ἀπὸ τῶν ἄλλων ἀποχωρίζει λαῶν, ἀλλὰ καὶ αὐτοῖς προσεγγίζει. — Οἱ ὁδοιπόροι τὴν νύκτα ἐν τῇ ἐρήμῳ διάγοντες, πῦρ μέγα καίουσιν, ὥστε ἀπὸ τῶν σκηνῶν τοὺς θῆρας ἀπείργειν. — Ἀπὸ τῆς μεσημβρινῆς εἰς τὴν ἄρκτον, ἀπὸ τῆς ἑσπέρας εἰς τὴν ἕω, ἡ γῆ χρόνον τινὰ πολλῆς εἰρήνης ἐπ' Αὐγούστου ἀπέλαυσε. — Φόβος καὶ ἀπιστία ὕπνον ἀπὸ τῶν τοῦ τυράννου ὀφθαλμῶν ἀπείργει. — Ὁ Ἀννίβας, πρὸ τῆς περὶ Κάνναν μάχης, οὐδεμίαν πόλιν ἀπὸ τῆς τῶν Ῥωμαίων συμμαχίας ἀποτρέψαι ἐδυνήθη.

208ᵉ Exercice.

Suite de la question *unde* (*Grammaire*, § 516).

Πλάτων καὶ Ξενοφῶν ἐπιφανέστατοι δύο μαθηταὶ παρὰ τοῦ Σωκράτους ἐξῆλθον. — Τοὺς παρὰ τῶν Ἑλλήνων πρέσβεις ὅ τε Πρίαμος καὶ οἱ Τρώων ἡγεμόνες καλῶς ἐδέξαντο. — Ὁ Ἀλκιβιάδης, παρὰ τοῦ Σωκρά-

τους ἐξελθὼν, ταχὺ τῶν σοφῶν τοῦ φιλοσόφου παραινέσεων ἐπελανθάνετο. — Οἱ πρέσβεις παρ' Ἀχιλλέως ἐπανελθόντες τοῖς ἄλλοις ἡγεμόσι τὴν τοῦ ἥρωος ἀπόκρισιν ἀπήγγειλαν. — Τίς ποτε πολίτης παρὰ τοῦ Τίτου δυσαρεστῶν ἐξῆλθε; — Ὁ Ἀπόλλων παρὰ τοῦ βασιλέως Ἀδμήτου ὑπὸ τοῦ Διὸς ἐπανάχθεὶς σύνδειπνος πάλιν τοῖς θεοῖς ἐγένετο. — Παρ' Ἡφαίστου ἥκω, ὃς ταῦτα τὰ ὅπλα αὐτὸς ἐχάλκευσεν ἀντὶ τῶν σῶν ὅπλων, ἃ τὸν Πάτροκλον Ἕκτωρ ἀφείλετο. — Ὑγίεια μὲν, καὶ τιμαὶ, καὶ πλοῦτος ἡμῖν παρὰ τῶν θεῶν εἰσιν· ἀρετὴ δὲ παρ' ἡμῶν αὐτῶν. — Ὁ Τηλέμαχος, παρὰ τοῦ Νέστορος ὁρμήσας, εἰς τὴν Λακεδαίμονα πρὸς τὸν Μενέλαον ἦλθε. — Ἥκομεν παρ' ἔθνους δικαίου τε καὶ εὐσεβοῦς ὃ τὴν μὲν εἰρήνην φιλεῖ, τὸν δὲ πόλεμον οὐ φοβεῖται. — Πλάτων, παρὰ τοῦ Διονυσίου τοῦ πρεσβυτέρου ἐπανελθὼν, ἐν ταῖς Ἀθήναις κατῴκησε, καὶ ἐν προαστείῳ τινὶ σχολὴν ἀνέῳξεν ἣ ταχὺ περιβόητος ἐγένετο. — Ὁ Καῖσαρ, παρὰ Νικομήδους τοῦ τῶν Βιθυνῶν βασιλέως ἐπανερχόμενος, ὑπὸ λῃστῶν ἑάλω. — Ἡ τῶν πρεσβέων ἀπόκρισις τῶν παρὰ τοῦ Κοριολανοῦ ἡκόντων ἅπασιν ἀθυμίαν ἐνέβαλεν. — Εἶδον μὲν, ἡ ἀλώπηξ ἔφη, ἴχνη πολλῶν ζώων πρὸς τὸν λέοντα εἰσιόντων· ὁρῶ δὲ οὐδενὸς ἴχνος παρὰ τοῦ φοβεροῦ βασιλέως ἐπανερχομένου. — Οἱ παρὰ τῶν Ἑλλήνων μάγειροι ἐν τῇ Ῥώμῃ περισπούδαστοι ἦσαν. — Ἡ οἰωνοσκοπικὴ ἐπιστήμη, παρὰ τῶν Ἐτρούσκων ἀφικομένη, ἐν τῇ Ῥώμῃ εὐδοκίμησε.

209ᵉ Exercice.

Question *quâ* (*Grammaire*, § 517 et 518).

Ὁ Ἀννίβας εἰς τὴν Ἰταλίαν διὰ τῶν Ἄλπεων μετὰ μυρίων πόνων εἰσέβη. — Ἀπαίδευτοί τινες λαοὶ μικραῖς σφαίραις δι' ἐλάτου χαλκοῦ διειρμέναις ἔτι νῦν χρῶνται ἀριθμοῦντες. — Ὁ Πομπήϊος, ἐκ Πόντου κατερχόμενος, διὰ Ῥόδου τῆς νήσου διέβη. — Εὐκοπώτερον ἂν ἦν καμήλῳ διὰ τρυμαλιᾶς ῥαφίδος διαβῆναι ἢ πλουσίῳ εἰς τὸν οὐρανὸν εἰσελθεῖν. — Ὁ Καῖσαρ διὰ σχετλίου τινὸς ἐν ταῖς Ἄλπεσι πολιχνίου πορευόμενος, πρὸς τοὺς φίλους εἶπεν· « Ἐγὼ μὲν ἐβουλόμην ἂν ἐν τούτῳ τῷ πολιχνίῳ μᾶλλον πρῶτος εἶναι ἢ ἐν τῇ Ῥώμῃ δεύτερος. » — Οἱ Μακεδόνες διὰ στενῆς τινος νάπης καὶ πυκναῖς ξύλοις δασείας εἰς τὴν Ὑρκανίαν εἰσῆλθον. — Ὁ Δημοσθένης διὰ τῆς ἀγορᾶς πορευόμενος δημοτέρας γυναικὸς ἤκουσεν αὐτὸν ἐπαινούσης, καὶ ἥσθη. — Ὁ Πάδος διὰ τῆς πρὸς βορέαν Ἰταλίας ῥέων, εἰς τὸ Ἀδριατικὸν πέλαγος ἐμβάλλει. — Ὁ Ἀλέξανδρος, ἐκ τῆς Ἰνδικῆς εἰς Βαβυλῶνα ἐπανερχόμενος, τὸν στρατὸν διὰ τῆς Γεδρωσίας καὶ τῆς Καρμανίας διεβίβασε. — Ἡ περὶ τῆς ἐν Φαρσάλῳ μάχης ἀγγελία διὰ πάσης τῆς Αἰγύπτου πρὸ τῆς τοῦ Καίσαρος ἀφίξεως διεδέδοτο.

210e Exercice.

Suite de la question *quâ*.

Τὰ συνεχῆ ὄρη τὰ διὰ πάσης τῆς Ἱσπανίας ἐκτεταμένα τὰς ἐπαρχίας σχεδὸν παντελῶς ἀλλήλων ἀποχωρίζει. — Πᾶσαι αἱ νῆες ἐκ τοῦ Ἀτλαντικοῦ ὠκεανοῦ εἰς τὴν ἔνδον θάλασσαν ἰέναι βουλόμεναι διὰ τοῦ πορθμοῦ πορεύεσθαι ἀναγκάζονται ὃν ἀπὸ τοῦ Ἡρακλέους οἱ παλαιοὶ ὠνόμαζον. — Ὅσοι λαοὶ διὰ τῆς Ἰταλίας, τῆς Γαλλίας, τῆς Ἱσπανίας κατὰ τὴν πέμπτην ἑκατονταετηρίδα ἐπορεύσαντο μὲν, τῆς δὲ διαβάσεως οὐδὲν ἴχνος κατέλιπον. — Ὁ Τίτος διὰ τῶν καταπύρων ἐρειπίων ἐπισπέρχεται, τὴν τοῦ πυρὸς βίαν παύσων. — Τὸ βέλος διὰ τοῦ θώρακος διελθὸν εἰς τὸ στῆθος εἰσέδυ. — Οὐκ ἀγαθὸν τῷ πένητι διὰ τῆς τοῦ πλουσίου καὶ δυνατοῦ οἰκίας πλεονάκις πορεύεσθαι. — Πάντες μὲν οἱ Ῥωμαῖοι οἱ διὰ τῆς τοῦ Λευκούλλου οἰκίας διαβαίνοντες τοῖς χρήμασιν ἐξεπλήσσοντο ἃ ἐκ τῆς Ἀσίας ἐκομίσατο· ὁ δὲ Κάτων μόνον τὴν πολυτελῆ βιβλιοθήκην ἐθαύμαζεν, ἣν οὗτος πᾶσιν ἀνεῴχει.

211e Exercice.

Observations sur les questions de lieu (*Grammaire*, § 519 et 520).

Τὸ πάλαι, παρὰ δήμοις τισὶν, οἱ μὲν ἄνθρωποι τὸν χρόνον οἴκοι διέτριβον, αἱ δὲ γυναῖκες ἐν τοῖς ἀγροῖς εἰργάζοντο. — Ἀθήνησι μὲν ἡ τραγῳδία καὶ ἡ κωμῳδία εὑρέθησαν καὶ ἐξετελειώθησαν· Ἀθήνηθεν (ou ἐξ Ἀθηνῶν) δ' ἐγένοντο ἅπαντες οἱ φιλόσοφοι ἐκεῖνοι καὶ ῥήτορες οἳ τὴν τῶν Ἑλλήνων δόξαν κατὰ πᾶσαν τὴν οἰκουμένην διέσπειραν. — Ὀδυσσεὺς οὐδένα τῶν ἑταίρων οἴκαδε κατήγαγεν. — Ῥωμαῖοι πρέσβεις Ἀθήναζε ἦλθον, τοὺς τοῦ Σόλωνος νόμους καταμαθησόμενοι. — Ὁ Ἀννίβας οἴκοθεν πάνυ νέος ἐξελθὼν τοῖς Καρχηδονίοις σχεδὸν ξένος τις εἶναι ἐδόκει. — Οἴκοθεν παῖς βέλτιστα λαμβάνει διδάγματα. — Ὁ δημότης, εὐθὺς οἴκαδε ἐπανελθὼν τραυμάτων κατάπλεως, ὑπ' ἀνελεήμονος χρεώστου ἐδιώκετο. — Ἀθήνησιν ἡ βουλὴ τῶν εἰς τὴν ἵππον ἰδίᾳ ἐπεμελεῖτο. — Ἀθήνησί ποτε ἄνθρωπός τις διῆγεν, ὃς ἁπάσας τὰς ναῦς εἰς τὸν Πειραιᾶ προσορμιζομένας ἑαυτοῦ εἶναι ἐνόμιζε. — Πολλάκις χαλεπώτερον βασιλεῖ ἐστι τῇ τῶν αὐλικῶν ἐπαχθείᾳ οἴκοι ἢ τῇ τῶν πολεμίων ὁρμῇ ἐν μάχῃ ἀντιστῆναι. — Βασιλεύς τις Περσῶν, συκῶν γευσάμενος Ἀθήνηθεν κομισθεισῶν, τὴν χώραν ἔγνω ὑφ' ἑαυτῷ ποιήσασθαι, τὴν οὕτως ἀγαθοὺς φέρουσαν τοὺς καρπούς.

212e Exercice.

Observations sur la question *ubi*.

Αὐτοῦ, ἐν τούτῳ τῷ νῦν ἐρήμῳ τόπῳ, ἦν ἡ περιβόητος Τροίας πόλις. — Ἀνθρώπων τινὲς μὲν πανταχοῦ εὐδαίμονές εἰσιν, ἕτεροι δὲ οὐδαμοῦ. —

Ποῦ διῆγον μεγάλοι ἄνδρες ἐκεῖνοι, οἳ τοσαύτην δόξαν ἡμῖν κατέλιπον; — Ἐνταῦθα (ou ὧδε) καλλίστους τε καὶ εὐδαιμονεστάτους τοῦ βίου ἐνιαυτοὺς διαγαγὼν, ἐνταῦθα (ou ὧδε) θανοῦμαι. — Οὗ (ou οὗπερ) ψιλὸν δάπεδον καὶ αὐχμηρὰς πέτρας μόνον ὁρᾶτε, ἡ γῆ ὀρυσσομένη πλείους ἀνθρώπους τρέφει ἢ εὐγεώτατοι ἀγροὶ καὶ κάλλιστα εἰργασμένοι. — Ὁ ἄνθρωπος ὅπου κατοικίζεται, ταχὺ τὸ τῆς φύσεως πρόσωπον μεταλλάσσει. — Ἐνταῦθα μὲν, ἐν τοῖς Ἠλυσίοις πεδίοις, οἱ ἥρωες ἀδιαφθόρου ἀπολαύουσι τῆς εὐδαιμονίας· ἑτέρωθι δὲ, τῶν θνητῶν οἱ κακῶς βεβιωκότες δεινὰς πάσχουσι τὰς τιμωρίας. — Οἱ παλαιοὶ, οὗ (ou οὗπερ) ὁ σκηπτὸς ἐπεπτώκει, οἶν ἔθυον. — Ἀλέξανδρε, ποῦ νῦν εἰσιν οἱ κόλακες οἵ σε ὥσπερ θεὸν προσεκύνουν; ἐνταῦθα (ou ὧδε) μόνον εὑρήσεις τὸν Κλειτὸν, τὸν Φιλώταν, τὸν Παρμενίωνα, καὶ τοὺς ἄλλους φίλους οὓς ἐφόνευσας.—Ἔστι τάχα που εὐδαιμονία, ἀλλ' οὐκ ἐν πολυτελείᾳ καὶ πλούτῳ. —Ὅσοι ἄνθρωποι ἐν τῇ πατρίδι πρωτεύοντες καὶ περὶ ἑαυτῶν μέγα φρονοῦντες, ἄλλοθι ἄγνωστοί εἰσι. — Οὐδεμία πόλις πλείω τοῦ παρεληλυθότος χρόνου μνημεῖα ἢ Ῥώμη κέκτηται· ἐνταῦθα μὲν ὁ στρατηγὸς πρὸ τοῦ βήματος ἐδίκαζεν· ἐκεῖ δὲ οἱ δήμαρχοι ἐδημηγόρουν καὶ τὸν ὄχλον ἐξανίστασαν· ἄλλοθι δὲ ἡ σύγκλητος περὶ τῶν μεγίστων πραγμάτων ἐβουλεύετο· ὅπου δὲ νῦν χριστιανικαί εἰσιν ἐκκλησίαι, ἦν τὸ πάλαι τὰ τῶν πεπλασμένων θεῶν ἱερά· αὐτόθι δὲ ἐν τούτῳ τῷ ἠρεμοῦντι Κολοσσαίῳ, ὅσον ἀναίτιον αἷμα πρὸς ἡδονὴν φονικοῦ πλήθους ἐξεχύθη. — Μάρκελλε, σεαυτῷ πρόσεχε· τάχα γὰρ οἱ πολέμιοι ἐνέδραν που ἐν τῇ ὁδῷ κατέστησαν.

213^e Exercice.

Observations sur la question *quò*.

Ὅποι ἔλθοι ὁ Ἀννίβας, καινοὺς πολεμίους τῇ Ῥώμῃ ἀνήγειρε.— Εὐθὺς ὅποι περ, ὦ Νιρεῦ, ἐλεύσῃ, οὕτως αἰσχρὸς ἔσῃ ὡς ὁ Θερσίτης ἐκεῖνος, εἰς ὃν σκώπτεις. — Ποῦ ἐστι; ποῖ κατέφυγεν ὁ μιαρὸς ὃς ἐμὲ τὸν θησαυρὸν ἀπεστέρησε; — Τὰ τάγματα, τὰ ἐν ταῖς πλουσίαις τῆς ἀνατολῆς ἐπαρχίαις στρατευσάμενα, ἄλλοσε πεμφθῆναι οὐκ ἐβούλετο.— Ὁ Κάδμος ὑπὸ πόρτιος αὐτόσε ἤχθη, ὅπου ὕστερον Θήβας πόλιν κατῴκισε.—Οἱ Ῥωμαῖοι τὸ πρῶτον τοῖς Ἕλλησιν ἔλεγον· « Ἥκομεν ἐνθάδε (ou δεῦρο ou ὧδε) ὑμᾶς οὐ δουλώσοντες, ἀλλὰ τῆς Φιλίππου καὶ Μακεδόνων τυραννίδος ἀπαλλάξοντες. » — Ἐλεύσεται Ἀχιλλεὺς ὅποι ἂν ἡ δόξα αὐτὸν καλῇ.— Ἐν χώραις τισὶν οἱ ἄνθρωποι οἱ μεταλλουργοῦντες ἅπαντα τὸν βίον ἐν τούτοις τοῖς ὑπογείοις διάγουσιν, ἔνθα τὸ φῶς οὔποτε εἰσικνεῖται.—Ταλαίπωροι Ῥωμαῖοι, ἐκεῖσε ἤγαγον ὑμᾶς αἱ στάσεις. — Ἡ κοινὴ τῆς Ἑλλάδος βουλὴ ἀμφικτυονικὴ προσηγορεύετο· πᾶσαι αἱ τῆς Πελοποννήσου, τῆς Ἀττικῆς καὶ τῆς μέσης Ἑλλάδος πόλεις ἐκεῖσε πρέσβεις ἔπεμ-

πον. — Ῥωμαῖοι, δεῦρο (οὐ ἐνταῦθα οὐ ὧδε) ἐπέμφθημεν, ὑμᾶς ἀμυνούμενοι τῆς ἀπλήστου τῶν ἀνθυπάτων φιλαργυρίας. — Τὰ τοῦ Θεμιστοκλέους λείψανα ἐν τῇ Ἀσίᾳ οὐκ ἐτάφη· ἄλλοσε δὲ, εἰς τὴν Ἀττικὴν, ὑπὸ τῶν φίλων ἐκομίσθη. — Ὁ Ἀννίβας, πρὸς τοὺς Ῥωμαίους ἐν Σικελίᾳ ἢ ἐν Ἱσπανίᾳ μάχεσθαι οὐ βουλόμενος, τὸν πόλεμον αὐτόσε μεταφέρειν ἔγνω, ὅπου ἀνίκητος ἡ Ῥώμη ἐδόκει εἶναι, εἰς τὸ μέσον δῆτα τῆς Ἰταλίας. — Ἡ ἐμὴ ψυχὴ, τῶν τοῦ σώματος δεσμῶν ἀπαλλαγεῖσα, ἐκεῖσε ταχὺ ἀπελεύσεται, εἰς τὴν τῶν μακαρίων οἴκησιν. — Ὦ Πύῤῥε, ποῖ μέλλεις ἰέναι, ἁπάσας τὰς χώρας ταύτας καταστρεψάμενος; Εἰς Ἤπειρον. Οὐκ ἂν ἦν σοφώτερον ἐκεῖσε νῦν ἰέναι; — Πρὸ τῆς τῶν Ῥωμαίων ἐπιβολῆς εὐδαίμονες ἦμεν καὶ ἥσυχοι· ἡ γὰρ δωροδοκία καὶ φιλαργυρία οὔπω ἐνταῦθα (οὐ ὧδε οὐ δεῦρο) εἰσεληλύθει.

314ᵉ Exercice.

Observations sur la question *unde*.

Οἱ Γάλλοι τὸν κίνδυνον, ὁπόθεν ἂν ἔρχηται, οὐ φοβοῦνται. — Πόθεν ἐκομίζοντο ἅπαντες οἱ μονομάχοι ἐκεῖνοι, οἳ ἐν τῷ σταδίῳ ἀπέθνησκον, χαιρετίζοντες τοὺς Καίσαρας; — Τίς ἡμῶν οἶδε πόθεν ἔρχεται καὶ ποῖ πορεύεται; — Ἐντεῦθεν, ἐκ ταύτης δῆτα τῆς πόλεως τῆς νῦν τῷ Μακεδόνων πυρὶ ἀναιρεθείσης, ἐξῆλθον οἱ στρατοὶ ἐκεῖνοι ἀνάριθμητοι, οἳ εἰς τὴν Ἑλλάδα παμπληθεὶ εἰσβαλόντες. — Ἡ μὲν Καρχηδὼν τὴν δύναμιν ἐκ τῆς ἐμπορίας ἐλάμβανεν, ἡ δὲ Ῥώμη ἄλλοθεν. — Τὰ ὄρη τὰ κρυστάλλόπηκτα δοχείων δίκην ἐστὶν, ὅθεν ἐκρηγνῦσι ποταμοὶ οἱ τὴν γῆν ἀρδεύοντές τε καὶ εὔκαρπον ποιοῦντες. — Τοῦτον τὸν ἄμορφον μύδρον ἐὰν εἰς βαῦνον ἐμβάλῃς, εὐθὺς ἐκεῖθεν λαμπρὸν ἔξεισι μέταλλον. — Ἀνθρώπου σοφία ἀτελὴς ἀεί ποθέν ἐστι. — Τὰ ἀγαθὰ παραδείγματα ἀεὶ μιμεῖσθε, ὁπόθεν ἂν προσενεχθῇ. — Ἐκ τῆς ἀνατολῆς οἱ μὲν Ῥωμαῖοι τὰ πλεῖστα τῶν εἰς τρυφὴν ἐπιτηδείων ἐλάμβανον· ἡμεῖς δὲ αὐτόθεν οὐδὲ νῦν τὰ συμφορώτατα χρήματα, ἀλλὰ τὰς πολυτελεστάτας ἐσθῆτας λαμβάνομεν. — Πόθεν ἔμαθον οἱ ἄνθρωποι τὰ μέταλλα χαλκεύειν, τὴν οὕτω χαλεπὴν ὕλην δαμάζειν; — Ἐντεῦθεν οἱ φρουροὶ πάσας τὰς ναῦς πόῤῥωθεν ἀποσκοπιάζουσι τὰς ἀπὸ τοῦ πελάγους ἐπιπλεούσας. — Τῆς μὲν Ἑλλάδος τὰς τέχνας καὶ τὴν ποίησιν, τῆς δὲ Ῥώμης τὴν πολιτικὴν ἐπιστήμην καὶ τοὺς νόμους ἐκληρονομήσαμεν· ἀλλὰ τὰ περὶ τὸ θεῖον ἄλλοθεν ἡμῖν ἦλθεν. — Οἱ Καρχηδόνιοι, πρὶν ἐκ τῆς Ἱσπανίας ὑπὸ τῶν Ῥωμαίων ἐκπεσεῖν, ἐκεῖθεν ἤδη χρήματα ὑπερμεγέθη κεκομισμένοι ἦσαν. — Διονύσιος ὁ νεώτερος ἐκ Συρακουσῶν ἐξηλάθη, ὅθεν ἐτύγχανε τοὺς ἐπιφανεστάτους πολίτας πεφυγαδευκώς. — Αὐτόθεν ἐψηφίσθησαν τοσοῦτοι κατὰ τῶν χριστιανῶν διωγμοί. — Οἱ πρότεροι Ῥωμαῖοι τῆς ἐκ τῶν ὅπλων δόξης μόνον ἐπεθύμουν· τὴν δὲ ἄλλοθεν γιγνομένην οὐκ ἐδίωκον.

215ᵉ Exercice.

Observations sur la question *quà*.

Τοῦ Ἀννίβα πρὸς μιᾷ τῶν τῆς Ῥώμης πυλῶν στρατοπεδεύοντος, ἄλλῃ βοήθειαι ἐξῄεισαν εἰς τὸν ἐν τῇ Ἱσπανίᾳ στρατόν. — Πῆ ὁ Κῦρος εἰς τὴν Βαβυλῶνα εἰσῆλθε; — Τὰ χωρία τὰ ὀχυρώτατα δοκοῦντα εἶναι, ἀεί πη ἀσθενῆ ἐστι. — Γαλῆ τις, εἰς σιτοβολῶνα εἰσελθοῦσα, οὐκέτι ᾗ (ou ᾗπερ) εἰσῆλθεν, ἐξιέναι ἐδύνατο. — Ταύτῃ (ou τῇδε) μὲν βραχυτέρα ἐστὶν ἡ ὁδός, ἀλλ' ἐπισφαλεστέρα· ἐκείνῃ δὲ μακροτέρα, ἀλλ' ἀσφαλεστέρα. — Ὅπη ἂν τὸ ὕδωρ εἰσίῃ, τὸ σκάφος ταχὺ καταδύσεται. — Ὅπη παρήρχετο ὁ Ἀλέξανδρος, πόλεις κατῴκιζεν, ἃς ἀπὸ τοῦ ὀνόματος τοῦ ἑαυτοῦ ἀπεκάλει. — Πῆ ἠφανίσθησαν Πᾶνες καὶ Σάτυροι ἐκεῖνοι, οὓς οἱ παλαιοὶ ἐν ταῖς ὕλαις ὁρᾷν ἔφασκον; — Τίς ἄνθρωπος οὐκ ἔστι πη, ὡς ὁ Ἀχιλλεύς, τρωτός; — Ὁ Νεῖλος οὐχ ἧττον τὴν ἐμπορίαν ἢ τὴν γεωργίαν ὠφελεῖ· ἐκείνῃ γὰρ τὰ μὲν περισσὰ τῶν χρημάτων ἐκκομίζουσιν, τὰ δ' ἐλλείποντα εἰσκομίζονται. — Οἱ Ἕλληνες, εἰς τὴν ἄνω Ἀσίαν προελθόντες, οὐκ ἠπίσταντο πῇ εἰς τὴν πατρίδα ἀναχωρήσουσιν. — Οἱ Ῥωμαῖοι τὸν ποταμὸν ἐκεῖ βαθὺν καὶ ταχὺν εὑρόντες, ἄλλῃ περαιοῦσθαι ἔγνωσαν. — Ὅπη οἱ Ῥωμαῖοι τῇ πόλει ἐπεχείρουν, τὰ τείχη φοβεραῖς Ἀρχιμήδους μηχαναῖς κατεσκευασμένα εὕρισκον. — Ἐν ταῖς ὕλαις, οἱ ἔμπειροι τῶν θηρευτῶν ἐξ ἐλαχίστων σημείων διαγνωρίζουσι πῇ τὰ θηρία διέβη. — Τῇδε (ou ταύτῃ) τὰ τοῦ ποταμοῦ ὕδατα ἀποστρέψατε. — Ἐκείνῃ Ταρκουϊνία, ἐφ' ἅρματι πορευομένη, τοῖς τῶν ἵππων ποσὶ τὸ τοῦ ἀθλίου πατέρος σῶμα ἐπάτησε. — Πῆ ἀλήθεια εἰς τὰ τῶν βασιλέων ὦτα εἰσικνοῖτο ἄν; — Ἡ Ἀρετὴ τῷ Ἡρακλεῖ ἔλεγεν· « Ἕπου ἡμῖν, ὦ παῖ· ταύτῃ (ou τῇδε) γὰρ μόνον δόξης καὶ ἀθανασίας ἐφίξῃ· ταύτῃ τῶν θνητῶν ἔνιοι εἰς τὸν οὐρανὸν ἀνέβησαν. »

216ᵉ Exercice.

Questions de temps. — Question *quando* (*Grammaire*, § 523).

1. Οἱ Λακεδαιμόνιοι τῇ ὑστεραίᾳ τῆς ἐν Μαραθῶνι μάχης παρῆσαν. — Ὁ Πλάτων ἐγένετο μὲν τῷ τετρακοσιοστῷ ἔτει πρὸ τοῦ Χριστοῦ τῇ ἑβδόμῃ τοῦ Θαργηλιῶνος μηνός, ἀπέθανε δὲ τῷ ἑβδόμῳ καὶ τεσσαρακοστῷ καὶ τριακοσιοστῷ ἔτει, ἐν γάμῳ τινὶ δειπνῶν. — Ἀδελφοὶ δύο, τῇ αὐτῇ ἡμέρᾳ γεγονότες, τῇ αὐτῇ ἡμέρᾳ ἔγημαν καὶ τῇ αὐτῇ ἀπέθανον, ἑβδομήκοντα ἐτῶν ὄντες. — Ὁ Ἰσοκράτης οὐ πολλαῖς μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἡμέραις τὸν βίον ἐτελεύτησε. — Πολλοὶ ἐν τῷ Σωκράτους δεσμωτηρίῳ ἦσαν, ᾗ ἡμέρᾳ τὸ κώνειον ἔπιε. — Παρέρχονται οἱ ἄνθρωποι ὡς τὰ ἄνθη, ἃ ὄρθρου μὲν διοίγνυται, ἑσπέρας δὲ μαραίνεται καὶ ποσὶ πατεῖται. — Ὁ Θεμιστοκλῆς τοῦτ' ἐποίησεν ὅπερ ὁ Κοριολανὸς εἴκοσιν

ἔτεσι πρότερον.—Τῷ τεσσαρακοστῷ καὶ ὀκτακοσιοστῷ ἔτει πρὸ τοῦ Χριστοῦ ἡ Σπάρτη παρὰ τοῦ Λυκούργου τοὺς νόμους ἐδέξατο, οἳ τόν τε δῆμον καὶ τὸν νομοθέτην ἀειμνήστους ἐποίησαν. — Οἱ Ἴωνες πρῶτοι, ἕνδεκα ἑκατονταετίαις πρὸ τοῦ Χριστοῦ, ἐλαίων, στεφάνων καὶ μουσικῆς παρὰ δεῖπνον χρῆσιν εἰσήγαγον. — Μεθ' ἡμέραν μὲν οἱ Ῥωμαῖοι ἀδιαλείπτως ταῖς εἰθισμέναις τοῦ βίου διατριβαῖς ἑαυτοὺς ἐδίδοσαν· νυκτὸς δὲ, μᾶλλον δ' ἑσπέρας, ἐπὶ δεῖπνον κατεκλίνοντο, καὶ ἐκ τῶν τῆς ἡμέρας πόνων ἀνεπαύοντο. — Τὰ μὲν Θεσμοφόρια, εἰς τὴν Δήμητρα νομισθέντα, θέρει ἐτελεῖτο, τῇ πεντεκαιδεκάτῃ τοῦ Βοηδρομιῶνος μηνός· τὰ δὲ Διονυσιακὰ τὰ μεγάλα, ἐν οἷς ἐδιδάσκοντο τραγῳδίαι καὶ κωμῳδίαι, ὀπώρᾳ παρὰ τοῖς Ἀθηναίοις ἐγίγνετο.—Ὁ Λεύκουλλος, εἰς τὴν Ἀσίαν πρὸς τὸν Μιθριδάτην πεμφθεὶς, κατὰ πλοῦν πάντα τὰ τῶν μεγάλων στρατηγῶν βιβλία ἀνέγνω.

2. Ὀλίγοι ἡμῶν μέλλουσι μετὰ τριάκοντα ἔτη περιεῖναι. — Αἱ τῆς φύσεως ταραχαὶ φοβερώτερόν τι μεθ' ἡμέραν ἢ νυκτὸς ἔχουσι.—Ὁ θάνατος τοῦ ἔαρος δεινότερόν πως ἔχειν δοκεῖ, ὅθ' ἅπαντα αὖθις ἀναβιώσκεται. —Κατὰ δήμους τινὰς ἀπαιδεύτους, ὁ θεὸς τὸν κόσμον ὀπώρᾳ ἐποίησεν, ᾗ ὥρᾳ πεπαίνονται οἱ καρποί. — Μετ' οὐ πολλὰ ἔτη ἡ μὲν τῶν καμάτων καὶ πόνων ἡμετέρων μνήμη παρεληλυθυῖα ἔσται· ἡ δὲ δόξα μόνη μενεῖ. — Ἐν ταῖς ἀρκτικαῖς τῆς Εὐρώπης χώραις τὸ τῶν ποταμῶν ῥεῦμα χειμῶνι ὑπὸ τοῦ πάγους διακόπτεται.—Ταῦτα τὰ σπέρματα, ἃ νῦν τῇ γῇ παραδίδοτε, μετ' ὀλίγους ἐνιαυτοὺς δασέα ἔσται δένδρα.—Δεκακισμύριοι Ῥωμαῖοι ἀνὰ τὰς τῆς Ἀσίας πόλεις διεσπαρμένοι, τῇ αὐτῇ ἡμέρᾳ, τῇ αὐτῇ ὥρᾳ ἐφονεύθησαν, κελεύσαντος Μιθριδάτου.—Ὑπερήφανε πόλι, ἡ νῦν εἰς τόσους δήμους δύναμιν ἔχουσα, μετ' οὐ πολλὰς ὥρας κατενεχθήσῃ, καὶ οἱ παῖδές σου εἰς δουλείαν ἀχθήσονται.—Ἄνθρωποί τινες, ἀσθενεῖς καὶ δειλοὶ ἐν τῷ συνήθει βίῳ ὄντες, βέβαιοι καὶ ἀνδρεῖοι παρὰ τοὺς καιροὺς φαίνονται.— Ὁ Σκιπίων Αἰμίλιος ὄρθρῳ εὑρέθη τεθνηκὼς ἐν τῇ κλίνῃ.—Ὀλίγα ἀξιόλογα βιβλία τούτῳ τῷ ἔτει ἐξεδόθη· οἱ ποιηταὶ μάλα πλείους τῷ προτέρῳ ἐνιαυτῷ ἐγεγένηντο. — Οἱ κατὰ τὴν ἀνατολὴν δῆμοι πολλαῖς ἑκατονταετίαις πρὸ τῶν ἑσπερίων ἐπαιδεύθησαν.—Ὁ Ἡφαιστίων οὐ πολλαῖς ἡμέραις πρὸ τοῦ Ἀλεξάνδρου ἀπέθανεν.

217e Exercice.

Question *quamdiu* (*Grammaire*, § 524).

Τὰ Ὑακίνθια ἐν Ἀμύκλαις, εἰς τὸν Ἀπόλλωνα καὶ τὸν Ὑάκινθον ἑορταζόμενα, τρεῖς ἡμέρας διετέλει.—Μάρκος Ἀντώνιος ὁ ῥήτωρ εἴκοσιν ἐνιαυτοὺς τὰ πρωτεῖα ἐν τῷ δικαστηρίῳ ἔσχε. — Πολιορκίαι ὅλους ἐνιαυτοὺς διατελοῦσαι, ἦσαν παρὰ τοῖς παλαιοῖς οὐ σπάνιαι.—Ὁ Ἐπαμεινώνδας

ἑκκαίδεκα ἔτη πρὸς τοὺς Λακεδαιμονίους καρτερὸν πόλεμον ἐποιήσατο.— Οἱ Μασύλιοι, δῆμοι τῆς Λιβύης, νυκτὸς μὲν μάχονται, ἡμέραν δὲ τὴν εἰρήνην φυλάσσουσι. — Ὁ Φωκίων στρατηγὸς εἴκοσιν ἔτη διετέλει. — Κατὰ τοὺς ψευδεῖς τῶν Αἰγυπτιακῶν ἱερέων λόγους, οἱ μὲν πρεσβύτεροι θεοὶ χίλια καὶ διακόσια, οἱ δ' ὕστεροι τριακόσια ἔτη ἐβασίλευσαν. — Ἑπτὰ συνεχεῖς μῆνας, Ὀρφεὺς ἐν τοῖς κρυεροῖς ἄντροις τὴν τῆς Εὐρυδίκης ἀποβολὴν ὕμνει.— Ὁ μὲν Ῥωμύλος, ὁ τὴν Ῥώμην κτίσας, ἑπτὰ καὶ τριάκοντα ἔτη ἐβασίλευσε· μετὰ δὲ τὸν τοῦ ἄνακτος θάνατον ἡ πόλις δύο μῆνας ἀβασίλευτος ἔμεινεν· εἶτ' ἦλθεν ὁ Νομᾶς Πομπίλιος, ὃς τρία καὶ τεσσαράκοντα ἔτη τὴν ἀρχὴν κατέσχε.—Οἱ Σκύθαι πάντα τὸν χειμῶνα ἐν καταγείοις οἰκίαις ἔμενον.— Οἱ τιμηταὶ, ἐν τῇ Ῥώμῃ, πρῶτον μὲν πέντε ἔτη ἐν τέλει ἔμενον· ὕστερον δὲ τὴν ἀρχὴν τρία μόνον ἔτη κατέσχον.— Ὁ Κρὴς Ἐπιμενίδης, ὃς ἔνδοξος φιλόσοφος ἐγένετο, πάνυ νέος εἰς σπήλαιόν τι εἰσελθὼν, ἐκεῖ, ὥς φασι, πεντήκοντα ἔτη ἐκάθευδε. — Οἱ δύο κασίγνητοι Κάστωρ καὶ Πολυδεύκης ἓξ μῆνας ἐπὶ τῆς γῆς καὶ ἓξ μῆνας ἐν Ἅδου ἐναλλὰξ ἔμενον.— Ὁ Ἀλέξανδρος, ὑπερμέτρως ἐν κώμῳ πιὼν, δύο νύκτας καὶ δύο ἡμέρας συνεχῶς ἐκαθεύδησε. — Σόλων, Θαλῆς καὶ Πιττακὸς, τρεῖς τῶν ἐνδοξοτάτων τῆς Ἑλλάδος σοφῶν, ἑκατὸν ἕκαστος ἔτη ἐβίωσαν. — Οἱ ἐκ τῆς Κιλικίας πειραταὶ πολὺν χρόνον τὸ πέλαγος ἐλυμήναντο. — Ἡ Ἱσπανία ἐπ' Αὐγούστου μόνον παντελῶς εἰς εἰρήνην κατέστη, διακόσια ἔτη πάσαις ταῖς τῶν Ῥωμαϊκῶν στρατῶν εἰσβολαῖς ἐναντιωθεῖσα.

218e Exercice.

Question *quamdudum* (*Grammaire*, § 525).

Ἐκ πολλοῦ χρόνου εὕρηται ἡ τοῦ μάγνητος δύναμις. — Πέμπτον καὶ τριακοστὸν σχεδὸν ἐνιαυτὸν ἡ ἀτμὶς οὐκ ἄνεμος μόνον, τὰς ἡμετέρας ναῦς κινεῖ. — Ἐνναχοσιοστὸν καὶ χιλιοστὸν σχεδὸν ἐνιαυτὸν γενόμενόν τι ἐν ἀγνώστῳ τῆς γῆς μερίδι καὶ μονονοὺκ ἀφανὲς παρελθὸν, τὸ τοῦ κόσμου πρόσωπον μετέβαλε. — Ὁ Τίτος, δεύτερον μόνον ἐνιαυτὸν βασιλεύων, θανάσιμον νόσον ἐνόσησε. — Τετρακοσιοστὸν ἐνιαυτὸν ἤπειροι, ἢ νῆσοι ἠπείροις ἰσομεγέθεις, εὑρέθησάν τε καὶ κατῳκίσθησαν. — Ὁ Ζέφυρος, ἀπὸ τῆς ἰσημερίας ἀρχομένης ταῖς ἡμετέραις προσπνέων ἀκταῖς, πολλὰς θυέλλας ἐποίησεν. — Οἱ Ἕλληνες, πλεονεκτικώτεροι ἐκ τοῦ δευτέρου πρὸς τοὺς Μήδους πολέμου γενόμενοι, τὸν πόλεμον αὐτοὶ ἐπὶ τὴν Ἀσίαν ἐκόμισαν. — Τριακοστὸν μὲν τοῦτον ἐνιαυτὸν συνεχῶς περὶ τὰ μαθήματα σπουδάζω, καθ' ἡμέραν δὲ τῆς ἐμῆς ἀγνοίας μᾶλλον αἰσθάνομαι. — Ἀκέραια ὑπὸ τῆς σποδοῦ ἀνεύρομεν ἐρείπια πόλεων ὀκτακοσιοστὸν καὶ χιλιοστὸν ἔτος ἀνῃρημένων. — Ἐκ πολλοῦ ἤδη χρόνου ἡ τοῦ Θεμιστοκλέους δόξα τοῖς ζηλοτύποις φθόνον ἐνεπεποιήκει. — Ἡ τῆς ἐφημερίδος ἐπανόρθωσις, τῷ

χιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ ἔτει τελεσθεῖσα, τρισκαιδέκατον καὶ ἑκατοστὸν ἤδη ἐνιαυτὸν προὔκειτο. — Τρίτον μῆνα τοῦτον ὁ ἥλιος διὰ τῶν πυκνῶν νεφελῶν οὐ διέλαμψεν, αἳ τὸν ἀέρα περιέχουσι. — Ὁ μὲν ὑετὸς, τεσσαρακοστὴν ἡμέραν πίπτων, τὰς βαθυτάτας ἐκπεπληρώκει νάπας, τὸ δὲ ὕδωρ τὴν τῶν ἀκροτάτων ὀρῶν κορυφὴν ὑπερέβαλλεν.

210e Exercice.

Question *quousque* (*Grammaire*, § 526).

Οἱ τὴν Χαιρώνειαν οἰκοῦντες εἰς τὸν τοῦ Πλουτάρχου χρόνον παλαιάν τινα δρῦν ἐδείκνυον, Ἀλεξάνδρου καλουμένην, ὑφ' ἧς ὁ νέος ἄναξ τῇ προτεραίᾳ τῆς μάχης ἐσκήνωσεν. — Ἡ τῶν Ῥωμαίων σύγκλητος εἰς τὸ τῆς ἀρχῆς τέλος (ou μέχρι τοῦ τέλους) τὰ τῶν ἐθνῶν φρονοῦσα διέμεινε. — Παρὰ τοῖς Ἀθηναίοις μέχρι τῆς ἑπτὰ ἐτῶν ἡλικίας (ou εἰς τὴν ἡλικίαν) ἡ τῶν παίδων τροφὴ τοῖς γονεῦσιν ἐπιστεύετο. — Μέχρι τοῦ Περικλέους (ou εἰς τὸν Περικλέα), οἱ πολῖται κλήρῳ λαχόντες τὰς δίκας δικάζειν οὐδένα μισθὸν ἐλάμβανον. — Οἱ Ἀθηναῖοι ἐκ τῶν ὀκτωκαίδεκα ἐτῶν μέχρι τῶν τεσσαράκοντα (ou εἰς τὰ τεσσαράκοντα) τῇ στρατείᾳ ἔνοχοι ἦσαν· τὰ δὲ πρῶτα δύο ἔτη ἐν τῷ τῆς Ἀττικῆς πέδῳ μόνον ἐστρατεύοντο. — Ἐκ τῆς τοῦ Κόδρου τελευτῆς μέχρι τοῦ Σόλωνος (ou εἰς τὸν Σόλωνα) αἱ Ἀθῆναι πεντακόσια ἔτη ὑπὸ τῶν στάσεων διεταράχθησαν. — Οἱ Λακεδαιμόνιοι τὰ εὐτελῆ καὶ πενιχρὰ ἱμάτια ὑπὸ τοῦ Λυκούργου τεταγμένα μέχρι τῆς τοῦ Πελοποννησιακοῦ πολέμου τελευτῆς (ou εἰς τὴν τοῦ Πελοποννησιακοῦ πολέμου τελευτὴν) διεφύλαξαν. — Ἡ τῶν Δωριέων εἰσβολὴ ἐμφυλίων πολέμων ἀφορμὴν ἔδωκεν, οἳ τὴν Λακωνίαν εἰς τὴν τελευτὴν (ou μέχρι τῆς τελευτῆς) τοῦ πρώτου Μεσσηνιακοῦ πολέμου ἐκάκωσαν. — Ἡ συμπασῶν τῶν τῆς Ἑλλάδος δυνάμεων ἡγεμονία ἀεὶ Λακεδαιμονίων τινὶ μέχρι τῆς τοῦ Παυσανίου προδοσίας (ou εἰς τὴν τοῦ Παυσανίου προδοσίαν) ἐπεπίστευτο. — Ὁ δεισιδαίμων φόβος ὃν τοῖς παλαιοῖς ἐκλείψεις ἐνεποίουν καὶ κομῆται, μέχρις ἡμῶν (ou εἰς ἡμᾶς) ἐν τόποις τισὶ καὶ μάλιστα ἐν τοῖς ἀγροῖς διέμεινε. — Μέχρι μὲν τοῦ Φωκίωνος οὔτε πολιτικῶν ἀνδρῶν οὔτε ῥητόρων ἡ Ἑλλὰς ἠπόρησε· μετὰ δὲ τὸν τούτου θάνατον, ἐλευθερίας ἐστερημένη, οὐκέτι μεγάλους πολίτας μέχρι τοῦ Φιλοποίμενος ἔσχεν. — Ἀπὸ τῆς Χαιρωνείας μόλις ἡ Ἑλλὰς τὴν ἐλευθερίαν τοῦ τῶν Μακεδόνων βασιλέως ἐπημύνατο μέχρις ἐκείνης τῆς ἡμέρας (ou εἰς ἐκείνην τὴν ἡμέραν) ἢ ὑπὸ τοῖς Ῥωμαίοις ἐγένετο.

220e Exercice.

Question *quanto tempore* (*Grammaire*, § 527).

Ὁ θεὸς τὸν κόσμον ἓξ ἡμέραις (ou ἐν ἓξ ἡμέραις) ἐποίησε, καὶ τῇ ἑβδόμῃ ἀνεπαύσατο. — Πολλαὶ Φοινίκων καὶ Αἰγυπτίων ἀποικίαι ἐν τῇ Ἑλλάδι ὀλίγοις ἔτεσι (ou ἐν ὀλίγοις ἔτεσι) κατέστησαν. — Ὁ Ἀννίβας τὰς Ἄλπεις ὑπερέβαλεν, αἳ ἄβατοι ἐδόκουν εἶναι, καὶ ἐννέα ἡμέραις (ou ἐν ἐννέα ἡμέραις) εἰς τὰς ἀκροτάτας κορυφὰς ἀφίκετο. — Οἱ Καρχηδόνιοι, πάσας τὰς ναῦς παραδόντες τοῖς Ῥωμαίοις, δυοῖν μησὶ (ou ἐν δυοῖν μησὶ) νέον στόλον ἑκατὸν νεῶν σανιδωτῶν παρεσκεύασαν. — Ὁ λοιμὸς ὀλίγαις ἡμέραις (ou ἐν ὀλίγαις ἡμέραις) πλείους ἀνεῖλε πολίτας ἢ δυοῖν ἔτεσιν (ou ἐν δυοῖν ἔτεσιν) ὁ πόλεμος. — Τὰ Ἐλευσίνια εἰκοσάκις ἑκατὸν ἔτεσιν (ou ἀνὰ ἑκατὸν ἔτη) ἐτελεῖτο. — Ὁ Καῖσαρ ὀκτὼ ἡμέραις (ou ἐν ὀκτὼ ἡμέραις) ἐκ Ῥώμης πρὸς τὰς τοῦ Ῥοδανοῦ ὄχθας ἐφίκετο. — Ὁ Καῖσαρ δέκα ἡμέραις (ou ἐν δέκα ἡμέραις) γεφύρᾳ τὸν Ῥῆνον ἔζευξεν, ὃ εὐρύτατός καὶ ταχύτατός ἐστιν ὁ ποταμός. — Οἱ τριακόσιοι Φάβιοι, ἐν ἐνέδρᾳ ἁλόντες, μιᾷ ἡμέρᾳ (ou ἐν μιᾷ ἡμέρᾳ) ἀπώλοντο. — Πεντήκοντα ἔτεσιν (ou ἐν πεντήκοντα ἔτεσιν) οἱ Μηδικοὶ πόλεμοι τὴν Ἑλλάδα εἰς ἀκρότατον δόξης καὶ εὐημερίας προεβίβασαν. — Τῷ αὐτῷ χρόνῳ (ou ἐν τῷ αὐτῷ χρόνῳ) αἱ τέχναι καὶ ἡ τοῦ λέγειν δεινότης ὁμοῦ ἀκμάζουσιν. — Εἷς καὶ τεσσαράκοντα αὐτοκράτορες, χωρὶς τῶν τριάκοντα στρατιωτικῶν τυράννων, τριακοσίοις ἔτεσι (ou ἐν τριακοσίοις ἔτεσι) τοῖς πρὸ τοῦ Διοκλητιανοῦ, τὴν πορφύραν περιεβάλοντο. — Ὁ Ἀννίβας, ἐκ τῆς νέας Καρχηδόνος ἦρος ὥρᾳ σὺν δεκακισμυρίοις στρατιώταις ἐξιὼν, λήγοντος ὀκτωβρίου εἰς Ἰταλίαν σὺν δισμυρίοις πεζοῖς καὶ ἑξακισχιλίοις ἱππεῦσιν ἀφίκετο· σὺν ᾗ οὕτω μικρᾷ δύναμει τρισὶν ἔτεσι (ou ἐν τρισὶν ἔτεσι) τέσσαρας Ῥωμαίων στρατοὺς, στρατηγούντων ὑπάτων, ἀνεῖλεν. — Οἱ Καρχηδόνιοι μιᾷ ἡμέρᾳ (ou ἐν μιᾷ ἡμέρᾳ), κατὰ τὸν τρίτον Καρχηδονιακὸν πόλεμον, τεσσαράκοντα μὲν καὶ ἑκατὸν ἀσπίδας, τριακόσια δὲ ξίφη, πεντακοσίας λόγχας καὶ χίλια καταπελτικὰ βέλη, ἐποίουν. — Αὗται αἱ πλατεῖαι χῶραι, αἱ νῦν πόλεων ἀκμαζουσῶν πλήρεις, πάλαι ἀβάτοις ὕλαις κατείχοντο, ἃς οἱ ἄνθρωποι οὐ πολλοῖς ἔτεσιν (ou ἐν οὐ πολλοῖς ἔτεσιν) ἡμέρωσαν. — Ἄνθρωποί τινες ἑνὶ μηνὶ (ou ἐν ἑνὶ μηνὶ) πλεῖον ἐργάζονται ἢ ἕτεροι σύμπαντι τῷ βίῳ (ou διὰ σύμπαντος τοῦ βίου). — Ἡ τῶν Συβαριτῶν δύναμις ἑβδομήκοντα ἡμέραις (ou ἐν ἑβδομήκοντα ἡμέραις) ὑπὸ τῶν Κροτωνιατῶν ἀνῃρέθη.

221e Exercice.

Questions de circonstances (*Grammaire*, § 529).

Τὸ βασίλειον χρυσοῖς μὲν στύλοις (ou στύλοις μὲν ἐκ χρυσοῦ) ὑπερείδεται· χρυσῆ δὲ ἄμπελος τορευτὴ (ou ἄμπελος δὲ ἐκ χρυσοῦ τορευτὴ) περιελίσσεται, καὶ τὸ ἔργον ὑπ' ἀργυρῶν ὀρνίθων (ou ὑπ' ὀρνίθων ἐξ ἀργύρου) φαιδροῦται, ἐπιτερπουσῶν ὄψιν. — Οἱ Ἀργυράσπιδες, ἐκλεκτὸν ἐν τῷ Μακεδονικῷ στρατῷ τάγμα, ὄνομα ἐλάμβανον παρὰ τῶν ἀργυρῶν ἀσπίδων (ou παρὰ τῶν ἐξ ἀργύρου ἀσπίδων) ἃς ἔφερον οἱ στρατιῶται.— Ὁ ἐν Ὀλυμπίᾳ Ζεύς, ὁ τοῦ Φειδίου, τῇ μὲν δεξιᾷ χειρὶ Νίκην φέρει χρυσῆν καὶ ἐλεφαντίνην (ou ἐκ χρυσοῦ καὶ ἐλέφαντος), τῇ δ' ἀριστερᾷ σκῆπτρον ἐκ πάντων τῶν μετάλλων πεποιημένον. — Τῶν Ἀθηναίων τὰ μὲν κοινὰ ἱμάτια χιτὼν ἦν καὶ περιβόλαιον ἐκ βαπτοῦ ἢ ἀβαφοῦς ἐρίου· οἱ δὲ πλούσιοι καὶ κομψοὶ χρυσᾶς τέττιγας (ou τέττιγας ἐκ χρυσοῦ) ἐν τῇ κόμῃ ἐφόρουν. — Κατ' ἀρχὰς μὲν οἱ Ἕλληνες οὐ χρυσοῦν οὐδ' ἀργυροῦν οὐδὲ χαλκοῦν οὐδὲ σιδηροῦν νόμισμα ἔκοπτον (ou οἱ Ἕλληνες οὐκ ἔκοπτον νόμισμα ἐκ χρυσοῦ οὐδ' ἐξ ἀργύρου οὐδ' ἐκ χαλκοῦ οὐδ' ἐκ σιδήρου), ἀντὶ δὲ τῶν ὠνίων ὁ ἀγοραστὴς τούτων τῶν μετάλλων τι ἐδίδω. — Τὸ κράτιστον ὅπλον τῶν νεῶν παρὰ τοῖς παλαιοῖς χαλκοῦς ἔμβολος ἦν (ou ἔμβολος ἦν ἐκ χαλκοῦ) ἱκανὸς τὰς τῶν πολεμίων νεῶν πλευρὰς διακεντεῖν. — Ἐν τῇ Ἀττικῇ, χωρὶς τῶν μαρμάρου λίθου λατομιῶν, τὰ τοῦ Λαυρίου ἀργυρεῖα εὐχρήστως ἐξεπονεῖτο. — Οἱ νέοι Σπαρτιᾶται ἐπὶ κοιτῶν ἐκ σχοίνου (ou ἐπὶ σχοινίνων κοιτῶν) ἐκάθευδον. — Πενιχρός τις ἁλιεὺς παρὰ ποταμῷ καλύβην ἐκ ξύλου καὶ σχοίνου (ou ξυλίνην καὶ σχοινίνην καλύβην) ᾤκει, ἔνθα οὐ χρυσόν, οὐδ' ἄργυρον, οὐδὲ πολυτελῆ χρήματα ἦν ἰδεῖν, ἀλλ' ἐξ εὐτελοῦς ὕλης τράπεζαν, λιθίνην ἕδραν (ou ἕδραν ἐκ λίθου), πήλινα σκεύη (ou σκεύη ἐκ πηλοῦ), κλίνην τ' ἐκ βοτανῶν καὶ φύλλων ἐστρωμένην καὶ ἄρνειον δέρμα ἀνέχουσαν. — Τὰ χρυσᾶ, ἀργυρᾶ, χαλκᾶ καὶ σιδηρᾶ μέταλλα οὐδαμοῦ, κατὰ τοὺς παλαιούς, πλείω ὑπῆρχεν ἢ ἐν τῇ Βαιτικῇ. — Οἱ ἄνθρωποι πρῶτον μὲν καλύβια ἐκ φύλλων καὶ κλάδων, ἔπειτα δὲ ξυλίνας οἰκίας κατεσκευάσαντο· ὀψὲ μόνον οἰκοδομήματα λίθινα (ou ἐκ λίθων) καὶ βασίλεια μαρμάρινα (ou ἐκ μαρμάρου) ἀνίδρυσαν.

222e Exercice.

Suite des questions de circonstances (*Grammaire*, § 530).

Τεσσαράκοντα ἀπὸ Μέμφεως στάδια αἱ πυραμίδες εἰσί, τῶν τῆς Αἰγύπτου βασιλέων μνημεῖα. — Ἡ Ῥώμη τρία σχεδὸν ἀπὸ τῆς θαλάσσης μίλια ᾤκισται. — Τὸ τοῦ Καπετωλίου πρόσωπον τρισὶ κιόνων στίχοις πεντήκοντα πόδας ὑψηλῶν κεκοσμημένον ἦν. — Τὸ μὲν τεῖχος τὸ τὸν

Πειραιᾶ καὶ τὸν τῆς Μουνυχίας λιμένα περιέχον, ἑξήκοντα στάδια μακρὸν, πήχεις δὲ τεσσαράκοντα ὑψηλόν ἐστι· τὸ δ' ἐκ τοῦ Πειραιῶς εἰς τὴν τῆς πόλεως πύλαν διατεῖνον τεσσαράκοντα στάδια μακρόν. — Ὁ Παρθενὼν ἑκατὸν μὲν πόδας εὐρὺς, ἑπτὰ δὲ καὶ εἴκοσι καὶ διακοσίους σχεδὸν μακρὸς, ἐννέα δὲ καὶ ἑξήκοντα ὑψηλὸς ἦν· ὁ τῆς Ἀθηνᾶς ἀνδριὰς, ὑπὸ τοῦ Φειδίου πεποιημένος, τὸ ὕψος ἓξ καὶ εἴκοσι πήχεις ἦν. — Ἡ Ἀνθηδὼν μικρὰ πόλις ἐστὶ τῆς Βοιωτίας, ἑξήκοντα καὶ ἑκατὸν στάδια τῶν Θηϐῶν ἀπέχουσα. — Ἐνετία, ταῖς πρὸς ἄρκτον τοῦ Ἀδρίου ἐσχατιαῖς ἐπικειμένη, ἐπὶ ὀκτὼ καὶ τριάκοντα καὶ ἑκατὸν μικραῖς νήσοις ᾠκοδόμηται, ὀλίγους μόνον πόδας τῆς θαλάσσης ἐξισταμέναις. — Ὀκτὼ μὲν λεύγας ἀπ' Ἐνετίας τὸ Πατάϐιον εὑρήσετε, τεσσαράκοντα δὲ ἐκεῖθεν εἰς τὴν Ῥώμην ἀφίξεσθε. — Οἱ Ἕλληνες, τὴν θάλασσαν ἀπ' ἐνίων σταδίων καθορῶντες, ἀνωλόλυξαν μὲν, δάκρυα δ' ἐκ χαρᾶς ἔχεαν, καὶ τοῖς θεοῖς εὐχαρίστουν. — Ἡ Σικυὼν ἔνια μόνον στάδια κεῖται τῆς Κορίνθου. — Οἱ Σικυώνιοι οὔποτε τοὺς νεκροὺς ἐν τῇ πόλει θάπτουσι· διὸ καὶ ἔνια ἀπὸ τῶν τειχῶν στάδια ἐκ δεξιῶν καὶ ἐξ ἀριστερῶν ὑπερφυές τι τάφων πλῆθός ἐστιν. — Ἡ Ἑλίκη ἐν τῇ Ἀχαΐᾳ πόλις σεισμῷ ἀνῃρέθη, ὃν ἐν τῇ Αἰγίνῃ οὐκ ᾔσθοντο, πόλει τεσσαράκοντα στάδια ἀπὸ Ἑλίκης κειμένῃ. — Οἱ Πελοποννήσιοι πολλάκις, προσαγόντων τῶν πολεμίων, ἐν τῷ Κορινθιακῷ ἰσθμῷ σταυρώματ' ἐποιοῦντο, ἐν τόπῳ τεσσαράκοντα μόνον στάδια εὐρεῖ ὄντι. — Ἔδει, παρόντων τῶν πολεμίων, τάφρον ὑπερϐαλεῖν ἑκκαίδεκα μὲν πόδας βαθεῖαν, ὕδατος δὲ πλήρη.

223ᵉ Exercice.

Suite des questions de circonstances (*Grammaire*, § 531).

Ἡ σίτου μέδιμνος Ἀθήνησι τὰ πολλὰ πέντε δραχμῶν ἐπωλεῖτο· βοῦς σχεδόν τι ὀγδοήκοντα δραχμῶν ἦν, πρόϐατον ἑκκαίδεκα, ἀμνὸς δέκα· ἀλλ' ὅμως, ἐνδείας οὔσης, ὁ μὲν σῖτος ἐνίοτε ἑκκαίδεκα δραχμῶν, ἡ δὲ κριθὴ ὀκτωκαίδεκα ἐπιπράσκετο. — Παρὰ δήμοις τισὶ τῆς Ἀνατολῆς οἱ ἄνδρες ἔτι τὰς γυναῖκας ἀργυρίου ὠνοῦνται. — Οἱ θεοὶ πάντ' ἀγαθὰ πόνου ἡμῖν πιπράσκουσιν. — Πολλάκις τὰ μὲν πολλοῦ ἄξια οὐδενὸς πωλεῖται, τὰ δ' ἄχρηστα πολλῶν χρημάτων πιπράσκεται. — Περὶ τὴν τῆς Ῥωμαϊκῆς δημοκρατίας τελευτὴν, ταριχῶν τρυϐλίον πλείονος ἢ βοῶν ζεῦγος ἐπωλεῖτο. — Ἡ τῶν δούλων ἀξία Ἀθήνησι κατὰ τὴν ἑκάστου ἡλικίαν, τὸ κάλλος, τὴν ἰσχὺν, τὴν ἐπιστήμην διάφορος ἦν· ἔνιοι μὲν τριακοσίων δραχμῶν, ἕτεροι δὲ ἑξακοσίων, ἔστι δ' οἳ καὶ πλείονος ἐτιμῶντο· ὁ δὲ Πλάτων, ἐκ τῆς Κιλικίας ἀνερχόμενος καὶ ὑπὸ πειρατῶν ἁλοὺς, τρισχιλίων δραχμῶν ὑπὸ τῶν φίλων ἐλυτρώθη. — Τοῦ ἡραίου τοῦ ἐν τῷ Καπετωλίῳ τὸ χρύσωμα δωδεκάκις χιλίων ταλάντων κατά τινας συγγραφεῖς

ἦν. — Τί τὸν σοφὸν ἐπιλείπει, ὀβολοῦ μὲν τέσσαρας σίτου χοίνικας πορίζεσθαι δυνάμενον, πανταχοῦ δὲ καθαροῦ ὕδατος πηγὰς εὑρίσκοντα; — Ἡ Καρχηδὼν πολλοὺς μισθοφόρους ἐκ Νομαδικῆς, Ἱσπανίας καὶ Βαλεαρίδων νήσων ἀργυρίου ἐκομίζετο. — Κατὰ τὸν Πλούταρχον, Φιλόνικος ὁ Θεσσαλὸς τὸν Βουκέφαλον Φιλίππῳ τρισκαίδεκα ταλάντων ἐπώλησεν. — Ἐν τοῖς ὑστάτοις τῆς ἀρχῆς χρόνοις, οἱ Ῥωμαῖοι, τὴν χώραν πρὸς τοὺς βαρβάρους φυλάττειν οὐκέτι δυνάμενοι, τὴν εἰρήνην ἀργυρίου ἐωνοῦντο. — Ὁ Ἰσοκράτης προῖκα μὲν τοὺς νέους Ἀθηναίους, χιλίων δὲ δραχμῶν τοὺς ξένους ἐδίδασκε· πλὴν ἀλλὰ πάντες οἱ σοφισταὶ μάλα πολλοῦ ἐδίδασκον.

224e Exercice.

Suite des questions de circonstances (*Grammaire*, § 532).

Στράτων ὁ Σιδώνιος ἅπαντας τοὺς πολίτας τρυφῇ καὶ πολυτελείᾳ ὑπερέβαλλεν. — Οἱ λαγῷ ὑπὸ τῶν ἀλωπέκων τοτὲ μὲν δρόμῳ, τοτὲ δὲ δόλῳ ἁλίσκονται. — Ὁ Ἀγησίλαος μεγάλην μὲν σοφίαν ἐν πᾶσιν ἐπεδείκνυ, ἀρέσκειν δὲ οὐ λόγοις, ἀλλ' ἤθεσι καλοῖς ἐπειρᾶτο. — Οἱ κόλακες τοὺς βασιλεῖς ἀναγορεύουσιν ὡς ἁπάντων ἀνθρώπων σωφροσύνῃ, ἐπιστήμῃ καὶ πάσῃ ἀρετῇ προέχοντας. — Πλούσιοι ἔστε, μὴ χρυσῷ καὶ ἀργύρῳ, ἀλλὰ σωφροσύνῃ καὶ ἀρετῇ. — Ὅπλοις μὲν ὁ Ἀλέξανδρος, πειθοῖ δὲ ἢ δωροδοκίᾳ ὁ Φίλιππος τὰς πόλεις ἐλάμβανεν. — Ἐν Μαραθῶνι οἱ Ἀθηναῖοι, ὑπὸ Μιλτιάδου ἐπαρθέντες, δρόμῳ ἐπὶ τοὺς πολεμίους ᾔεσαν. — Ὁ Λεύκουλλος οὐ μόνον τὸν Μιθριδάτην ἐνίκησεν, ἀλλὰ πάντα τὰ τῆς Ἀσίας πράγματα ἀκροτάτῃ ἐπιεικείᾳ διέταξεν. — Ὁ μὲν ταὼς τῷ κάλλει, ὁ δὲ κύκνος τῇ χάριτι καὶ ἡ ἀηδὼν τῇ φωνῇ ὀρνίθων πρωτεύει. — Ἡ Βαβυλὼν, ὑπὸ τῆς Σεμιράμιδος αὐξηθεῖσα καὶ κοσμηθεῖσα, πάσας τὰς ἄλλας πόλεις μεγαλοπρεπείᾳ ὑπερέβαλλεν. — Ἡ τῶν μελισσῶν βασίλισσα κατὰ τὸν αὐτὸν τοῖς ἄλλοις βασιλεῦσι τρόπον νόμους τίθησιν. — Ὁ Σωκράτης πάσῃ τῇ ψυχῇ τὴν πατρίδα ἐφίλει. — Κατὰ τὸν Θεόφραστον, τὰ πλεονεξίᾳ ἡμαρτημένα δεινότερά ἐστι τῶν ὀργῇ. — Ἡ Αἴγυπτος, ὥς φησιν Ἰσοκράτης, τρόπον τινὰ τῶν τε νήσων καὶ τῶν ἠπείρων ἀγαθοῖς χρῆται. — Μετὰ τὴν τοῦ Κατιλίνα συνωμοσίαν, ὁ δῆμος καὶ ἡ σύγκλητος πάσαις ταῖς ψήφοις τὸν Κικέρωνα τῆς πατρίδος πατέρα ἀνηγόρευσαν. — Χαλεπώτερον ἂν τοὺς ψυχῇ ἢ τοὺς σώματι νοσοῦντας ἰάσαισθε. — Ἄνθρωποί τινες οὐ τῇ ὡς ἀληθῶς ἀρετῇ, ἀλλ' ἀτόποις καὶ ματαίοις πλεονεκτήμασι τῶν ἄλλων διαφέρειν πειρῶνται. — Τίνα τρόπον τῷ πλείστου ἀξίῳ τῆς νεότητος χρόνῳ ἐχρήσασθε; — Ὁ λύκος λαβρότητι ἅπαντας τοὺς ἄλλους ποταμιαίους ἰχθῦς ὑπερβάλλει, ὅθεν τρόπον τινὰ καρχαρίας τίς ἐστι τῶν ποταμῶν. — Οἱ Ῥωμαῖοι καὶ οἱ Ἕλληνες, πάντα τἄλλα πολὺ διαφέροντες, τὸν αὐτὸν σχεδόν τι τρόπον ἐπολέμουν. — Ὁ Κικέρων, πάνυ νέος

ἔτι ὤν, οὐ τοὺς διδασκάλους μόνον, ἀλλὰ καὶ τοὺς συμμαθητὰς φιλομουσίᾳ τε καὶ θαυμαστῇ εὐμαθείᾳ κατέπληξεν.

225e Exercice.

Suite des questions de circonstances (*Grammaire*, § 533).

Ὁ μὲν τίγρις τὴν ἄγραν τοῖς ὄνυξι διασπαράσσει· ὁ δὲ ὄφις τὴν ἑαυτοῦ λείαν ταῖς σπείραις (ou ἐν ταῖς σπείραις) συντρίβει· ὁ δὲ ἄρκτος τὸν ἄβουλον πολέμιον τοῖς ποσὶ (ou ἐν τοῖς ποσὶ) καταπνίγει. — Ὁ κάστωρ τὴν οἰκίαν οὐρᾷ ὥσπερ τελειοτάτῳ ὀργάνῳ οἰκοδομεῖ. — Οἱ Σκύθαι τοῖς βέλεσιν ὄρνιθας βάλλουσιν, οὓς ἡμεῖς καθορᾷν μόλις δυνάμεθα. — Ὁ Ἡρακλῆς τῷ φοβερῷ ῥοπάλῳ (ou ἐν τῷ φοβερῷ ῥοπάλῳ), τὴν Ἑλλάδα τῶν λῃστῶν ἐκάθηρεν, ὅσοι αὐτὴν ἐπόρθουν.—Οἱ Ἀθηναῖοι τὰ πολλὰ τῷ κωνείῳ ἀνῄρουν τοὺς ἀποθνήσκειν κατακεκριμένους. — Οἱ παλαιοὶ τὴν ἀλήθειαν τῶν δικαζομένων ἐκβιάζεσθαι ταῖς (ou ἐν ταῖς) φοβερωτάταις βασάνοις ἐπειρῶντο. — Οἱ Ἀθηναῖοι, ὥστε λιμῷ τοὺς πολεμίους διαφθείρειν, τοὺς ἰδίους ὅρους αὐτοὶ πυρὶ (ou ἐν πυρὶ) διεχρήσαντο.—Βουλευτής τις Ῥωμαῖος ξύλῳ (ou ἐν ξύλῳ) Γάλλον πατάξας ὅστις τὸν μακρὸν αὐτοῦ πώγωνα ἔτιλλε, πρῶτος ἐφονεύθη.—Θυμωθεὶς ὁ λέων σφοδρῶς τὰ πλευρὰ τῇ οὐρᾷ πατάσσει.—Χιλίαρχός τις τοῖς βουλευταῖς εἶπε· « Τούτῳ (ou ἐν τούτῳ) τῷ ξίφει ἐπιτεύξεται Ὀκτάβιος τῆς ὑπατείας ἣν ὑμεῖς αὐτῷ ἀπαρνεῖσθε.» — Οὐκ ἀσπίσι, ξίφεσι, λόγχαις, θώραξι, ναυσὶ, τὴν σὴν ἀρχὴν βεβαιώσεις, ἀλλὰ δικαιοσύνῃ, ἐπιεικείᾳ, μετριότητι. — Σιδήρῳ (ou ἐν τῷ σιδήρῳ) τοὺς τῆς γῆς κόλπους τέμνομεν καὶ τὸν χρυσὸν, τὸν ἄργυρον καὶ πάντα τὰ μέταλλα ἐκεῖθεν λαμβάνομεν.—Ὁ ἔλαφος, βέλει (ou ἐν βέλει) πληγεὶς, θανατηφόρον σίδηρον ἕλκει τὸν ἐν τῇ πληγῇ λελειμμένον. — Οἱ Τρῶες σχοίνοις (ou ἐν σχοίνοις) τὸν ξύλινον ἵππον ἕλκοντες ὑπὸ τοῦ Ἐπειοῦ κατεσκευασμένον, τὴν ὀλέθριον μηχανὴν εἰς τὴν πόλιν εἰσάγουσιν. — Ὀδυσσεὺς πάντας τοὺς Πηνελόπης μνηστῆρας οἰστοῖς (ou ἐν οἰστοῖς) ἀπέκτεινε. — Τῷ σιδήρῳ ὁ ἄνθρωπος δυνατώτερός ἐστιν ἢ ἅπαντα τὰ ζῶα τοῖς ὅπλοις ὅσα ἡ φύσις αὐτοῖς ἐπήρκεσεν.— Ἐκ τῶν πρὸς ἔω εἰς τὴν Εὐρώπην ἦλθον οἱ μυλῶνες, ὧν τὰ πτερὰ τῷ (ou ἐν τῷ) ἀνέμῳ κινεῖται. — Ταρκουΐνιος ὁ ὑπερήφανος ῥάβδῳ (ou ἐν ῥάβδῳ) τῶν ὑψηλοτάτων μηκώνων τὸν καυλὸν ἔκοπτεν. — Διονύσιος ὁ πρότερος ὑπὸ τῶν ἑαυτοῦ θυγατέρων ἡμικαύστοις (ou ἐν ἡμικαύστοις) κόγχαις ἐκείρετο.—Ὁ γεωργὸς οὐκέτι δικέλλῃ (ou ἐν δικέλλῃ) τὴν γῆν τεμεῖ, οὐκέτι ὀξεῖ (ou ἐν ὀξεῖ) κλαστηρίῳ τὴν ἄμπελον κλαδεύσει.—Οἱ δεινοὶ σφενδονῆται λίθῳ (ou ἐν λίθῳ) ἢ μολυβδίνῃ βαλάνῳ (ou ἐν μολυβδίνῃ βαλάνῳ) σκοπὸν ἔβαλλον τὸν μακρότατον.

226e Exercice.

Suite des questions de circonstances (*Grammaire*, § 534).

Ὁ Κᾶκος εἰς τὸ σπήλαιον τὰς βοῦς ἃς τῷ Ἡρακλεῖ ἔκλεψε, τῆς οὐρᾶς εἷλκε. — Ἡρακλῆς ὁ Γάλλος ἐφ' ἑαυτὸν πολλοὺς ἀνθρώπους ἕλκει τῶν ὤτων δεδεμένους. — Ὁ Χάρων σκέλους τοὺς θνητοὺς κατασπᾷ τοὺς τὴν γῆν ἀπολείπειν μὴ ἐθέλοντας. — Ἡ ἱστορία ἡμᾶς ὡς ἔπος εἰπεῖν χειρὸς ἐπὶ τοὺς παρεληλυθότας χρόνους ἄγει. — Μίλων ὁ ἀθλητής, βουκόλον τινὰ ἰδών, ὄνομα Τίτορμον, μέγαν καὶ ἄγριον ταῦρον ποδὸς λαβόντα καὶ κατέχοντα, ἐξεπλάγη. — Ὁ Ἡρακλῆς Ἀνταῖον τὸν γίγαντα ζώνης λαβὼν ἐκ γῆς ἀνῆρε καὶ ταῖς (ou ἐν ταῖς) ἀγκάλαις συνέπνιξεν. — Ὁ Ἀλέξανδρος, τῇ καρτερᾷ τοῦ Βήτιος ἀμύνῃ παροξυνθείς, τῶν πτερνῶν αὐτὸν ἐκ τοῦ ἅρματος ἔδησε καὶ περὶ τὰ τῆς πόλεως τείχη εἵλκυσεν. — Ἐν τῇ Ῥώμῃ οἱ φιλότιμοι οὐδεμίαν ἀρετὴν πλὴν τοῦ πλούτου ἔχοντες, τὸν δῆμον τῆς γαστρὸς ἐπήγοντο, πολυτελῆ συμπόσια διδόντες. — Ὁ κύων τὸν ἀντίπαλον τοῦ λαιμοῦ συλλαμβάνει καὶ ἀποπνίγει. — Ἡ Ἀντιγόνη χειρὸς τὸν πατέρα ὡδήγει, τὸν ἄθλιον Οἰδίπουν. — Οὐ δεῖ τῶν κεράτων ταῦρον καταλαμβάνειν. — Τὸ μιαρὸν θηρίον σχοινίων τινῶν τοῦ ποδὸς εἴχετο. — Ἀλώπηξ τις ὑπὸ πάγης ἁλοῦσα τῆς οὐρᾶς, ἔφυγε μέν, τὴν δ' οὐρὰν ἐκεῖ κατέλιπε. — Οἱ στρατηγοὶ τῶν λόφων τῶν τὰς κεφαλὰς κοσμούντων ἐπισχεθέντες, οὕτω ταχέως φυγεῖν οὐκ ἠδύναντο, καὶ ἐφονεύθησαν. — Οἱ βάρβαροι τὰ νεογενῆ βρέφη ποδὸς λαμβάνοντες μετὰ βίας πρὸς τοὺς τοίχους ἔρριπτον.

227e Exercice.

Suite des questions de circonstances (*Grammaire*, § 535).

Ὁ Κόνων ἐν ναυμαχίᾳ, διὰ τὴν οὐχ ἑαυτοῦ, ἀλλὰ τῶν συστρατήγων αἰτίαν ἡττηθείς, εἰς τὰς Ἀθήνας κατελθεῖν οὐκ ἐτόλμησεν. — Ὁ Δημοσθένης πολλοῖς διὰ τὴν τοῦ ἤθους πικρότητα ἀπεχθὴς ἦν. — Ὁ Ἰσοκράτης διὰ τὴν τῶν πλευμόνων ἀσθένειαν (ou τῆς τῶν πλευμόνων ἀσθενείας ἕνεκα) οὐδέποτε δημηγορεῖν ἐδυνήθη. — Ὁ Ἀριστείδης παρὰ πᾶσι τοῖς Ἕλλησιν εὐδόκιμος ἦν δικαιοσύνης ἕνεκα (ou χάριν) καὶ ἀφιλοχρηματίας. — Ὁ σοφὸς διὰ τὴν τῶν χρειῶν εὐτέλειαν (ou τῆς τῶν χρειῶν εὐτελείας ἕνεκα) οὐδενὸς οὐδέποτε ἀπορεῖ. — Ἅπαντες ἅπαντα ποιοῦμεν εὐδαιμονίας χάριν (ou ἕνεκα). — Ὁ Ἱπποκράτης, Δωριεὺς ὢν τὸ γένος, τὰ συγγράμματα ἰάδι διαλέκτῳ τοῦ Δημητρίου χάριν (ou ἕνεκα) ἐξέδωκε. — Αἱ πλεῖσται τῶν στάσεων ἐν ταῖς πόλεσιν, οὐ διὰ τὸν τοῦ κοινῇ συμφέροντος ἔρωτα, ἀλλὰ διὰ τὴν πλεονεξίαν γίγνονται. — Ἡ Σπάρτη τῆς τῶν ἠθῶν αὐστηρότητος ἕνεκα (ou διὰ τὴν τῶν ἠθῶν αὐστηρότητα ou mieux ἐπὶ τῇ τῶν ἠθῶν αὐστηρότητι) ὀνομαστὴ ἦν. — Ὁ τοῦ Φιλίππου,

τοῦ Μακεδόνων βασιλέως, οἶκος διὰ τὸν τῆς Κλεοπάτρας γάμον (ou τοῦ τῆς Κλεοπάτρας γάμου ἕνεκα) διεταράχθη. — Πολλοὶ Λυδοὶ δι' ἔνδειαν (ou ἐνδείας ἕνεκα) ἣ τὸ τρίτον ἔτος διετέλει, μεταναστῆναι ἠναγκάσθησαν. — Κλεομένης, ὁ τοῦ Ἀναξανδρίδου, τῆς βασιλείας οὐκ ἀρετῆς ἀλλὰ τοῦ γένους ἕνεκα (ou οὐ δι' ἀρετὴν ἀλλὰ διὰ τὸ γένος) ἔτυχεν. — Ὁ Μάριος ὑπὸ τοῦ δήμου ὕπατος ἀνηγορεύθη, οὐ μόνον ἀνδρείας ἕνεκα, ἀλλὰ μάλιστα διὰ τὸ τῶν δυνατῶν ἔχθος. — Ὁ Πλάτων, τὸ πρῶτον Ἀριστοκλῆς ὠνομασμένος, ὑπὸ τοῦ γυμνασιάρχου διὰ τὴν τῶν ὤμων πλατύτητα Πλάτων προσηγορεύθη. — Οἱ ἄσημοι τῶν πολιτῶν ὑπὸ τῆς τῶν αὐτοκρατόρων τυραννίδος μετριώτερον ἔπασχον, διὰ τὴν τοῦ γένους ταπεινότητα. — Ὁ Δίων Διονυσίῳ τῷ νεωτέρῳ διὰ τὸ γένος καὶ τὴν παρὰ τοῦ δήμου εὔνοιαν ὕποπτος ἐγένετο. — Ὁ Ἀλέξανδρος παῤῥησίας ἕνεκα (ou χάριν) τὴν Τιμόκλειαν, εὐγενῆ Θηβαΐδα, τῆς αἰτίας ἀφῆκεν, ἣ Μακεδόνα τινὰ στρατηγὸν ἐπεφονεύκει. — Ἠλὶ ὁ ἀρχιερεὺς τῷ Κυρίῳ διὰ τὴν ἄγαν εἰς τοὺς παῖδας ἐπιείκειαν ἀπεδοκιμάσθη. — Ζῶά τινα, οἷον ὁ μύρμηξ καὶ ἡ μέλισσα, διὰ τὴν πρόνοιαν (ou προνοίας χάριν ou ἕνεκα ou mieux ἐπὶ τῇ προνοίᾳ) ὀνομαστά ἐστι. — Ζώων τινῶν τὸ δέρμα διὰ τὰς λεπίδας (ou τῶν λεπίδων ἕνεκα) ἃς ἐνδεδυμένα ἐστὶ, σχεδόν τί ἐστιν ἄθραυστον. — Πολλοὶ ξένοι εἰς Ἀθήνας τοῦ Πλάτωνος χάριν (ou ἕνεκα) μόνον ἐφοίτων. — Ὁ ὡς ἀληθῶς ἱστοριογράφος δικαιοσύνης καὶ ἀτρεκείας ἕνεκα (ou χάριν) μόνον γράφει.

228ᵉ Exercice.

Régime de l'interjection (*Grammaire*, § 538).

Ὦ ἄνεμοι, τὰ ἔπη ταῦτα τοῖς θεοῖς φέρετε. — Ὦ ἄφρον, τί τὰ χρήματα αὐξάνειν ζητεῖς; μᾶλλον, ὦ σχέτλιε, τὴν πλεονεξίαν συντέμνειν ζήτει. — Ἀρχίδαμος, τὸ πρῶτον καταπέλτην ἰδὼν, ἀνεβόησεν· « Ὦ Ἡράκλεις, ἡ τοῦ ἀνθρώπου ἀρετὴ ἀπόλωλεν. » — Ἐγώ εἰμι, ὦ πατὲρ, ὃν σὺ ζητεῖς· τὸν Σοφρώνυμον ὁρᾷς, τὸν Ἀλκινόου υἱωνόν. — Ὦ Τηλέμαχε, τοὺς θεοὺς φοβοῦ· οὗτος γὰρ ὁ φόβος ἀνθρώπῳ μέγιστος θησαυρός ἐστι. — Ἐγὼ μέν σου ἀπαλλάττομαι, ὦ παῖ Ὀδυσσέως· ἡ δ' ἐμὴ σοφία σε οὐκ ἀπολείψει. — Ὦ ξένε, τίς σε εἰς τὴν ἐμὴν ἀρχὴν ἤγαγε; — Ὦ βασιλεῦ, τὸν θάνατον ἀγαπῶ μᾶλλον ἢ τὴν δουλείαν. — Ἀκροᾶσθε, ὦ δῆμοι ἀρετῆς πλήρεις, ὑμεῖς δὲ καὶ αὐτοὶ, ὦ ἡγεμόνες οὕτω σώφρονές τε καὶ ὁμογνώμονες, ἃ ὑμῖν παρὰ τοῦ Ἰδομενέως ἐπαγγέλλομαι. — Ὦ οἰωνοὶ, ὦ θῆρες, οὐκέτι ὑμᾶς λυμαίνεσθαι δύναμαι· χεῖρες γὰρ ἐμαὶ ὀϊστοὺς οὐκέτ' ἔχουσιν· αἱρετέ με· ὦ σχέτλιε Ζεῦ, συντρῖψόν με τῷ σῷ κεραυνῷ. — Ὁ Φιλοκτήτης τῷ Νεοπτολέμῳ ἔλεγεν· « Ὦ παῖ, πρὸς τοῦ πατρὸς θανόντος, πρὸς τῆς μητρὸς, σὲ ἱκετεύω, μή με μόνον ἐν τούτοις τοῖς κακοῖς ἄφες. » — Ὦ θεοὶ τοῖς

ἀνθρώποις ἐχθροὶ, οὐκέτι τὸν Ἱππίαν ὄψομαι· ὦ Ἱππία, σοὶ μὲν συνέψομαι, τῇ δὲ ψυχῇ τῇ σῇ τὸν ὦμον Ἄδραστον κατασφάξω, τῷ σῷ αἵματι μεμιασμένον. — Ὁ σὸς θάνατος, ὦ Σώκρατες, ζῆν ἡμᾶς διδάσκει. — Ὦ Δημόσθενες, τί ἡ τοῦ βραχίονος ἰσχὺς τῇ τῶν λόγων δεινότητι ἴση οὐκ ἐγένετο; σὺ γὰρ, ὦ ῥητόρων δυνατώτατε, τὴν Ἑλλάδα τοῦ Μακεδόνων ζυγοῦ ἀπήλλαξας ἄν. — Ὦ ἀνηλεὴς ἐχθρὲ, παῖσον μὲν, μὴ ὕβρισον δέ. — Ὁ Κάτων πονηρῷ τινι γέροντι ἔλεγε· « Τί, ὦ σχέτλιε, τοῖς τοῦ γήρως κακοῖς τὴν ἐκ τῆς πονηρίας αἰσχύνην προστίθης; » — Ὦ Αἰνεία, τὴν Τρώων δύναμιν ἐπαναστήσεις, καὶ οἱ σοὶ ἔκγονοι κρατηθέντος Ἄργους ἄρξουσιν. — Στῆθι, ὦ Καῖσαρ, καὶ μὴ περάσῃς τοῦτον τὸν ποταμὸν, μηδὲ καιρίῳ πληγῇ τὴν πατρίδα τραυματίσῃς. — Ὦ γέρον, κούφαις ἐπιθυμίαις τὴν λευκὴν σεαυτοῦ τρίχα καταισχύνεις.

229ᵉ Exercice.

Suite du régime de l'interjection (*Grammaire*, § 539).

Ὁ Κατιλίνας εἰς τὴν σύγκλητον ἐλθεῖν τολμᾷ· φεῦ τῆς ἀναιδείας. — Ὁ Τιμόθεος, τοῦ Πλάτωνος ἀκούσας, ἀνεβόησεν· « Ὦ τοῦ βίου καὶ τῆς εὐδαιμονίας. » — Νίνος, Βαβυλὼν, Ἴλιον, ὦ τῶν πόλεων καὶ τῶν ὀνομάτων, ὦ τοῦ τε μεγέθους καὶ τῆς καταστροφῆς. — Οἱ γεωργοὶ τὴν Λητὼ ὑβρίσαντες εἰς βατράχους (ὦ τοῦ θαύματος) μεταλλάσσονται. — Τέρας τι, αἲ αἲ τοῦ φόβου, ὑπερμέγεθες, ἐκ τῶν ἀφριζόντων κυμάτων ἐξέρχεται. — Ἄπαγε τῶν τιμῶν καὶ τῶν χρημάτων· ἐν μετριότητι γὰρ εὐδαιμονία. — Τὸν Σωκράτην ἐναντίον τῶν δικαστῶν βλέπε, ὦ τῆς καρτερίας, ὦ τῆς τοῦ ζῆν καταφρονήσεως. Ἄκουε αὐτοῦ ἐν τῷ δεσμωτηρίῳ τοῖς μαθηταῖς συνδιαλεγομένου, ὦ τῆς ἐπιεικείας καὶ τῆς εὐθυμίας. — Φεῦ τῆς Ἑλλάδος, τῆς οὐ μόνον ὅπλων δύναμιν, ἀλλὰ καὶ λόγων δεινότητα καὶ ποίησιν ἀπολωλεκυίας. — Μάτην τῇ τελευταίᾳ ἡμέρᾳ βοήσεσθε· « Ὦ τῶν χρημάτων καὶ τῶν ἀγρῶν καὶ τοῦ φιλτάτου θησαυροῦ· » ἅπαντα γὰρ ἀπολιπεῖν δεήσει. — Ἄπαγε τῆς ἐπιστήμης λόγους μόνον καὶ μὴ πράγματα διδασκούσης. — Ὁ Μούκιος Σκαιόλας, ὦ τῆς καινῆς ἀνδρείας, τὴν χεῖρα ὑπὲρ ἐμπύρου ἀνθρακιᾶς κατέσχε. — Πάντα παρὰ τοῖς Ῥωμαίοις μεγάλα ἦν· ὦ τῶν ἀρετῶν, ἀλλὰ καὶ φεῦ τῶν ἀδικημάτων. — Ὀρφεὺς, τῶν τοῦ Πλούτωνος λόγων ἐπιλαθόμενος, ἐπιστρέφεται, φεῦ τῆς ἀβουλίας, καὶ τὸ δεύτερον τὴν Εὐρυδίκην ἀποστερεῖται. — Οἱ Γάλλοι τῆς Ῥώμης κυριεύουσι· βάρβαροι, αἲ αἲ τῆς ἀνεκπλύτου αἰσχύνης, ἐν τῇ ἀγορᾷ στρατοπεδεύονται. — Ζεὺς μὲν νηχόμενος τὴν Εὐρώπην ἀπεκομίζετο· οἱ δὲ θαλάσσιοι θεοὶ, ὦ τῆς θαυμαστῆς θέας, τὸν οὐρανοῦ δεσπότην παρέπεμπον. — Οἱ κατὰ τοὺς τελευταίους χρόνους Ῥωμαῖοι, φεῦ τῆς δεινῆς ὠμότητος, τοὺς δούλους ἀδικήσαντας εἰς τὰ ἰχθυοτροφεῖα ἐῤῥίπτον, ὥστε τὰς μυραίνας

παίνειν. — Ὦ τοῦ θαύματος, ὦ τοῦ φόβου, τὸν αὐτὸν εἶδον παῖδα, τὸν ἐν τῷ ἐνυπνίῳ ἐμοὶ πεφασμένον.

230ᵉ Exercice.

Suite du régime de l'interjection (*Grammaire*, § 540).

Οὐαὶ τοῖς τὸν πολέμιον εἰς τὴν πατρίδα παρακαλεσαμένοις. — Οἴ μοι (ou ὤ μοι) ταλαιπώρῳ, τί ἐπὶ τῆς γῆς ἔτι ποιῶ; — Οἴ μοι, οἴ μοι, Κρέων Ἀντιγόνην μ' ἀφαιρεῖται. — Οὐαὶ ὑμῖν οἳ τῷ τοῦ Κυρίου νόμῳ ἀπετάξασθε. — Οἴ μοι ἀβούλῳ, τὰς τοῦ Ὀδυσσέως τέχνας ἔτι ἠγνόουν. — Οὐαὶ ταῖς πόλεσιν ἐν αἷς οἱ δυνατοὶ πολῖται ἀτιμωρητὶ τοὺς νόμους παραβαίνουσιν. — Ὦ μοι σχετλίῳ, διὰ τὸν σὸν θάνατον ἐγὼ ζῶ, ὦ παῖ. — Οὐαὶ ὑμῖν οἳ τὸν τοῦ θεοῦ λόγον ἀκούοντες οὐ κερδαίνετε. — Οὗτος ὁ σχέτλιος λόγος· « Οὐαὶ τοῖς ἡττημένοις, » εἰς τοὺς αὐτὸν ἐκφωνήσαντας περιεστράφη. — Οὐαὶ τοῖς δικάζουσιν· αὐτοὶ γὰρ δικασθήσονται. — Ὦ μοι ταλαιπώρῳ, ἅπαντες γὰρ οἱ υἱοί μου ὑπὸ τῶν Ἑλλήνων ἔπεσον. — Ὦ μοι τυφλῷ, ὅστις οὐχ ἑώρων τοὺς θεοὺς τῷ ὀλέθρῳ μου ἐγκειμένους. — Ὁ Χριστὸς εἶπέ ποτε τοῖς μαθηταῖς· « Οὐαὶ ἐκείνῳ δι' οὗ τὸ σκάνδαλον γίγνεται. » — Οἴ μοι τολμηρῷ, οἱ θεοὶ θρασύτητος δίκην ἀπ' ἐμοῦ ταχὺ λήψονται. — Οὐαὶ ἐκείνῳ ὃς τῇ κρίσεως ἡμέρᾳ ἕτοιμος οὐκ ἔσται. — Οἴ ἡμῖν τοῖς μωροῖς, οἳ τὰς ἐπικειμένας συμφορὰς οὐ προεωρῶμεν.

231ᵉ Exercice.

Syntaxe de subordination. — Emploi du participe (*Grammaire*, § 543).

1. Οἱ Ὀλύνθιοι ἀλυσίδετοι ἐπὶ τῇ σποδῷ τῆς πατρίδος ὑπὸ Φιλίππου ἀναιρεθείσης καθήμενοι ἔκλαιον. — Τῷ λογισμῷ ἀεὶ ἡγεμόνι χρώμενος, οὐχ ἁμαρτήσῃ τῆς ὁδοῦ. — Ἄνθρωπός τις εἰς Λακεδαίμονα ἐλθὼν καὶ ἰδὼν τὴν τῶν παίδων εἰς τοὺς πρεσβυτέρους αἰδῶ, εἶπεν· « Ἐν Λακεδαίμονι μόνον ἀγαθὸν τὸ γηράσκειν. » — Ὁ Ἥφαιστος προσέτι τῇ τοῦ Ἀχιλλέως ἀσπίδι ἐνέγλυψεν ἀγρὸν στάχυσιν ἀκμάζουσι πεπυκασμένον· ἐκεῖ θερισταί, δρέπανα ἐν ταῖς χερσὶν ἔχοντες, τὸν σῖτον ἤμων. — Λέοντα τῇ ἐμῇ ποίμνῃ προσβαλόντα προσέκρουσα τῷ ἐδάφει καὶ ταῖς χερσὶ κατέπνιξα. — Ἡ Ῥώμη, τῆς γῆς κυρία γενομένη, ἔτι μέγα ἐφρόνει ἐπὶ τοῖς μεγάλοις ἔργοις τοῖς ὑπὸ τῶν Ταρκουϊνίων πεποιημένοις. — Οἱ βάρβαροι, τὰς μὲν κώμας καὶ τοὺς οἴκους ἐμπρήσαντες, τὰς δὲ ἀμπέλους καὶ πάντα τὰ ὀπωροφόρα δένδρα ἐκριζώσαντες, τὴν χώραν εἰς ἔρημον μετέβαλον. — Ὁ Ἀλέξανδρος τῇ τοῦ Δαρείου μητρὶ καὶ γυναικὶ ἐνέτυχε γενομέναις αὐτῷ αἰχμαλώτοις.

2. Ἠλὶ ὁ ἀρχιερεὺς τοὺς παῖδας ἀπὸ τῆς κακίας οὐκ ἀποτρέψας καὶ αὐτῶν οὐκ εἰς δέον φεισάμενος, αὐτὸς σὺν τοῖν παίδοιν ἀπώλετο. — Οἱ

Τρίτωνες, ἀνακύρτοις κόγχαις σαλπίζοντες, τὸ τῆς Ἀμφιτρίτης ἅρμα περιένεον, ἑλκόμενον ὑφ' ἵππων χιόνος λευκοτέρων, οἵτινες τὸ ἁλμυρὸν ὕδωρ σχίζοντες κατόπισθεν εὐρὺν ὁλκὸν ἐπὶ τῆς θαλάσσης κατέλειπον.— Δεινὰ ὁμοῦ κύματα καὶ πνεύματα, πάντα ἡμῖν ἀτρεκῆ θάνατον ἐσήμαινε. —Ὁ πλούσιος μέν, ἀπαίδευτος δέ, οὐχ ἅπτεται τῶν βίβλων τῶν ἐν τῇ αὐτοῦ βιβλιοθήκῃ σεσωρευμένων. — Τὰ ὑποζύγια καὶ οἱ ἵπποι πόνων ἀποκάμνοντες ἔπιπτον, καὶ οὐ δυνάμενοι ἀναστῆναι, ἄγρα τῶν λύκων τῷ στρατῷ ἑπομένων ἐγίγνοντο. — Αἱ τῶν Τρώων αὐτῶν συμφοραὶ μόλις παραβληταί εἰσι τοῖς κακοῖς τοῖς ὑπὸ τῶν Ἑλλήνων βασιλέων μετὰ τὴν τῆς Τροίας ἅλωσιν ἀνηντλημένοις. — Οἱ Κρῆτες τῇ τῆς Ἰταλίας ἀκτῇ μετ' Ἰδομενέως προσοκείλαντες, ἐκεῖ ἀγρίους ἄνδρας εὗρον ἐξ ἄγρας καὶ ἐκ καρπῶν οὓς αὐτόματα φέρει τὰ δένδρα βιοτεύοντας. — Οἱ Κρῆτες τὸν βασιλέα ἀποβαλόντες, ἕτερον αἱρεῖσθαι ἔγνωσαν, ἱκανὸν τοὺς νόμους τοὺς ὑπὸ Μίνωος καθεστηκότας ἀκεραίους φυλάσσειν.

232e Exercice.

Suite de l'emploi du participe (*Grammaire*, § 544).

1. Ἀποθανόντος τοῦ Ἀλεξάνδρου, Δημάδης ὁ ῥήτωρ τὸ τῶν Μακεδόνων στρατόπεδον τῷ Κύκλωπι τυφλωθέντι ἀντιπαρέβαλλεν. — Οἱ Ἀθηναῖοι ἀεὶ ἐνίκησαν ἡγεμονεύοντος Ἀλκιβιάδου. — Τῆς ταφῆς τῷ Πατρόκλῳ τελεσθείσης, ὁ Ἀχιλλεὺς τιμωρῆσαι αὐτῷ παρεσκευάσατο. — Ἀναιρεθέντος τοῦ στόλου, ἡ Καρχηδὼν ἦν ἀφύλακτος. — Βασιλεύοντος τοῦ Κωνσταντίνου, ἡ Ῥωμαϊκὴ ἀρχὴ τέλος εἰς δύο μέρη διεμερίσθη. — Τῶν δημοτῶν διηνεκῶς ἐπὶ τῇ τῶν δανειστῶν σκληρότητι ὀλοφυρομένων, ἡ σύγκλητος τῷ κακῷ ἐπαρκέσαι ἔγνω. — Εἰπόντος τινὸς τῷ Διογένει· « Μωρὸς εἶ, » « Οὐ μωρός εἰμι, ὑπέλαβεν ὁ φιλόσοφος, ἀλλ' οὐ τὸν αὐτόν σοι νοῦν ἔχω. » — Φονευθέντος τοῦ Κόδρου, οἱ Ἀθηναῖοι πολὺ ἔτι προθυμότεροι τοὺς Δωριεῖς ἔτρεψαν. — Τῶν δημάρχων τὸν Σκιπίωνα ἐπὶ τοῦ δήμου γραψαμένων, ὁ μέγας ἀνὴρ ἐκεῖνος ἀπολογήσασθαι οὐκ ἠξίωσε. — Ἑστώσης τῆς Καρχηδόνος, οὔποτ' ἡ Ῥώμη ἐν ἀσφαλεῖ ἔσται.

2. Τοῦ μὲν Ἀριστείδου καὶ τοῦ Θεμιστοκλέους θανόντων, τοῦ δὲ Κίμωνος πρὸς μακραῖς στρατείαις γενομένου, ὁ Περικλῆς τῶν πραγμάτων ἐπεκράτησε. — Οἱ Ἀθηναῖοι ἐν Μυκάλῃ ἐνίκησαν, στρατηγοῦντος Ξανθίππου, τοῦ Περικλέους πατρός. — Τῆς Τύρου θέσεως τῇ ἐμπορίᾳ ἐπιτηδείας οὔσης, οἱ ἔμποροι πανταχόθεν ἐκεῖ κατῆρον. — Πλειόνων δούλων ὄντων ἢ πολιτῶν, οἱ Ἀθηναῖοι χιλίους καὶ πεντακοσίους τοξότας ἔτρεφον Σκύθας, πᾶσαν στάσεως πεῖραν κωλύσοντας. — Ἡ τῆς Τύρου δόξα, βασιλεύοντος Πυγμαλίωνος, σφόδρα ἠμαυρώθη. — Τῶν πραιτωριανῶν

τὴν ἀρχὴν ἀποκηρυξάντων, ἡ τοῦ Αὐγούστου μοναρχία Διδίῳ Ἰουλιανῷ ἀπεδόθη πεντήκοντα καὶ διακοσίων καὶ ἑξακισχιλίων δραχμῶν ἀνὰ στρατιώτην· τετελεσμένης δὲ τῆς πράσεως, οἱ πραιτωριανοὶ Δίδιον εἰς τὰ βασίλεια ἤγαγον. — Τοῦ Κωνσταντίνου μόνου τῆς ἀρχῆς κυριεύσαντος, ἡ δύναμις ἀπὸ τῶν ἐθνικῶν εἰς τοὺς χριστιανοὺς μετέπεσεν.

233e Exercice.

Suite de l'emploi du participe (*Grammaire*, § 545).

1. Ὁ Σωκράτης τὸ κώνειον ἔπιε, παρὸν αὐτῷ τοῦ δεσμωτηρίου ἀποφυγεῖν. — Ἄνθρωποί τινες πάντα ἀντιστρόφως ποιοῦσι· λέγουσι μὲν γάρ, σιωπᾶν δέον, σιωπῶσι δέ, δέον λέγειν. — Ἡ Ἑλλὰς ὑπ' ἐμφυλίων στάσεων διέστηκε, πασῶν τῶν πόλεων δυνάμεις πάσας εἰς τὸν κοινὸν πολέμιον τρέψαι δέον. — Τῷ θεῷ δόξαν ἂν ἐμὲ ἐκ τῆς γῆς ἀνάγειν, εὐδαίμων καὶ ἥσυχος ἀποχωρήσω. — Πολλάκις τὴν εὐδαιμονίαν πανταχοῦ ζητοῦμεν, ἐξὸν αὐτὴν οἴκοι εὑρεῖν. — Τῆς εὐδοξίας πᾶσι τοῖς ἀγαθοῖς μέλον, εἰκότως ἡ δόξα ὄνομα κενὸν οὐκ ἔστι. — Ὁ Κάτων τὴν Ἑλλάδος γλῶσσαν εἰς ἔσχατον γῆρας ἐλάσας ἔμαθεν, ἐξὸν αὐτῷ ἀναπαύεσθαι. — Τῷ Ἀλεξάνδρῳ δόξαν τὰς Βάκχου καὶ Ἡρακλέους πράξεις ἀφανίσαι, ἐπὶ ξένης γῆς ἀποθανούμεθα, πόῤῥω τῶν συγγενῶν καὶ τῶν φίλων.

2. Μιμεῖσθε τὸν Κλεινίαν, τὸν Πυθαγόρου μαθητὴν, ὃς τριῶν ταλάντων ζημίαν ἀπέτισε, παρὸν αὐτῷ δι' ἐπιορκίαν τὴν ζημίαν ἀποφυγεῖν. — Ὁ Κῦρος ταῖς ἀεὶ δωρεαῖς εἰς πενίαν καθίστατο, ἐξὸν αὐτῷ ὑπερμεγέθη χρήματα εἰς τὰ βασίλεια ἀποτίθεσθαι. — Δόξαν τῇ συγκλήτῳ τῷ πρὸς Πύῤῥον πολέμῳ ἐνστῆναι, οἱ ὕπατοι ταχέως νέον στρατὸν συνήγαγον. — Οἱ Ἕλληνες τὴν τοῦ Φιλίππου δύναμιν κατὰ μικρὸν αὐξάνεσθαι εἴασαν, παρὸν ἐν τῇ ἀρχῇ κατασχεῖν. — Τίμα τοὺς θεοὺς καθημεριναῖς εὐχαῖς καὶ ἀναφοραῖς, μέλον σου τοῖς θεοῖς καθ' ἡμέραν. — Τὰς Ἀθήνας δεῆσαν ἀπολιπεῖν ἐν τῷ δευτέρῳ πρὸς Μήδους πολέμῳ, ἅπασα ἡ πόλις θρήνων καὶ γόων μεστὴ ἦν.

234e Exercice.

Emploi de l'infinitif (*Grammaire*, § 547).

Αἰσχρὸν μετὰ τὴν πρώτην ἀτυχίαν ἀπελπίζειν. — Χαλεπόν ἐστι ταῖς ἐπιθυμίαις δουλεύειν. — Ἀδύνατον ἅπασιν ἀρέσκειν. — Ῥᾴδιόν ἐστιν ἐν τῇ εὐτυχίᾳ φίλους εὑρίσκειν. — Ἀνόητόν ἐστιν ἐπιχειρεῖν τοῖς τῆς φύσεως νόμοις ἀνθίστασθαι. — Εὔπορον μὲν τὸ ἐλέγχειν· τὸ δ' εὖ ποιεῖν οὐ ῥᾴδιον. — Ἄξιόν ἐστιν ἐλέου μὴ μόνον τοὺς πολίτας, ἀλλὰ καὶ τοὺς συγγενεῖς τε καὶ φίλους φοβεῖσθαι. — Σπάνιόν ἐστιν ἐντελῆ συγγραφέα εὑρίσκειν. — Καλὸν μὲν ἔστιν ἀρχὴν καταστῆσαι· κάλλιον δ' ἔτι

τοὺς πολίτας ὀλβίους ποιεῖν. — Αἰσχρόν ἐστιν οὐ τὸ ἀγνοεῖν, ἀλλὰ τὸ τὴν ἄγνοιαν μὴ ὁμολογεῖν. — Ἀναγκαῖον μὲν ἐστι τὸ σῶμα συνεχέσι γυμνασίαις ῥωννύναι· ἀναγκαιότερον δὲ τῆς ψυχῆς μὴ ἀμελεῖν. — Ἄνευ ὁμονοίας διαμένειν ἀδύνατον ταῖς πόλεσίν ἐστι. — Καλὸν λογισμῷ, ἀλλὰ μὴ βίᾳ τῶν ἀνθρώπων κρατεῖν. — Οὔποτ' ἐξῆν τῷ Στωϊκῷ εἰς οἶκτον ἐλθεῖν. — Πολλάκις ἐπικίνδυνόν ἐστι τὸν πολέμιον εἰς ἀπόγνοιαν καταστῆσαι. — Τῷ πολίτῃ πρῶτον προσῆκόν ἐστιν ὑπὲρ τῆς πατρίδος τὰ χρήματα καὶ τὸν βίον προΐεσθαι. — Ἀνάξιον ἀνδρὸς ἀγαθοῦ αἰσχρὸν κέρδος ζημίας προελέσθαι. — Χαλεπὸν ἔργον τὸ παῖδα καλῶς ἐκτρέφειν. — Ἀηδές ἐστι τὸ τῶν αὐτῶν ἀεὶ ἀκούειν. — Πιθανὰ μόνον πλάσσειν τῷ ποιητῇ πρῶτον προσήκει. — Δεινότατον ἀληθῶς ἐστιν ὑπ' ἐκείνων προδοθῆναι, οὓς φίλους εἶναι νομίζομεν. — Ἄλογόν ἐστι τὴν τῆς ἄρκτου ἔτι ζώσης δορὰν ἀποδόσθαι. — Οὐκ ἀγαθὸν τὴν τῶν ἀνθρώπων πλεονεξίαν ἐπαίρειν. — Ἀναγκαῖον φυλάττεσθαι ἀεὶ δραστικὸν καὶ ἐπιστρεφῆ πολέμιον.

235ᵉ Exercice.

Suite de l'emploi de l'infinitif.

Τοῖς ὑπάτοις ἀδύνατον ἦν τῶν στενῶν ἐξελθεῖν εἰς ἃ τὸν στρατὸν αὐτοὶ ἐνέβαλον. — Οὐκ ἦν χαλεπὸν τῷ Κικέρωνι, ὡς ἐμοὶ δοκεῖ, τὴν τοῦ Ὀκταβίου ἀγνωμοσύνην προϊδεῖν. — Ἔδοξεν ἐμοὶ τοῖς ἔπειτα τὴν τούτων τῶν πραγμάτων μνήμην καταλιπεῖν. — Οὐ γενναῖόν ἐστι τὸ τοὺς ἀπόντας κακῶς λέγειν. — Ἐν τῇ Ῥώμῃ, ἐπὶ τῶν Καισάρων, ἐπικίνδυνον ἦν τῷ μὲν γένει καὶ τῷ πλούτῳ, μάλιστα δὲ πάντων τῇ ἀρετῇ διαπρέπειν. — Οὐκ εὔπορον τοῖς Ῥωμαίοις ἦν τὴν Παρθικὴν ἵππον καταλαβεῖν. — Τῷ Ὀρφεῖ οὐκ ἐγένετο δυνατὸν τὴν ὑπόσχεσιν τελέσαι. — Τοῖς πρώτοις ἀνθρώποις εἰκότως μάλα χαλεπὸν ἐγένετο τὴν γῆν οὕτως ἀτελέσιν ὀργάνοις ἡμερῶσαι. — Τοῖς Ἰσπανοῖς καλὸν ἐγένετο τὴν ἐλευθερίαν τοσοῦτον χρόνον ἀπὸ τῶν Ῥωμαίων διαφυλάξαι. — Ἐξῆν τῷ Καίσαρι στέφανον ἐκ δάφνης ἀεὶ φέρειν. — Ἡδύ ἐστιν ὁδοιπόροις πεπαιδευμένοις καὶ ἀψευδέσιν συνδιαλέγεσθαι. — Ῥᾴδιον τῷ Ἀριστοτέλει ἐγένετο ἐπιστήμης ἔρωτα τῷ Ἀλεξάνδρῳ ἐμποιῆσαι. — Κατὰ τοὺς πολλούς, οὐκ ἐξῆν ἐν τῇ Ἀκαδημίᾳ γελᾶν. — Τὸ ἑαυτὸν γνῶναι σπανιώτατόν τε καὶ χαλεπώτατον πρᾶγμά ἐστι. — Οὐκ ἐγένετο χαλεπὸν τῷ Ἐπαμεινώνδᾳ τὰ παρὰ τοῦ Περσῶν βασιλέως δῶρα παραιτήσασθαι. — Παρὰ τοῖς Λακεδαιμονίοις αἰσχρὸν ἦν ἄνευ ἀσπίδος ἐκ τῆς μάχης ἐπανελθεῖν. — Καλὸν μὲν τῷ Μαρίῳ ἐγένετο οὕτω ταπεινοῦ ἐκ γένους τῶν πρώτων ἐν Ῥώμῃ ἀρχῶν ἐπιβῆναι· ἀνάξιον δὲ τοῦ τοὺς Κίμβρους καὶ Τεύτωνας νικήσαντος τὴν πόλιν τοῦ τῶν πολιτῶν αἵματος ἐμπλῆσαι. — Δειλόν ἐστι τὴν μὲν τάξιν μὴ κελεύσαντος τοῦ ἡγεμόνος ἀπολιπεῖν, τοῦ δὲ βίου

μὴ συγχωρήσαντος τοῦ θεοῦ ἀπαλλάξασθαι. — Ἄδικόν ἐστι τοὺς θεοὺς τῶν κακῶν αἰτιᾶσθαι ἃ ἡμῖν αὐτοὶ ἐπιφέρομεν.

236ᵉ Exercice.

Suite de l'emploi de l'infinitif (*Grammaire*, § 548).

Ὁ ἔμπορος ἐλπίδι τοῦ πλουτισθῆναι τὴν θάλατταν διαπεραιοῦται. — Κῦρος ὁ πρότερος βασιλεὺς ἦν τοῦ ἄρχειν ἀξιώτατος. — Τὸ συνεχῶς τινα εὐεργεσιῶν ἀναμιμνήσκειν τὸ αὐτὸ σχεδόν ἐστι τῷ ὀνειδίζειν. — Οἱ παῖδες ἐπίφοροί εἰσιν εἰς τὸ μιμεῖσθαι τῶν ὁμιλούντων τὰς κακίας μᾶλλον ἢ τὰς ἀρετάς. — Οἱ Ἕλληνες ἔμπειροι ἦσαν τοῦ ᾄδειν καὶ τοῦ κιθαρίζειν. — Οὐκ ἀπόχρη λέγειν ἐπίστασθαι, ἀλλὰ καὶ τὸν τοῦ λέγειν καιρὸν γιγνώσκειν δεῖ. — Ἀναγκαῖόν ἐστι πρὸς τὸ νικᾶν στρατιώτας ἔχειν οὐ πολλούς, ἀλλ' εὐτάκτους. — Ἄριστος τοῦ τιμωρεῖσθαι τρόπος τὸ τῆς ὕβρεως καταφρονεῖν. — Αἱ Ἀθῆναι, ἐπὶ τοῦ Κικέρωνος, πολλοὺς ἐμπείρους διδασκάλους εἶχον, ἐπιτηδείους πρὸς τὸ τοὺς νέους παιδεύειν εἰς τὸ λέγειν. — Καλῶς ζῆν ἕτερόν τί ἐστι τοῦ δαψιλῶς. — Οἱ τῶν Περσῶν παῖδες, εἰς τὴν τοῦ μανθάνειν ἡλικίαν παρήκοντες, κοινοῖς διδασκάλοις ἐπετρέποντο. — Πάντες ἐπιθυμητικῶς ἔχομεν τοῦ τοὺς γνωρίμους ἄνδρας ὁρᾶν καὶ αὐτοῖς προσμίγνυσθαι καὶ συνδιαλέγεσθαι. — Οἱ μὲν φιλάργυροι πρὸς τὸ ἀργύριον συλλέγεσθαι ἐπιτήδειοι μόνον, οἱ δὲ ἀκόλαστοι πρὸς τὸ ἀφρόνως ἐκδαπανᾶν, ἀμφότεροι ὁμοίως τὴν τέχνην ἀγνοοῦσι τοῦ τῷ πλούτῳ χρῆσθαι. — Μὴ τοὺς λόγους, ἀλλὰ τὰς τῶν ἀνθρώπων πράξεις ἐπισκέπτεσθε· πολλάκις γὰρ οἱ φαῦλοι ἔμπειροί εἰσι τοῦ λέγειν καὶ τὰς κακίας καλοῖς λόγοις ὑποκρύπτειν. — Πάντα τὰ ζῶα θαυμασίως ἐπιτήδειά ἐστι πρὸς τὸ τὰς ἐνεργείας ἐπιτελεῖν ἃς ἐργάζεσθαι πέφυκε. — Τὸ παρὰ καιρὸν φιλεῖν τὸ αὐτό ἐστι τῷ ἐχθαίρειν. — Ἅπαντες τὴν τοῦ καλῶς ποιεῖν ἐξουσίαν ἔχομεν. — Χαλεπώτερον τὸ ἄρχειν τοῦ πείθεσθαι. — Τὸ τὰ ἑαυτοῦ ἁμαρτήματα διορθοῦν ἄμεινόν ἐστι τοῦ τὰς ἑτέρων πράξεις ἐλέγχειν. — Οἱ μὲν πρὸς τὸ πάντα εἰς ἀγαθὸν, οἱ δὲ πρὸς τὸ πάντα εἰς κακὸν ὑπεραύξειν πεφύκασιν.

237ᵉ Exercice.

Suite de l'emploi de l'infinitif (*Grammaire*, § 549).

Ὁ Καλιγούλας, τῆς βροντῆς ἀκούων, τῆς εὐνῆς ἐκπηδῆσαι καὶ κάτω κρύψασθαι ἠπείγετο. — Ὁ Ἀννίβας ὅλον τὸν κόσμον ἐπὶ τὴν Ῥώμην συσκευάζεσθαι ἐβούλετ' ἄν. — Ὁ τοῦ ἀνθρώπου υἱὸς ζητεῖν καὶ σώζειν ἦλθε τὰ ἀπολωλότα. — Ὁ Καῖσαρ τοὺς Ἐλβετίους εἰς τὴν πατρίδα ἐπανελθεῖν ἠνάγκασε. — Ὁ Ἡρακλῆς ἐν τῷ οὐρανῷ τοῦ Ἀσκληπιοῦ προκατακλίνεσθαι ἤθελεν. — Ὁ Θησεύς, μετὰ τὸν τοῦ Αἰγέως θάνατον,

τοὺς σποράδας τῆς Ἀττικῆς οἰκήτορας εἰς μίαν πόλιν ἔγνω συνάγειν. — Οἱ Σαβῖνοι εἰς Ῥώμην συνέδραμον τοὺς ἀγῶνας θεάσασθαι τοὺς ὑπὸ Ῥωμύλου προκηρυχθέντας. — Ἐκπεσὼν ὁ Δαίδαλος τῶν Ἀθηνῶν φόνου ἕνεκα, τὸν ἐν Κρήτῃ λαβύρινθον κατασκευάσαι ἐπεχείρησε. — Ὁ Ὕλας εἰς γῆν ὑδρεύσασθαι πεμφθεὶς ὑπὸ τῶν Νυμφῶν κάλλους ἕνεκα ἡρπάσθη. — Ὦ Ἄπολλον, ὃς τὸ μέλλον γιγνώσκειν προσποιῇ, πῶς τὸν τοῦ φίλου Ὑακίνθου οὐ προεῖδες θάνατον; — Παρὰ τοῖς Ἀθηναίοις, οἱ δεσπόται κολάζειν μὲν ἠδύναντο τοὺς δούλους τοὺς ἁμαρτηκότας, καὶ ἐν πέδαις δεσμεύειν, καὶ εἰς μύλην πέμπειν, καὶ τῶν γυναικῶν τε καὶ παίδων ἀποχωρίζειν, ἀλλ' οὐ κατακτείνειν. — Τοῦ Αἰσχύλου ἀσεβείας γραφέντος, ὁ ἀδελφὸς Ἀμεινίας τοὺς δικαστὰς εἰς ἔλεον τρέψαι ἐπειράσατο, τὰς πληγὰς ἀποδεικνὺς ἃς ὁ ποιητὴς ἐν τῇ περὶ Σαλαμῖνα μάχῃ εἰλήφει. — Αἰνιάνες ἀνὰ τέταρτον ἐνιαυτὸν πρέσβεις εἰς Δελφοὺς πέμπουσι θυσίαν τοῖς ἐκεῖ θεοῖς ποιήσασθαι, καὶ χοὰς τῷ τοῦ Νεοπτολέμου τύμβῳ, ἑνὶ τῶν παλαιῶν βασιλέων, ἐπισπεῖσαι. — Ὁ Πελοπίδας τὴν πατρίδα τῆς τῶν Λακεδαιμονίων τυραννίδος ἀπαλλάξαι ἐπεχείρησεν. — Ἐν Ῥώμῃ ἅπαντες οἱ πελάται ἕωθεν τοὺς προστάτας ἀσπάζεσθαι ἤρχοντο.

228ᵉ Exercice.

Suite de l'emploi de l'infinitif.

1. Πολλοὶ ἄνθρωποι τὸν πλεῖστον βίον ἢ οὐδὲν ἢ οὐδενὸς ἄξια ποιοῦντες διάγουσι. — Φοβερὰ σημεῖα ἐπέφαστο· λύκοι μὲν τὰς πόλεις τοῖς ὠρυγμοῖς φοβοῦντες οὐ διέλειπον· αἷμα δ' ἐκ φρεάτων ῥέον οὐκ ἐπαύετο. — Ὁ διδάσκαλος οὔποτε διαλείπει τὸ αὐτὸ τοῖς παισὶ παλιλλογεῖν. — Ὁ ἄνθρωπος τῇ ἡλικίᾳ προβαίνων κάμνει πλανήτην βίον διάγων καὶ συνεχῶς τὰς διαφόρους τῆς γῆς χώρας διερχόμενος. — Ὁ Μασινισσᾶς, καίπερ τῶν Ῥωμαίων πρέσβεων ἐν Καρχηδόνι παρόντων, τοῖς τῶν Καρχηδονίων ὅροις ἐπιβάλλων διετέλει. — Οἱ μὲν ποιηταὶ οὔποτε ᾄδοντες παύσονται, οἱ δ' ἄνθρωποι οὔποτε ἀκούοντες ἀπεροῦσιν. — Οἱ γεωργοὶ τὸ πλεῖστον τοῦ χειμῶνος κατατρίβουσι τὰ ἐργαλεῖα εἰς τὸ ἔαρ ἐπισκευάζοντες.

2. Πότ' οὖν φροντίζειν δύναιτ' ἄν, ὅστις λέγων οὐ διαλείπει; — Τοῦ Ἀννίβα τῇ Ῥώμῃ ἐπελαύνειν προσποιουμένου, οἱ Ῥωμαῖοι οὐδὲν ἧττον τὴν Καπύην πολιορκοῦντες διετέλεσαν. — Μετὰ τήν, ὥς φασι, περὶ Ἵμεραν ἐν Σικελίᾳ ἧτταν, οἱ Καρχηδόνιοι, ὑπὸ Γέλωνος ἀναγκασθέντες, παῖδας τῷ Κρόνῳ σφάζοντες ἐπαύσαντο. — Οἱ μὲν τῶν Περσῶν παῖδες, εἰς τὰ διδασκαλεῖα φοιτῶντες, τὴν δικαιοσύνην ἐκεῖ μανθάνοντες ἠσχολοῦντο· οἱ δὲ διδάσκαλοι τὸ πλεῖστον τῆς ἡμέρας διέτριβον αὐτοὺς δικάζοντες. — Ὁ Κικέρων περὶ τῆς ἑαυτοῦ ὑπατείας λέγων οὔποτε

διέλειπεν. — Παρ' Ὁμήρῳ οἱ πολεμισταὶ τοὺς ἀντιπάλους ὑβρίζοντες ἦρχον. — Οἱ Μακεδόνες οὕτω μακρὰν τοῦ οἴκου πολεμοῦντες ἀπέκαμνον. — Οἱ κόλακες τοὺς βασιλέας περιερχόμενοι καὶ τὴν ἀλήθειαν αὐτοὺς κρύπτοντες οὐ διαλείπουσι. — Μετὰ τὸν δεύτερον ἐπὶ τοὺς Καρχηδονίους πόλεμον οἱ Ῥωμαῖοι τὰς τῆς Ἑλλάδος τέχνας μιμούμενοι ἤρξαντο. — Ὁ Ξενοφῶν τὸν Γρύλλου τοῦ υἱοῦ θάνατον πυθόμενος τοῖς θεοῖς θυσιάζων διετέλεσεν ὥσπερ ἤρξατο.

239ᵉ Exercice.

Suite de l'emploi de l'infinitif.

Οἱ πονηροὶ πατέρες, νουθεσίαν πρὸς τοὺς υἱοὺς ποιοῦντες, σφῶν αὐτῶν κατηγοροῦντες λανθάνουσι. — Ἔλαθεν ὁ Κικέρων τὸν ἄνθρωπον σώζων ὃς φονεύειν αὐτὸν ἤμελλεν. — Οἱ Παρθυαῖοι οὐκ ἠγνόουν μὴ δυνάμενοι τοὺς Ῥωμαίους ἐμπέδως ἀναμένειν. — Πολλοὺς οἶδα διὰ τὴν τῆς γλώσσης ἀκρασίαν εἰς μεγίστας συμφορὰς ἐμπεσόντας. — Ἐπὶ τοῦ Φιλίππου οἱ Ἀθηναῖοι ἔτι ἐμέμνηντο τὴν Ἑλλάδα πάλαι κρατήσαντες. — Ἀναξαγόρας ὁ Κλαζομένιος, τὸν τῶν υἱῶν θάνατον πυνθανόμενος, εἶπεν· «Ἤδειν θνητοὺς φυτεύσας. » — Οἶδα μὲν ὀλιγοχρόνιον οὐσίαν κεκτημένος· οὐκ ἀγνοῶ δὲ τοὺς δύναμιν ἐμοὶ δόντας ὅτι καὶ αὐτοὶ ἀναλαβεῖν δύνανται. — Ὁ Ἀγησίλαος τὸν τῶν Περσῶν βασιλέα παμπόλλας δυνάμεις ἐπὶ τὴν Ἑλλάδα ἀθροίζοντα πυθόμενος, τὸν πόλεμον τῇ Ἀσίᾳ ἐπιφέρειν ἔγνω. — Οἱ φαῦλοι τέλος φαῦλα ποιοῦντες λελήθασι. — Τὸ « Μέμνησο ἄνθρωπος ὤν, » χρυσοῖς γράμμασιν ἐπὶ τοῦ πάντων τῶν βασιλείων προθύρου χαραχθῆναι ἂν ἔδει. — Ὁ Κατιλίνας οὐκ ᾔδει ὑπὸ τῶν Ἀλλοβρόγων πρέσβεων προδεδομένος. — Εὐεργεσίᾳ τινὶ τῆς φύσεως οἱ πλεῖστοι γηράσκοντες οὐκ αἰσθάνονται. — Μέμνησο, ὦ παῖ, πένης καὶ ἄθλιός ποτε γενόμενος.

240ᵉ Exercice.

Emploi d'une conjonction (*Grammaire*, § 550).

Ἴστε ὅτι τὸ ἄδικον οὔποτε ὠφέλιμόν ἐστι. — Πιστεύω ὅτι ὁ Θεὸς οὐ μόνον ἔστιν, ἀλλὰ καὶ συνεχῶς ἡμῶν ἐπιμελεῖται. — Ἰσχυρίζονται οἱ Στωϊκοὶ ὅτι ἅπαντα τὰ ἁμαρτήματα ἴσα ἐστί. — Αἰσθάνομαι ὅτι ὑμᾶς μετ' ὀλίγον καταλείψω. — Ἴστε ὅτι πᾶσαι αἱ ὑμέτεραι πράξεις ὑπὸ δικαστοῦ ἐξετασθήσονται ὃν οὐδὲν λανθάνει. — Ἀριστοτέλης φησὶν ὅτι ὁ μὲν ὀφθαλμὸς ἐκ τοῦ περιέχοντος ἀέρος, ἡ δὲ ψυχὴ ἐκ τῆς ἐπιστήμης τὸ φῶς παραδέχεται. — Οὐκ ἀγνοεῖτε ὅτι τὰ ὕδατα τὸ πρῶτον πᾶσαν τὴν γῆν κατέκλυζεν. — Ἀσεβεῖς θνητοί, οἱ τὰς τοῦ Ἀπόλλωνος ποίμνας σφάξαντες, ἴστε ὅτι μετ' οὐ πολὺν χρόνον ἀπολεῖσθε, καὶ οὐδεὶς ὑμῶν, πλὴν τοῦ Ὀδυσσέως, τὴν πατρίδα πάλιν ὄψεται. — Ὁ Ἰησοῦς Χριστὸς

πολλαχοῦ τοῖς μαθηταῖς ἀγγέλλει ὅτι ἀναιρεθήσεται τὰ Ἱεροσόλυμα, καὶ οὐδὲ λίθος ἐπὶ λίθῳ λειφθήσεται. — Φησὶν ὁ Κικέρων ὅτι ἡ πολιτικὴ ἀνδρεία τῆς πολεμικῆς ἀμείνων ἐστίν. — Οἱ κατὰ τὴν ἀνατολὴν βασιλεῖς πείθονται ὅτι ὁ τῶν στρατιωτῶν ἀριθμὸς τὴν νίκην κρίνει. — Ἡ πεῖρα δηλοῖ ἡμῖν ὅτι ἡ λογιότης τῇ ἐλευθερίᾳ συναπόλλυται. — Νομίζω ὅτι ἡ Ὀδύσσεια τὰ πολλὰ μᾶλλον τῆς Ἰλιάδος ἀρέσκει. — Ἀποφαίνεται ὁ Κάτων ὅτι τῷ Πομπηΐῳ συλλήψεται, ὡς τῆς ἐλευθερίας προμάχῳ ὄντι. — Διόδωρος ὁ Σικελιώτης διηγεῖται ὅτι ὁ κροκόδειλος τῶν ἑκκαίδεκα πηχέων ἐφικνεῖται. — Οἱ συγγραφεῖς ἱστοροῦσιν ὅτι τὸ Κάσπιον πέλαγος τῶν ἄλλων γλυκύτερόν ἐστι καὶ ἰχθῦς τὴν χρόαν ἐξαιρέτους τρέφει.

241e Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 551).

Δοκεῖς ὅτι ἡ ἀλήθεια πολὺν χρόνον ἄγνωστος ἔσται; — Ὅτι μὲν οἱ Λακεδαιμόνιοι οὐδέποτε ἡττήθησαν οὐ διισχυρίζομαι, φημὶ δὲ ὅτι οὐδέποτε ἔφυγον. — Οὐδὲν ἄτοπον ὅτι (ου εἰ) ἐπὶ τῇ τῶν προγόνων δόξῃ μέγα φρονεῖτε. — Οὐδεὶς συνετὸς ἀνὴρ οἴεται ὅτι ἡ δόξα τῆς ἀρετῆς ἀντάξιός ἐστιν. — Οὐκ ἂν εἴποιμι ὅτι Κόϊντος Κόρτιος γιγνώσκει τὰς χώρας ἃς διηγεῖται. — Οὐδαμοῦ μέν φησιν ὁ Κικέρων ὅτι τοῦ Δημοσθένους ὑπέρτερός ἐστι· πολλαχοῦ δὲ τὸ ἐναντίον λέγει. — Τίς ἂν δύναιτο πιστεύειν ὅτι, τοῦ Κάδμου τοὺς τοῦ δράκοντος ὀδόντας σπείραντος, ὡπλισμένοι ἄνδρες πεφύκασι; — Οὐκ ἂν ἔξαρνος εἴην ὅτι πολλάκις χαλεπόν ἐστι τὰς ἐπιθυμίας κατασχεῖν. — Οὐδείς φησιν ὅτι ἡ ἀρετὴ τὸ πρῶτον ἐπαγωγοτέρα τῆς κακίας φαίνεται. — Δοκεῖτε ὅτι οὐδὲν ἐξ οὐδενὸς δύναται πεφυκέναι; — Τοῖς φιλοτίμοις οὐ δύναται ἐπελθεῖν ὅτι οἱ ἄλλοι ἄνθρωποι τῶν τιμῶν οὐκ ἐπιθυμοῦσιν, ἀλλ' ἡσύχῳ καὶ ἀσήμῳ βίῳ ἀρέσκονται. — Οὔ μοι δοκεῖ ὅτι οἱ πλεῖστοι τῶν νῦν τὰς διαφόρους τῆς Εὐρώπης χώρας ἐνοικούντων αὐτόχθονές εἰσιν. — Οἱ φιλοχρήματοι τῶν ἀνθρώπων οὐ δύνανται οἴεσθαι ὅτι ἕτεροί τι προῖκα πράττουσιν. — Οἴεται ὁ Διογένης ὅτι ἡ αὐτοῦ ἔνδεια ἧσσόν ἐστι πομπικὴ τῆς ἄλλων εὐπορίας; — Οὐ δοκῶ ὅτι ὅμοιά ποτε ἀναφανεῖται τέρατα τοῖς Ῥωμαίων αὐτοκράτορσιν. — Οὐδεὶς μὲν συγγραφεὺς ἰσχυρίζεται ὅτι ὁ Ἀλέξανδρος τοῦ Φιλίππου φόνου μετέσχεν· ἔνιοι δὲ μόνον τοιαύτην ὑποψίαν παρέχονται. — Ἆρά σοι δοκεῖ ὅτι φίλοι πιστότεροί εἰσι τῶν βίβλων καὶ βεβαιότεροι καὶ στεγανώτεροι;

242ᵉ Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 552).

1. Ἔφασκεν ὁ Φίλιππος ὅτι ἀνάξιον Ἀλεξάνδρου ἐστὶ τὴν τοῦ σατράπου Πηξοδώρου, μεγάλου βασιλέως δούλου ὄντος, θυγατέρα γῆμαι. — Ἔλεγεν ὁ Θαλῆς ὅτι τὸ ὕδωρ πάντων ἐν τῷ κόσμῳ στοιχεῖόν ἐστι. — Μενεκράτης ὁ ἰατρὸς, εὐτυχῶς τινας ἰασάμενος, ἐνόμισεν ὅτι θεός τίς ἐστι. — Δέκιος ὁ ὕπατος παρήγγειλεν ὅτι τῆς πατρίδος ὑπεραποθνήσκειν ἕτοιμός ἐστι. — Ἐδόκουν οἱ παλαιοὶ ὅτι αἱ Ἡράκλειοι στῆλαι τὰ πέρατά εἰσι τῆς γῆς. — Οὐκ ἠγνόει ὁ Καῖσαρ ὅτι ὑπ' ἐχθρῶν περιέχεται πάντα τολμᾶν ἑτοίμων. — Ὁ Πλούταρχός φησιν ὅτι, ᾗ ἡμέρᾳ Ἀλέξανδρος ἐγένετο, ἅμα δύο ἄλλας ἀγαθὰς ἀγγελίας ὁ Φίλιππος ἀποδέχεται. — Ἤδει ὁ Σωκράτης ὅτι ὑπὸ τῶν δικαστῶν προκατέγνωσται. — Οἱ Νυσσαῖοι, τῆς Ἰνδικῆς ὅμοροι, ἔφασκον μὲν ὅτι Βάκχος τῆς σφετέρας πόλεως κτιστής ἐστι· προσετίθεσαν δὲ ὅτι ὁ κισσὸς, οὐδαμοῦ ἄλλοθι τῆς Ἰνδικῆς φυόμενος, παρ' αὐτοῖς φύεται. — Ἔφασκεν ὁ Δημοσθένης ὅτι Φωκίων τῶν αὐτοῦ λόγων πέλεκύς ἐστιν.

2. Ἱστορεῖ Αἰλιανὸς ὅτι οἱ Γάλλοι, εἰς τὴν θάλασσαν προερχόμενοι, γυμνὰ ξίφη καὶ ἀκόντια πάλλουσιν, ὡς τὰ κύματα φοβεῖν καὶ τραυματίζειν δυνάμενοι. — Οἱ τῶν παλαιῶν πεπαιδευμένοι οὐκ ἠγνόουν τοὺς τῶν θεῶν χρησμοὺς πανουργίαν καὶ ἀπάτην ὄντας. — Ἐπίστευον οἱ Ῥωμαῖοι ὅτι ἡ τῆς γῆς ἀρχὴ σφίσιν ὑπὸ τῶν θεῶν ἐδόθη. — Συνεχῶς τοῖς φίλοις ὁ Κικέρων ἔγραφεν ὅτι τὰς τῆς φυγῆς λύπας οὐκέτι φέρειν δύναται. — Ὁ Ἀλκιβιάδης εἰς τὴν Σικελίαν ἀφορμῶν σαφῶς ᾔδει πολλοὺς ἐχθροὺς κατόπισθεν ἀπολείπων. — Ὁ Μιθριδάτης ᾐσθάνετο ὅτι ὁ φόβος μόνον τοὺς δήμους ὑπὸ τοῖς Ῥωμαίοις κατέχει. — Πρῶτος ὁ Ἀννίβας ἐτεκμήρατο ὅτι ἡ Ῥώμη μάλιστα ἐν Ἰταλίᾳ τρωτὴ εἴη. — Οὔαρος μάτην ἐνόμισεν ὅτι οἱ Γερμανοὶ ἡττηθέντες ὑπήκοοί εἰσιν. — Ἐδόκουν οἱ παλαιοὶ ὅτι οἱ θεοὶ ταῖς τῶν θνητῶν ἔρισι παρεμπέσοιεν. — Οἱ Αἰτωλοὶ ταχὺ ἔγνωσαν ὅτι τὸ τῆς Ῥώμης ζυγὸν χαλεπώτερον τῆς τῶν Μακεδόνων ἐπικρατείας ἐστίν. — Οἱ ἄνθρωποι διὰ πολλῶν ἔδοξαν αἰώνων ὅτι ἡ μὲν γῆ ἀκίνητος εἴη, ὁ δ' ἥλιος περὶ τὴν γῆν περιάγοιτο.

243ᵉ Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 553).

1. Ὅμηρός φησιν ὡς οἱ ξένοι παρὰ τοῦ Διὸς ἥκουσιν. — Ὦ Βροῦτε καὶ σὺ Κάσσιε, ἆρ' ἐλπίζετε ὡς, θανόντος τοῦ Καίσαρος, ἡ ἐλευθερία ἐν τῇ Ῥώμῃ ἀναστήσεται; — Ὁ Δημῶναξ, δυοῖν ἀνθρώπων ἀπαιδεύτων ἀκούσας περὶ ζητήματός τινος διαλογιζομένων, πρὸς τοὺς φίλους εἶπεν·

« Οὐ δοκεῖ ὑμῖν ὡς ὁ μὲν τράγον ἀμέλγειν θέλει, ὁ δὲ κόσκινον ὑπέχει; » — Ἴσμεν ἅπαντες ὡς οὐδαμοῦ οἱ πολῖται τοῖς νόμοις μᾶλλον ἢ ἐν τῇ Σπάρτῃ ἐπείθοντο. — Γηράσκοντες γνώσεσθε ὡς οὐδὲν βίου μέρος ἀτελές ἐστι λύπης. — Ἐπίστευον οἱ παλαιοὶ ὡς οἱ τοῦ Διὸς κεραυνοὶ ὑφ' Ἡφαίστου καὶ Κυκλώπων χαλκεύοιντο. — Οἱ συγγραφεῖς ἱστοροῦσιν ὡς Φῶκος, ὁ ἀνάξιος υἱὸς τοῦ Φωκίωνος, διὰ τὴν ἀκολασίαν κατεφρονεῖτο. — Ὤμοσαν οἱ Ἕλληνες πρὸ τῆς μάχης ὡς τὸν μὲν βίον τῆς ἐλευθερίας οὐ μὴ προέλωνται, τοὺς δ' ἡγεμόνας οὔτε ζωοὺς οὔτε θανόντας μὴ προδῶσι.

2. Ἀναγιγνώσκομεν ὡς οἱ Πτολεμαῖοι εἰς Ἀλεξάνδρειαν τοὺς μάλιστα παιδευτοὺς τῶν Ἑλλήνων εἰσεκαλέσαντο, καὶ πάσῃ δυνάμει ταῖς τέχναις καὶ τοῖς λόγοις ἐβοήθησαν. — Ἔφασκε μὲν ὁ Ἀλέξανδρος ὡς ἡ Ἰλιὰς πολεμικῆς ἀρετῆς ἐγχειρίδιον εἴη· ἴσμεν δὲ ὡς νυκτὸς τοῦτο τὸ ποίημα ὑπὸ τοῦ προσκεφαλαίου σὺν τῷ ξίφει ἐτίθει. — Οἱ Ῥωμαῖοι ἐπίστευον ὡς εὐταξία τῶν στρατῶν ἰσχύς ἐστι. — Ὡμολόγουν οἱ Πέρσαι ὡς τὴν ἀρετὴν ὑποδεέστεροί εἰσι τῶν Ἑλλήνων. — Οἱ Ἀθηναῖοι ἠξίουν ὡς τοῖς τῶν συμμάχων χρήμασιν εἰς τὴν τῆς ἰδίας πόλεως κόσμησιν χρῆσθαι ἐξείη αὐτοῖς. — Δοῦλός τις κατεῖπεν ὡς ὁ Κατιλίνας καὶ οἱ αὐτοῦ κοινωνοὶ ἀνθρώπινον αἷμα ἐν συμποσίῳ πίοιεν. — Πεπεισμένοι ἦσαν οἱ παλαιοὶ ὡς μαγευταὶ τοὺς μὲν σίτους διαφθείροιεν, τὰς δὲ ποίμνας βασκανίαις ἀποκτείνοιεν. — Αὔγουστος παρὰ λόγον ἤλπιζεν ὡς τῇ ὀψὲ ἐπιεικείᾳ τὴν τῆς προτέρας ἀπανθρωπίας μνήμην ἀφανιεῖν μέλλοι.

244ᵉ Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 554).

Ὁ κώνωψ πρὸς τὸν λέοντα εἶπεν· « Οἴει με τὸ βασιλικόν σου ὄνομα φοβεῖσθαι; » — Οἶμαι τὰ τοῦ Πυθαγόρου αἰνίγματα πρὸς τὴν τῆς ἀρετῆς κτῆσιν χρησιμώτατα εἶναι. — Ὁ Θεμιστοκλῆς πρὸς τοὺς Ἀθηναίους εἶπεν· « Οἶδα μὲν ἐγὼ τοὺς Πέρσας εἰς τὴν πόλιν ἡμῶν εἰσελεύσεσθαι, καὶ τοὺς οἴκους ἀναιρήσειν, καὶ τοὺς ναοὺς συλήσειν τε καὶ ἐμπρήσειν· ἐννοεῖσθε δὲ τὴν πατρίδα οὐκ ἐκ ξυλίνων καὶ λιθίνων οἰκοδομημάτων συνεστάναι, ἀλλὰ πανταχοῦ εἶναι ὅπου ἐστὲ ὑμεῖς. » — Ἅπαντες οἱ συγγραφεῖς ὁμολογοῦσι τοὺς Γάλλους πάντων τῶν δήμων φιλοκινδυνοτάτους γενέσθαι. — Οἶμαι τὸν ἀδικοῦντα τοῦ ἀδικουμένου ἀθλιώτερον εἶναι. — Λέγει ὁ Ξενοφῶν τοὺς φρονίμους ἄνδρας καὶ ἐκ τῶν ἐχθρῶν κερδαίνειν. — Μὴ θαυμάζετε, ὦ Ἀθηναῖοι, ὁ Δημῶναξ ἔλεγεν, εἰ τῇ Ἀθηνᾷ οὐ θύω· οὐ γὰρ πιστεύειν δύναμαι αὐτὴν θυσίας παρ' ἐμοῦ δεῖσθαι. — Συγχωρητέον τὰ μὲν θηρία τῇ τοῦ σώματος ῥώμῃ ἡμῶν προέχειν, λέοντα δὲ ἢ ἐλέφαντα πολλῷ ἰσχυρότερον τοῦ Ἡρακλέους αὐτοῦ εἶναι· ὁμολογῶμεν οὖν δόλῳ καὶ εὐχερείᾳ μόνον οἵους τε ἡμᾶς εἶναι τούτων τῶν

φοβερῶν θηρῶν περιγενέσθαι. — Οἱ παλαιοὶ φιλόσοφοι συνεχῶς φάσκουσι τὴν φύσιν τὸ κενὸν ὀῤῥωδεῖν. — Ἡ ἱστορία διδάσκει ἡμᾶς τοὺς ἀνθρώπους ἐκ τῶν παραδειγμάτων τῶν προγεγενημένων μικρὸν κερδαίνειν.

245e Exercice.

Suite de l'emploi d'une conjonction.

Ἀναγκαῖόν ἐστι τοὺς τῆς δόξης ἐπιθυμοῦντας μυρίοις κινδύνοις καὶ πόνοις ἑαυτοὺς παραβάλλειν. — Εἰκὸς ἦν τοὺς μισθοφόρους τὴν τοῦ αἵματος τιμὴν τοὺς Καρχηδονίους ἀπαιτεῖν. — Παρὰ τοῖς Ἕλλησι νόμιμόν ἐστιν ὀμνύναι τοὺς πολίτας ὁμονοήσειν. — Φήμη πανταχόσε διαδίδοται τὸν Σύλλαν, Μιθριδάτου κρατήσαντα, ἐπὶ τὴν Ῥώμην πορεύεσθαι, τιμωρίας ἐπιθυμητικόν. — Δῆλόν ἐστι τὰ μέγιστα πράγματα πολλάκις εἰς καιροὺς σχεδόν τι ματαίους ἀναρτᾶσθαι. — Οὐκ εἰκός ἐστι πόλεμον, νόσους, ἔνδειαν, ἐκ γῆς ποτε ἀφανισθήσεσθαι. — Τίς ἐστιν ἐλπὶς βαρβάρους ἱερέως καὶ γέροντος λόγοις ἐπικλασθήσεσθαι; — Οὐ δυνατόν ἐστι τὸν ἀπρακτοῦντα ἑαυτῷ ἀρέσκειν. — Ἀνάγκη ἐστὶ τοὺς πρεσβυτέρους, τοὺς δι' αἰδοῦς ἄγεσθαι ὑπὸ τῶν νέων βουλομένους, ἑαυτοὺς αἰσχύνεσθαι. — Εἰκός ἐστι τοὺς νέους μάλιστα τοῖς ὁμήλιξιν ὁμιλεῖν. — Ψευδές ἐστιν ὑπὸ τῶν ἐπιστημῶν καὶ τῶν λόγων τοὺς δήμους διαφθείρεσθαι. — Δίκαιόν ἐστιν ἡμᾶς τοῖς ἅπαξ ψευσαμένοις ἀπιστεῖν. — Οὐκ εἰκὸς ἦν τὸν Σύλλαν ποτὲ τὴν ἀρχὴν καταθήσεσθαι ἣν τοσούτου αἵματος ἐκέκτητο. — Ἀναμφισβήτητόν ἐστιν ἀδίκων τινῶν ἀτιμωρησίαν πολλῶν κακῶν αἰτίαν εἶναι.

246e Exercice.

Suite de l'emploi d'une conjonction.

Présent, aoriste et parfait de l'infinitif.

1. Τίς οὐκ οἶδε τὸν Σόλωνα τῇ τῶν νόμων καταστάσει ἀθάνατον δόξαν κεκτῆσθαι; — Ἔφασκεν ὁ Διογένης τὸν ἄνθρωπον τὸν ἐλαχίστων δεόμενον μάλιστα τοῖς θεοῖς παραπλήσιον εἶναι. — Ἱστορεῖ ὁ Πλούταρχος, Ἀλεξάνδρου μεθ' Ἡφαιστίωνος εἰς τὴν κλισίαν τῆς Δαρείου μητρὸς εἰσελθόντος, τὴν βασίλισσαν τῷ Ἡφαιστίωνι προσπεσεῖν, ὃς μείζων αὐτῇ καὶ καλλίων ἔδοξε. — Ὁ μῦθος ἱστορεῖ τὴν Ἄλκηστιν, πρὸ τοῦ ἑαυτῆς ἀνδρὸς Ἀδμήτου θανεῖν βουληθεῖσαν, ὑφ' Ἡρακλέους σωθῆναι. — Σκιπίωνα τὸν Αἰμιλιανὸν οἱ ἐν τῇ τῆς δόξης λαμπρότητι γνόντες πιστεύειν οὐκ ἐδύναντο ἄγροικόν ποτε καὶ βραδύνουν, παῖδα ὄντα, νομισθῆναι. — Ἕλληνες τετρακισμύριοι, πάλαι ὑπὸ τῶν Περσῶν ἁλόντες, ἑαυτοὺς μὲν ὑπὸ τῶν βαρβάρων σχετλίως ᾐκίσθαι διηγοῦντο· αἱ δὲ δειναὶ τῶν προσώπων ὠτειλαὶ τἀληθὲς αὐτοὺς λέγειν ἀπεδείκνυσαν. — Ἀνενδοίαστόν

ἐστι τοὺς μὲν ἡμῶν προγόνους πλέον πρᾶξαι ἢ γράψαι, ἡμᾶς δὲ πλέον γράφειν ἢ πράσσειν. — Δόξα τις ἦν παρὰ τοῖς Ἀθηναίοις καθεστηκυῖα, τὸν Ἀκταῖον πρῶτον ἐν τῇ Ἀττικῇ βασιλεῦσαι.

2. Βούλομαι μὲν πείθεσθαι τὸν Ἡρακλέα καὶ γεγονέναι καὶ τὴν Ἑλλάδα πολλῶν τεράτων τε καὶ λῃστῶν ἀπαλλάξαι· δῆλον δ' ἔστι τοὺς Ἕλληνας τό τε ἀληθὲς θαυμασίοις πλάσμασι κοσμῆσαι, καὶ ἑνὶ τούτῳ πλειόνων μὲν ἡρώων, ἴσως δὲ καὶ πλειόνων αἰώνων ἔργον ἐπιθεῖναι. — Οὐκ οἶμαι τοῖς ἡλικιώταις ῥᾴδιον εἶναι τὴν ἀλήθειαν διαγιγνώσκειν ἐν ταῖς πράξεσιν αὐταῖς αἷς πάρεισιν. — Οἱ εὐπατρίδαι, τὸν Ῥωμύλον φονεύσαντες, εἶπον αὐτὸν εἰς οὐρανὸν ἀναρπασθῆναι, καὶ ἐν τοῖς θεοῖς ἔθηκαν. — Διασπαρείσης εἰς τὸν στρατὸν τῆς φήμης ἐγνωκέναι τὸν Ἀλέξανδρον τέλος εἰς Μακεδονίαν ἐπανελθεῖν, πάντες οἱ στρατιῶται ἐπὶ τὰς σκηνὰς φωσὶ κελευσθέντες ὁρμῶσιν. — Πιστεύω τὴν τῆς Ῥωμαίας συγκλήτου κολακείαν τε καὶ δουλοπρέπειαν κακοὺς μὲν τοὺς ἀγαθοὺς φύσει αὐτοκράτορας, χείρους δὲ καὶ τοὺς φαυλοτάτους πεποιηκέναι. — Ὁ Ἀλέξανδρος τῷ Ἀριστοτέλει ἔγραψεν αὐτὸν οὐ κατὰ λόγον διαθρυλῆσαι τὰς ἐπιστήμας τὰς τοῖς μαθηταῖς ἀποτεθειμένας. — Ἐδόκουν οἱ Κυνικοὶ πήραν καὶ λελακισμένον τριβώνιον ἀντὶ ὅλης εἶναι τῆς ἀρετῆς.

247ᵉ Exercice.

Suite de l'emploi d'une conjonction.

Futur de l'infinitif.

Ἡ Θέτις τῷ Ἀχιλλεῖ ἠγγέλκει αὐτὸν ὑπὸ τοῖς τῆς Τροίας τείχεσιν ἀποθανεῖσθαι. — Ἤλπιζεν ἡ Καλυψὼ τὸν Ὀδυσσέα τῆς πατρίδος Ἰθάκης ἐπιλήσεσθαι. — Οἴεται ὁ Αἴας τοὺς Ἕλληνας Ἀχιλλέως αὐτῷ τὰ ὅπλα ἐπινεμεῖν. — Πάντες μὲν οἱ πολιτικοὶ ἄνδρες τὸ ἑαυτῶν ὄνομα ἀείμνηστον ἔσεσθαι ἐλπίζουσι· πάντες δ' οἱ δῆμοι τὴν ἑαυτῶν δύναμιν οὔποτε τέλος λήψεσθαι δοκοῦσιν. — Ὦ Σενέκα, καὶ Βοῦῤῥε, ἆρά ποτ' ἐπιστεύσατε τὸν Νέρωνα ταῖς ἀφ' ὑμῶν παραινέσεσι πολὺν χρόνον πείσεσθαι; — Ὁ Προμηθεύς, ἐπὶ τοῦ Καυκάσου δεδεμένος, ἑαυτὸν παραμυθεῖται, οἰόμενος τὸν Δία ποτὲ δίκην δώσειν καὶ βασιλείας ἐκπεσεῖσθαι. — Ὁ Δημοσθένης, Ἀλέξανδρος ἔφασκεν, ἐμ' ἐν Θρακίᾳ μὲν ὄντα παῖδ' ἐκάλει, ἐν Βοιωτίᾳ δὲ νεανίσκον· ἐν τῇ Ἀττικῇ ἄνδρα ἀποκαλέσειν ἐλπίζω. — Ὦ μιαροὶ θνητοί, ἴστε τοὺς θεοὺς οὐκ ἐπιπολὺ τὰ ὑμέτερα ἀδικήματα ἀζήμια ἐάσειν.

248e Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 555).

1. Ὡμολόγει ὁ Ζεῦξις σχολαίως ζωγραφεῖν. — Ἔφασκεν ὁ Κάτων τοὺς στρατιώτας μισεῖν τοὺς κατὰ τὰς μάχας ποσὶν ἀλλ' οὐ χερσὶ χρωμένους. — Ὁ Δημοσθένης γυναῖκα ἰδὼν ἐκ δένδρου ἀνηρτημένην, ἔφη οὔποτε δένδρον ἰδεῖν βελτίους τοὺς καρποὺς φέρον. — Νέρων ἀφελῶς ᾤετο μέγας τις τεχνίτης εἶναι. — Ὁ Ἡρακλῆς, τοῖς τοῦ Εὐρυσθέως ἐπιτάγμασι πειθαρχεῖν τῇ τῆς Ἥρας γνώμῃ ἠναγκασμένος, οὐκ ἐδόκει διὰ τοῦτο ἄθλιος εἶναι. — Ἅπαντες οἱ ἄνθρωποι υἱὸν ἢ γυναῖκα ἢ μητέρα ἀποβάλλοντες, μόνοι ἀνασχετὰ κακὰ πάσχειν νομίζουσι. — Ἄνθρωπος, ὅστις πάντα προϊδεῖν οἴεται, πολλάκις ὑπό τινος ἀπροσδοκήτως συμβάντος καταλαμβάνεται. — Ὅταν συνεχῶς φάσκωσιν οἱ φιλάργυροι πτωχοὶ εἶναι, τί αὐτοῖς οὐ πειθόμεθα; τί γὰρ τῶν πτωχῶν διαφέρουσιν; — Ὁμολογήσατε ἁμαρτεῖν καὶ ἐννοήθητε ὡς τὰ διημαρτημένα ἀναθέσθαι ἔτι δύνασθε. — Ἅπαντες γηράσεσθαι ἐλπίζομεν· ἀλλ' ἐπιλανθανόμεθα ὅτι ἅμα τῷ γηράσκειν ἀσθενήσομεν.

2. Ἔφασκεν ὁ Καῖσαρ μᾶλλον ἂν βούλεσθαι ἐν πολιχνίῳ πρῶτος ἢ ἐν Ῥώμῃ δεύτερος εἶναι. — Ὁ Χριστὸς αὐτὸς προηγγέλκει ὑφ' ἑνὸς τῶν μαθητῶν προδοθήσεσθαι. — Ὦ παῖδες, ἴστε εὐημερήσειν τοὺς τεκόντας τιμῶντες. — Συνεχῶς ἔφασκεν ὁ Σωκράτης εἰδέναι τε οὐδὲν καὶ θνητῶν μάλιστα ἀπαίδευτος εἶναι. — Ἔλεγεν ὁ Ἑρμῆς ἀθλιώτερος αὐτὸς ἐν οὐρανῷ εἶναι ἢ ὁ ἔσχατος τῶν ἐπὶ γῆς θνητῶν, οὐδεμίαν γὰρ ἀνάπαυσιν μήτε νυκτὸς μήτε μεθ' ἡμέραν ἔχειν, μεθ' ἡμέραν μὲν τὰς τοῦ Διὸς ἐντολὰς τελῶν, νυκτὸς δὲ τὰς ψυχὰς εἰς ἔρεβος ἄγων. — Οἱ Σκύθαι τοῖς παρ' Ἀλεξάνδρου πρέσβεσιν ἀπεκρίναντο τέως μὲν ἀεὶ ἐλεύθεροί τε καὶ αὐτόνομοι βεβιωκέναι, νῦν δὲ τὴν χώραν ἣν παρὰ τῶν προγόνων παραδεδεγμένοι ἦσαν ἀμυνεῖσθαι. — Ἄνθρωποί τινες περὶ πάντων ῥᾳδίως λέγοντες δεινοὶ εἶναι νομίζουσι. — Ὁ Πτολεμαῖος Πομπήϊον φονεύων τὴν Καίσαρος εὔνοιαν προσάξεσθαι ἤλπιζεν. — Πολλοὶ ἐλεύθεροι εἶναι νομίζοντες δουλεύουσιν. — Τοῦ Ἀλεξάνδρου Διὸς υἱοῦ εἶναι φάσκοντος, πάντες οἱ Μακεδόνες ἐπὶ τοῦ Φιλίππου στρατευσάμενοι οὐκ ἀπεκρύπτοντο ἀγανακτοῦντες.

249e Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 556).

1. Ἐπιμέλονται οἱ στρατηγοὶ ὅπως οἱ στρατιῶται πολεμικοί τε καὶ εὔτακτοι ὦσι. — Ἐπιτηδεύω ὅπως πάντα τὰ τῶν παλαιῶν χρόνων μνημεῖα ἀναλέξω. — Οἱ πλεῖστοι τῶν ἀνθρώπων διατείνονται μὲν ὅπως τῶν τιμῶν ἐφίκωνται, ἐπιτηδεύουσι δ' οὐδαμῶς ὅπως ἄξιοι γένωνται.

— Ἐπιμελοῦ ὅπως οἱ λόγοι ἅμα τερπνοί τε καὶ παιδευτικοὶ ὦσιν. — Ὀφείλει ὁ ἄρχων οὐ μόνον αὐτὸς εἶναι ἀγαθὸς, ἀλλὰ καὶ πειρᾶσθαι ὅπως οἱ ἀρχόμενοι τοιοῦτοι γίγνωνται. — Πράξω ὅπως τῆς τῶν πολιτῶν πίστεως ἄξιος φανῶ. — Φυλάσσου, ἄνδρα ἰδὼν τιμῶν γέμοντα, ὅπως μὴ αὐτὸν εὐδαίμονα νομίσῃς καὶ τοῖς φαινομένοις πλανηθῇς. — Ὁ Ἀννίβας μάτην ἐπὶ πᾶν ἦλθεν ὅπως τῇ Καπύῃ βοηθήσῃ. — Ὦ Ἀθηναῖοι, ἐπιπολὺ ἔτι μελήσει τῷ Φιλίππῳ ὅπως τὴν ὑμετέραν ῥᾳστώνην τρέφῃ. — Τὴν ἀργίαν φεῦγε, καὶ σκόπει ὅπως τὴν ἀναγκαίαν τροφὴν πορίσῃ. — Πρόσεχε ὅπως τὸν νοῦν καρτερίας καὶ ἀνδρείας παραδείγμασι κρατύνῃς. — Μέλει μὲν ἡμῖν μὴ εἰς τὴν τῶν ἄλλων χώραν ἐμβάλωμεν· μελήσει δ' ὅπως τὴν ἡμετέραν ἀμυνώμεθα.

2. Ὁ Σωκράτης ἐσπούδασεν ὅπως τὰς κακὰς ἐπιθυμίας ἀνορθώσῃ ἃς παρὰ τῆς φύσεως εἰλήφει. — Φυλάττου, ὦ Κικέρων, μὴ (ou ὅπως μὴ) τὸ παράδειγμα ὃ σήμερον προβάλλεις τοὺς νόμους σιγᾶν ἐῶν, εἰς τὴν τῆς πόλεως πανώλειαν ἀποβῇ. — Μάλιστα πάντων ἐπιμελεῖται στρατηγὸς ὅπως πολὺν ἐπισιτισμὸν ἔχῃ. — Σπουδὴν ποιώμεθα ὅπως ἡμᾶς αὐτοὺς γνῶμεν. — Σπουδάζωμεν ὅπως τὴν τῶν στάσεων μνήμην ἀφανίσωμεν. — Ποιμένες, φυλάττεσθε μὴ (ou ὅπως μὴ) τὸ θάλπος ἀποξηράνῃ τὸ τῶν ὀϊῶν γάλα. — Ὥραν ἔχετε μή ποτε τὴν τῆς νεότητος κατάχρησιν μετάγνωτε. — Ἔπραξαν οἱ Ῥωμαῖοι ὅπως ἐκ διαδοχῆς μόνον τοῖς δήμοις προσβάλωσιν οὓς ὑφ' ἑαυτοῖς ποιεῖσθαι ἤθελον. — Φυλάσσεται ὁ ἀγαθὸς στρατηγὸς μὴ (ou ὅπως μὴ) ἡ ἀργία τὴν εὐταξίαν διαφθείρῃ καὶ τὴν ἀκολασίαν ἐπάγῃ. — Ἐπιμελούμεθα ἅπαντες ὅπως τοὺς ἀγροὺς βελτίους ποιῶμεν· τί οὖν οὐκ ἴσως ἐπιμελούμεθα ὅπως ἡ ψυχὴ βελτίων γίγνηται; — Ὅρα μὴ (ou ὅπως μὴ) ὁ σὸς λόγος τὴν τῆς ψυχῆς ἀταξίαν ἐκφαίνῃ. — Φυλάττου μὴ (ou ὅπως μὴ) πρὸς πρῶτον πταῖσμα ἀπείπῃς.

250e Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 557).

1. Φοβοῦμαι μὴ (ou ὅπως μὴ) τοῖς τῶν κακῶν δόλοις ἀπατᾶσθε. — Δέδοικα μὴ (ou ὅπως μὴ) ἡ βασίλισσα, τούτου σε τοῦ ναοῦ ἀφελκύσασα, τὰς ἀπειλὰς τέλος ἐξανύσῃ. — Φοβεῖται ἀεὶ ὁ φιλάργυρος μὴ (ou ὅπως μὴ) κλοπεύς τις εἰς τὴν οἰκίαν εἰσέλθῃ καὶ τὸν φίλον θησαυρὸν ὑφαρπάσῃ. — Δέδοικα μὴ (ou ὅπως μὴ) αἱ θυγατέρες, ἐσθῆτας ἐνδῦσαι πολυτελεῖς, αἰσχραὶ ἐμοὶ φαίνωνται. — Φόβος ἐστὶ μὴ (ou ὅπως μὴ) ἡ τῶν κακῶν συνουσία τὴν τῶν θεῶν ὀργὴν ἡμῖν ἐπαγάγῃ. — Οἱ τοῦ βασιλέως φίλοι φοβοῦνται ἀεὶ μὴ (ou ὅπως μὴ) ὑπ' εὐδαιμονεστέρου τινὸς ἀντιπάλου παρακρουσθῶσιν. — Ὦ θεὸς, ὅπως ἀκόλουθα τῷ σῷ ἁγίῳ νόμῳ ποιήσω δέδοικα. — Τοῦ Δημώνακτος ἐμβαίνειν μέλλοντος, φίλων τις

εἶπεν· « Οὔκουν δέδοικας μὴ (ou ὅπως μὴ) τῶν ἰχθύων τροφὴ γένῃ; » « Οὐκ ἔστιν εἰκός, ὁ φιλόσοφος ἀπεκρίνατο, ὑπὸ τῶν ἰχθύων ἐμὲ κατεσθίεσθαι, τὸν τοσούτους ἰχθῦς φαγόντα; » — Αὔγουστος, δεδιὼς μὴ (ou ὅπως μὴ) τὰ βιβλία ὑπὸ Ἰουλίου Καίσαρος ἠθροισμένα διασπαρῇ, βιβλιοθήκην κατέστησεν ἐγγὺς τοῦ Ἀπόλλωνος ναοῦ, ἐπὶ τοῦ Παλλαντίου λόφου. — Δέδοικα μὴ (ou ὅπως μὴ) τοῦ δέοντος μεῖζον περὶ σεαυτοῦ φρονῇς. — Ὁ Ἰσοκράτης, δεδοικὼς ὅπως ἀκούεσθαι ἐν τῇ τοῦ δήμου ἐκκλησίᾳ δυνήσεται, οὔποτε ἐδημηγόρησεν.

2. Φοβώμεθα μὴ (ou ὅπως μὴ) τῷ ἡττημένῳ ἡ ἀπόγνωσις ἀνδρείαν ἐμβάλῃ. — Τῶν παίδων οἱ μὲν μὴ οὐχ ἅλις πονῶσιν ἀεὶ φοβοῦνται· ἕτεροι δὲ μὴ (ou ὅπως μὴ) ἄγαν πονῶσι φοβεῖσθαι ἀεὶ δοκοῦσιν. — Δέδοικα μὴ (ou ὅπως μὴ) ἄγαν σεαυτῷ χαλεπὸς ᾖς, καὶ ἡ βίβλος σου οὔποτ' ἐκδοθῇ. — Ὦ Κάτων, δέδοικας μὲν μὴ (ou ὅπως μὴ) ἡ πλεονεξία καὶ πολυτέλεια τὸν τῆς πατρίδος ἔρωτα παρὰ τοῖς Ῥωμαίοις κατασβέσῃ· οὐ δέδοικας δὲ μὴ (ou ὅπως μὴ), ἀναιρεθείσης τῆς Καρχηδόνος, οἱ πολῖται ἅπαντος φόβου ἐλεύθεροι ταῖς κακίαις ὅλους ἑαυτοὺς ἐκδῶσι; — Δέδια ὅπως ἡ ὅλη ἡμέρα τῇ τῶν ἡμετέρων συμφορῶν διηγήσει ἅλις ᾖ. — Ὀῤῥωδεῖ Αἰνείας μὴ (ou ὅπως μὴ) ἡ φλὸξ ἐκ τῶν βασιλείων ἐξισταμένη τοῦ τῆς Διδοῦς θανάτου σημεῖον ᾖ. — Φοβεῖται Ἀνδρομάχη ὅπως Ἕκτωρ πανταχόθεν ὑπὸ τῶν Ἑλλήνων περιληφθεὶς τῷ τῶν πολεμίων πλήθει ἀντιστῆναι οἷός τε ᾖ. — Ὦ βασιλεῦ, οὐ δέδοικα μὲν μὴ (ou ὅπως μὴ) ἀποθάνω· δέδοικα δὲ μὴ (ou ὅπως μὴ) δουλεύω. — Οἱ ἀρχιερεῖς, δεδοικότες μὴ (ou ὅπως μὴ) οἱ περὶ τοὺς θεοὺς νόμοι ὕστερον ἐκ μνήμης ἐκπέσωσιν, ἱερὰς βιβλιοθήκας ἐν τῇ Ῥώμῃ κατέστησαν. — Δέδοιχ' ὅπως μήτε καλὸν τῇ πόλει μήτ' ἀγαθὸν ᾖ τὰ χρήματα μόνον διώκειν.

251ᵉ Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 558).

1. Οἱ Σπαρτιᾶται ἐδυσχέραινον ὅτι οἱ Ἀθηναῖοι μετὰ τὰ δεύτερα Μηδικὰ τὰ τείχη ἀνέστησαν. — Οἱ Ἕλληνες ἐλυποῦντο ὅτι ὁ Ἀχιλλεὺς ἐν τῇ κλισίᾳ μακρὰν τοῦ πολέμου ἔμενεν. — Χαίρει ἡ τύχη πάσαις ταῖς ἡμετέραις βουλαῖς ἐμποδὼν γιγνομένη. — Ἠγανάκτει ὁ Ἀλέξανδρος ὅτι ἡ Ὀλυμπιὰς τὴν Κλεοπάτραν ἀπόντος αὐτοῦ ἀπέκτεινεν. — Χαίρει ὁ Θεὸς τοὺς μὲν μικροὺς ὑψῶν, τοὺς δὲ μεγάλους ταπεινῶν. — Χαίρουσιν οἱ τοῦ Κικέρωνος ἐχθροὶ ὅτι τῇ ὑπερηφανίᾳ αὐτὸς ἑαυτὸν ἀπόλλυσι. — Ἡ σύγκλητος μόλις ἀνείχετο ὅτι ἐκ τοσούτου οἱ στρατιῶται τῆς ἀρχῆς κύριοι ἦσαν. — Ἀπαίδευτός τις ἔχαιρε τὰς βίβλους πωλήσας, λέγων ὡς νῦν πρῶτον οἱ βίβλοι αὐτὸν τρέφουσιν. — Ἐλυπεῖτο Φιλοποίμην ὅτι κίνδυνοι τῇ τῶν Ἑλλήνων ἐλευθερίᾳ ἐπικείμενοι οὔπω ταῖς αὐτῶν

στάσεσι τέλος ἐτίθεσαν. — Χαίρομεν πάντες ὅτι εὐημερεῖ ἡ πατρὶς ἡμῶν, καὶ ἔξω μὲν φοβερὰ, ἔσω δὲ ἥσυχός ἐστι. — Ἐταράσσετο Κορνηλία ὅτι Πομπήϊος σχεδὸν μόνος εἰς τὴν ἀκτὴν κατέβαινεν. — Οἱ βασιλεῖς ἐναντία ἀκούοντες ταῖς αὑτῶν γνώμαις δυσχεραίνουσιν. — Θαυμάζω ὅτι δούλων ἐπαναστάσεις παρὰ τοῖς παλαιοῖς συχνότεραι οὐκ ἐγένοντο.

2. Τῶν νέων οἱ φιλομαθεῖς τοῖς παιδευτοῖς συνόντες χαίρουσιν. — Οὐδαμῶς ἔχαιρεν ὁ Ἀλέξανδρος τὰς τοῦ Φιλίππου νίκας πυνθανόμενος· ἐδεδίει γὰρ μὴ ὁ πατὴρ οὐδὲν αὐτῷ πράσσειν ἀπολείψει. — Ὁ Περσεὺς, ἀγανακτήσας ὅτι ἡ Ἀνδρομέδη πελωρίῳ θηρὶ προσεβλήθη, λῦσαι αὐτὴν ἔγνω. — Ἅπαντες οἱ τῆς Ἑλλάδος βασιλεῖς, ἐξ ἴσου ἀγανακτήσαντες ὅτι ὁ Πάρις, τὰ τῆς ξενίας δίκαια παραβαίνων, τὴν Ἑλένην ἀφήρπασε, κατὰ Τροίας συνέστησαν. — Ὁ Ἰσοκράτης τὴν περὶ Χαιρώνειαν ἧτταν πυθόμενος περίλυπος ἐγένετο καὶ ὑπ' ἀνίας ἀπέθανεν. — Συγγραφεῖς τινες τοὺς λόγους ἀεὶ διορθοῦντες χαίρουσι. — Οἱ Ἕλληνες ἐπιπολὺ χαρήσονται πεισθέντες τῷ Θεμιστοκλεῖ. — Ὦ Ῥώμη, ταχὺ λυπήσῃ ὅτι οἱ πρέσβεις σου τὰ κοινὰ νόμιμα πρὸς τοὺς Γάλλους οὐκ ἐφύλαξαν. — Ἥχθετο ὁ Νέρων ὅτι τὸ πῦρ τὸ ὑπ' αὐτοῦ ἀναφθὲν τὴν Ῥώμην ὅλην οὐ κατέκαυσεν. — Ἄνθρωποι οὐκ ἐπιπολὺ χαίρουσι τὴν φύσιν βιασάμενοι. — Οὐκ ἀγαπῶ συγγραφεῖς ὅσοι μάταια καὶ περισσὰ ἱστοροῦντες χαίρουσιν· ἄχθομαι ὅτι οὐ διηγοῦνται μᾶλλον ἡμῖν τὰς αἰτίας αἳ τὰς πόλεις ηὔξησάν τε καὶ ἐταπείνωσαν.

252ᵉ Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 559).

1. Οὐκ εἰώθασιν οἱ Ῥωμαῖοι ἀναμένειν ἕως οἱ πολέμιοι προσβαλοῦσι (OU ἕως ἂν οἱ πολέμιοι προσβάλωσι). — Ὁ Πομπήϊος οὐ προσεδόκα ὅτι ὁ Καῖσαρ τὸν Ῥουβίκωνα περαιοῦσθαι καὶ πολέμου ἄρχειν τολμήσει. — Οἱ βασιλεῖς ταπεινῶς πρὸς τῇ θύρᾳ περιέμενον ἕως ἡ σύγκλητος προσίεσθαι ἐθελήσει (OU ἕως ἂν αὐτοὺς ἐθελήσῃ προσίεσθαι). — Ὁ Μιλτιάδης, ἐν Μαραθῶνι νικήσας, οὐκ εἶχε προσδοκᾶν ὅτι ἐν τῷ δεσμωτηρίῳ μέλλει ἀποθανεῖσθαι. — Οἱ πλεῖστοι τῶν ἀνθρώπων ὥστε ζῆν καλῶς περιμένουσιν ἕως ἂν μηδὲν ἔτι ποιεῖν οἷοί τε ὦσι. — Ἡ Ἀγριππίνη οὐ προσεδόκα ὅτι ἀπολεῖται κελεύσαντος τοῦ Νέρωνος ὃν ἀσεβοῦσα εἰς τὴν βασιλείαν κατέστησεν. — Ὁ Ἀβδαλώνυμος οὔποτε προσεδόκησεν ὅτι τῆς Σιδῶνος βασιλεύσοι, ἐν ᾗ πένης καὶ ἄσημος διῆγεν. — Ὦ Τρῶες, μή μου προκατάγνωτε, ἀλλὰ περιμένετε ἕως τὰς ἐμὰς συμφορὰς ὑμῖν διηγήσομαι (OU ἕως ἂν τὰς ἐμὰς συμφορὰς ὑμῖν διέλθω). — Ἅπαντες οἱ βουλευταὶ, τὰς φήμας τὰς διὰ τῆς πόλεως διαδοθείσας ἐκπλαγέντες, περιμένουσιν ἕως ὁ ὕπατος ἀγορεύσει (OU ἕως ἂν ὁ ὕπατος ἀγορεύσῃ). —

Τοῖς φίλοις δεομένοις ἐπαρκέσαι ἐπείγεσθε καὶ μὴ περιμένετε ἕως ἂν αἰτήσωσιν (ou ἕως αἰτήσουσι).

2. Ὀρνίθων τινῶν πρωῒ τὰς ἡμετέρας χώρας διερχομένων, προσδοκῶμεν ὅτι ψυχρὸς ὁ χειμὼν ἔσται. — Ἡ ἀνθρήνη ὑποκαθεζομένη περιμένει ἕως αἱ μέλισσαι τῆς κυψέλης ἔξεισι (ou ἕως ἂν αἱ μέλισσαι τῆς κυψέλης ἐξίωσι) καὶ κατὰ τοὺς ἀγροὺς διασπαρήσονται (ou καὶ κατὰ τοὺς ἀγροὺς διασπαρῶσι). — Τῶν κρεωφάγων ζώων τὰ πλεῖστα ἡμέρας καὶ νύκτας ὅλας περιμένει ἕως ἡ ἄγρα πάρεισι (ou ἕως ἂν ἡ ἄγρα παρίῃ). — Οἱ λύκοι καθ' ἡμέραν μὲν σπανίως προσπίπτουσι ταῖς ποίμναις· περιμένουσι δ' ἕως ἂν ἡ νὺξ ἔλθῃ (ou ἕως ἡ νὺξ ἐλεύσεται). — Ὁ κόραξ, τὸν ἀετὸν μιμεῖσθαι βουλόμενος, οὐ προσεδόκα ὅτι οὕτως ἀθλίως ἀπολεῖται. — Οὐ προσεδόκα ὁ Νομᾶς Πομπίλιος ὅτι τὴν τοῦ Ῥωμύλου βασιλείαν ἐκδέξεται. — Περιμένουσιν οἱ Ἕλληνες ἕως ἂν σημεῖον δῶσιν (ou ἕως σημεῖον δώσουσιν) οἱ ἄνδρες οἱ ἐν τῷ ξυλίνῳ ἵππῳ ἐγκεκλεισμένοι. — Συγγραφέα προσδοκᾶν χρὴ ὅτι καὶ ὑπὸ τῶν ἀπαιδεύτων ἐλεγχθήσεται. — Μετὰ τὴν περὶ Κάνναν μάχην ὁ Ἀννίβας πλείους ἐνιαυτοὺς μάτην περιέμεινεν ἕως ἂν πέμψῃ (ou ἕως πέμψει) ἡ Καρχηδὼν δυνάμεως προσθήκην ἧς ἐδεῖτο.

252ᵉ Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 560).

1. Οἱ ἄνθρωποι ἐκ πολλοῦ τὴν τῆς κόμης πολιότητα χρωννύμενοι ὑποκρύπτειν πειρῶνται. — Ὁ Κάτων ἐκώλυσε τοὺς Πομπηΐου φίλους τὸν Κικέρωνα ἀποκτεῖναι τὴν τοῦ στρατοῦ ἀρχὴν μετὰ τὰ ἐν Φαρσάλῳ παραιτούμενον. — Ὁ ὕπατος μονομαχίᾳ μὴ μάχεσθαι ἀπηγορεύκει. — Φοβεῖσθε τὰ παρόντα ἐπὶ τοῖς ἀδήλοις ἀφιέναι. — Οὔτε φόβος οὔτ' ἐλπὶς ἐμὲ κωλύσει τἀληθὲς εἰπεῖν. — Ὁ Νομᾶς Πομπίλιος τὸν πολεμικὸν τῶν Ῥωμαίων νοῦν πρὸς τὴν εἰρήνην τρέπειν ἐπειράσατο. — Οἱ εὐπατρίδαι διὰ τὸ ἀνελεύθερον τὰς τῶν αὐτοκρατόρων ὑποψίας ἀποτρέπειν ἐζήτουν. — Ὁ θάνατος τὸν Καίσαρα ἐκώλυσε τὴν ἐπὶ τοὺς Πάρθους στρατείαν ποιεῖσθαι ἣν διενοήθη. — Οἱ Ἀθηναῖοι, θάνατον ζημίαν θέντες, ἀπειρήκεισαν στρατείαν ἐπὶ τὰ Μέγαρα αὖθις εἰσηγεῖσθαι. — Τίς κωλύειν τὸν Θεὸν δυνήσεται τοὺς ἀσεβεῖς καὶ ἀεικεῖς καὶ πάσαις ταῖς κακίαις ἑαυτοὺς ἐκδεδωκότας τιμωρεῖσθαι; — Οἱ τῶν Μακεδόνων γόοι καὶ ἡ ἀθυμία τὸν Ἀλέξανδρον ἐκώλυσαν πορρωτέρω τῆς Ἰνδίας προβαίνειν. — Οἱ Ῥωμαῖοι παρὰ τὸν δεύτερον ἐπὶ τοὺς Καρχηδονίους πόλεμον ταῖς γυναιξὶν ἀπηγορεύκεισαν χρυσᾶ καὶ ἀργυρᾶ κοσμήματα φορεῖν. — Πειρᾶσθαι ἐδόκουν οἱ Ἀθηναῖοι τῇ ὑπερηφανίᾳ καὶ τῷ τοῦ κοινοῦ θησαυροῦ διασκεδασμῷ τοὺς συμμάχους λυπεῖν.

2. Οἱ Ῥωμαῖοι στρατιωτικοὺς πάντας ποιεῖν τοὺς λαοὺς ἐσπούδαζον

ὅσους ἐνίκησαν, συνεργοὺς αὐτοὺς μόνον εἰς νίκας τὰς γενησομένας νομίζοντες εἶναι. — Οἱ τύραννοι μόνοι εἰς μέσον ἄνευ φυλάκων καὶ δορυφόρων προελθεῖν φοβοῦνται. — Ὁ Σωκράτης ὅλον τὸν βίον τῷ ὀλεθρίῳ τῶν σοφιστῶν ἀξιώματι ἐναντιοῦσθαι ἐπειράθη. — Ἡ ἱστορία τοὺς παρεληλυθότας χρόνους πειρᾶται λήθης ἐξαιρεῖσθαι. — Οἱ Ῥωμαῖοι τοῖς ἡττημένοις βασιλεῦσιν ἀπηγόρευσαν στρατιώτας Ἑλληνικοὺς μὴ μισθοῦσθαι. — Ὁ Ἄννων καὶ οἱ περὶ αὐτὸν τοὺς Καρχηδονίους ἐκώλυσαν τῷ Ἀννίβᾳ δραστικῶς ἐπικουρεῖν. — Ἀπείρηται τῷ ἀνθρώπῳ τῶν τοῦ μέλλοντος ἀποκρύφων ἐφικνεῖσθαι. — Παραινεῖ ἡμῖν ἡ εὐλάβεια τοῖς ἐχθροῖς χρῆσθαι ὡς φίλοις ποτὲ ἐσομένοις. — Ἀπηγόρευτο μὲν τοῖς συνηγόροις ἐν τῷ Ἀρείῳ πάγῳ δικολογοῦσι τὰς δίκας μετὰ δεινότητος καὶ πάθους ἐξετάζειν· προσετέτακτο δὲ ἀφελῆ τὴν ἀλήθειαν τοῖς δικασταῖς παριστάναι — Κοϊντιλιανὸς ἐπισκήπτει τοῖς νέοις ἀσκεῖν ἐπιπολὺ τὰ ὀνόματα καὶ τὰ ῥήματα κλίνειν. — Ἐπέσκηψεν ὁ Καῖσαρ τοῖς στρατιώταις κατὰ προσώπου τοὺς νέους Ῥωμαίους παῖσαι ἐξ ὧν μάλιστα ἡ Πομπηΐου ἵππος συνειστήκει.

254ᵉ Exercice.

Suite de l'emploi d'une conjonction *Grammaire*, § 561).

1. Ὁρᾶτε ὅπως αἱ πράξεις τοῖς λόγοις σύμφωνοι ἔσονται. — Ἡ ἀλώπηξ τὸν λέοντα ἐποτρύνει ὅπως λύκου νεοσφάκτου δορὰν ἐνδύσεται. — Ὀδυσσεύς, δεδιὼς ὅπως μὴ ὑπὸ τῶν Πηνελόπης μνηστήρων ἀναγνωρισθήσεται, πτωχοῦ σχῆμα περιβάλλεται. — Δέδοικεν ὁ Φίλιππος μὴ οἱ Ἀθηναῖοι ταῖς τοῦ Δημοσθένους συμβουλίαις τέλος πείσονται. — Ὁ Βροῦτος πειρᾶται ὅπως πλαστῇ μανίᾳ τὸν Ταρκουΐνιον ἀπιστοῦντα ἀπατήσει. — Ἄνθρωποί τινες πάσαις μηχαναῖς διατείνονται ὅπως δόξαν κτήσονται. — Ὁρᾶτε ὅπως μὴ δι' ἀκαίρους παιδιὰς τοὺς μάλιστα ὑμῖν φίλους λυπήσετε. — Σπουδάζει Κλέων ὅπως εἰς γέλωτα τρέψει τοὺς ἀγαθοὺς καὶ σώφρονας ἄνδρας οἷς ὁ δῆμος πείθεσθαι εἴωθεν. — Ὁ τέττιξ μάτην πειρᾶται ὅπως τὸν μύρμηκα πρὸς ἔλεον κινήσει. — Οἱ μεγάλοι συγγραφεῖς δραστικώτερον διαπονοῦνται τῶν μεγάλων ἡγεμόνων ὅπως τὴν πόλιν πασῶν τῶν ἄλλων εὐδοκιμωτέραν ποιήσουσι. — Ὁ ἔμπειρος ἡγεμὼν σκοπεῖ ὅπως τῇ τύχῃ μηδὲν παραλείψει. — Ὁ Ἀλκιβιάδης πάσαις ταῖς μηχαναῖς πειρᾶται ὅπως τοὺς Ἀθηναίους ἐφ' ἑαυτὸν ἐπιστρέψει. — Ἡ ἱστορία φυλάττεσθαι ὀφείλει ὅπως μηδὲν ἀμφίβολον λέξει. — Ὁ Λυκοῦργος, δεδοικὼς μή πως ἡ φιλοχρηματία τὴν τῶν Λακεδαιμονίων ἀνδρείαν ἐκλύσει, χρυσοῦ ἢ ἀργυροῦ νομίσματος χρείαν ἀπαγορεύει τοῖς πολίταις. — Οἱ Ῥωμαῖοι τῇ καρτερίᾳ διαπράξονται ὅπως τοὺς Καρχηδονίους καὶ ἐπὶ θαλάσσης νικήσουσιν. — Ὁ σοφὸς διαπράττεται ὅπως πασῶν τῶν ἐπιθυμιῶν κρατήσει.

2. Ἐπιμελήσεται ὁ Θεὸς ὅπως οἱ ἑαυτοῦ δοῦλοι μηδενὸς δεήσονται. — Ὁ Ἡλιογάβαλος, δεδοικὼς μὴ τῆς τιμῆς ἀναξίως ἀπολεῖται, σηρικοὺς ποιεῖται βρόχους, καὶ ἐγχειριδίων πολυτελῶς τορευτοὺς ὀβελισκοὺς, καὶ ἀδαμαντίνας φιάλας ὥστε φάρμακον πιεῖν. — Οἱ κατὰ τὴν Ἀνατολὴν βασιλεῖς ποιοῦσιν ὅπως καὶ ἐν τοῖς στρατοπέδοις πασῶν τῶν ἡδονῶν, ὧν ἐν τοῖς βασιλείοις, ἀπολαύσονται. — Ὅρα μὲν ὅπως μὴ ὀγκώδης ἔσῃ· φυλάττου δ' ὅμως ὅπως μὴ ταπεινὸς ἔσῃ καὶ χυδαῖος. — Ὦ Τηλέμαχε, φοβοῦ μὴ ὑπὸ τῶν γλυκέων τῆς Καλυψοῦς λόγων κηληθήσῃ. — Ὁ Ἀλκιβιάδης, ὅπως ἀπολογήσασθαι δυνήσεται δεδοικὼς, ἑκὼν φεύγει. — Παρὰ τοῖς Ῥωμαίοις ἀπείρηται τοῖς ῥήτορσιν ὅπως μηδὲν παρὰ τῶν φευγόντων ἀποδέξονται. — Ὁ Ἄρατος διαπράττεται ὅπως πασῶν τῶν τῆς Ἀχαΐας πόλεων συμμαχίαν μίαν ποιήσεται. — Ἡ πόλις δεδοικυῖα ὅπως ἐπὶ καιροῦ ἐπίκουροι παρέσονται, ὑπόσπονδος προσχωρεῖ. — Ἴσως ποτ' οἱ πεπαιδευμένοι διαπράξονται ὅπως τὰ τῶν πυραμίδων ἱερόγλυφα παντελῶς ἀναγνώσονται.

255e Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 562).

1. Οἱ τῆς Αἰγύπτου βασιλεῖς διέπραξαν ὅπως ἀπώρυχα ἐκ τοῦ Νείλου εἰς τὸν Ἀράβιον κόλπον τάμοιεν. — Ὁ Ῥωμύλος ἀπηγορεύκει μή τις τὴν τάφρον περὶ τὴν ἐσομένην πόλιν διαγεγραμμένην ὑπερβαίη. — Οἱ ῥήτορες ἐπεμελοῦντο ὅπως ταῖς κολακείαις τὴν τῶν ἀκουόντων εὔνοιαν θηρεύσαιεν. — Οἱ Ῥωμαῖοι ἐφυλάττοντο ἵνα μηδενὸς μεγάλου ἔργου ταῖς ἀπράκτοις ἡμέραις ἐπιλάβοιντο. — Οἱ τῶν Περσῶν βασιλεῖς τοὺς Ἕλληνας τοῖς ὅπλοις νικᾶν οὐχ οἷοί τε ὄντες, διέπραττον ὅπως αὐτοὺς ταῖς συχναῖς στάσεσι παραλύοιεν, ἃς κινοῦντες οὐκ ἐπαύοντο. — Ὅτε ὁ Φίλιππος ἀπέθανε, διεπεπράχει ὅπως τῶν Ἑλλήνων αὐτοστράτηγος ἐπὶ τοὺς Πέρσας ἀναγορευθείη. — Ὁ Ἀλέξανδρος ῥᾳδίως διεπράξατο ὅπως τὰς στάσεις τῶν βαρβάρων ἐθνῶν ἀφεστηκότων καταλύσειε. — Ἐν ταῖς Ἀθήναις τοὺς γένει ἢ πλούτῳ ἢ ἀρεταῖς ἐπιφανεῖς πολίτας ἀεὶ δεδοικέναι ἐχρῆν μὴ ἐξοστρακισθείησαν. — Οἱ παλαιοὶ, τοῖς ἄστροις ἡγεμόσι χρώμενοι, διεπράξαντο ὅπως ναυτιλίας ἐπιεικῶς μακρὰς καὶ ἐπικινδύνους τελέσαιεν. — Τοῖς τῶν Ῥωμαίων στρατηγοῖς ἀπείρητο μὴ πρὸ τοῦ θριαμβοῦ εἰς Ῥώμην εἰσελάσαιεν. — Οἱ μονομάχοι ἔπραττον ὅπως εὐπρεπῶς πέσοιέν τε καὶ ἀποθάνοιεν. — Οἱ πλεῖστοι τῶν βαρβάρων τῶν περὶ τὴν τετάρτην ἑκατονταετίαν εἰς τὴν Ῥωμαϊκὴν ἀρχὴν ἐμβαλόντων διαπρᾶξαι οὐκ ἐδυνήθησαν ὅπως μονίμους βασιλείας καταστήσαιεν. — Ὁ Φλαβιανὸς, λιπαρῶν καὶ λέγων διεπέπρακτο ὅπως τὴν τοῦ Θεοδοσίου πρὸς τοὺς Ἀντιοχεῖς ὀργὴν καταπραΰνοι.

2. Ὁ Πυθαγόρας τοῖς μαθηταῖς προσέτασσεν ὅπως τρία ἔτη σιωπὴν ἔχοιεν. — Τῶν αὐτοκρατόρων οἱ φαυλότατοι ἀγῶσί τε καὶ σιτοδοσίαις ἐσπούδαζον ὅπως τὸν ὄχλον κτήσαιντο. — Ὁ Κόμμοδος σπουδάζειν ἐδόκει ὅπως τῶν ἑαυτοῦ προγόνων ἀνάξιος γένοιτο. — Μάτην ὁ Νέστωρ τῷ Ἀχιλλεῖ παρῃνέκει ὅπως πρὸς τὸν Ἀγαμέμνονα διαλλαγείη. — Οἱ ἱερεῖς ἐπεμελοῦντο ὅπως τοὺς αἰνιγματώδεις τῶν θεῶν χρησμοὺς διαφόρως ὑπολαβεῖν οἷόν τε εἴη. — Ὁ Ἀννίβας πάσαις ταῖς μηχαναῖς ἐπειρᾶτο ὅπως τὴν τοῦ Φαβίου καρτερίαν νικήσειεν. — Οἱ Ῥωμαῖοι, δεδοικότες ὅπως ἀνδράσιν ἄρχειν εἰθισμένοις πάλιν ἰδιωτεύειν ῥᾴδιον ἔσται, ἀπηγορεύκεισαν μή τις πολίτης ὕπατος δεύτερον πρό τινος τακτοῦ χρόνου ἀναῤῥηθείη. — Οἱ τιμηταὶ ἐπεμελοῦντο ὅπως οἱ ἱππεῖς σπουδαίως τοὺς ἵππους τρέφοιεν. — Οἱ τραγῳδοδιδάσκαλοι ἐσπούδαζον ὅπως παρὰ τοῖς Ἀθηναίοις τὸν πατρίδος ἔρωτα τῷ τὰς τῶν προγόνων πράξεις ὑμνεῖν διαφυλάττοιεν. — Ὁ Καῖσαρ τὰ πλεῖστα τῇ σπουδῇ διεπράξατο ὅπως τοῖς πολεμίοις αἰφνιδίως ἐπιπέσοι. — Ὁ Νέρων τὸ πρῶτον ἐπεφόβητο μὴ ὁ τῆς Ἀγριππίνης φόνος τὴν τῆς συγκλήτου ἀγανάκτησιν ἐφ' ἑαυτὸν κινήσειεν. — Οἱ δήμαρχοι τῷ παρ' αὐτῶν στασιαστικῷ ἐπεπράχεισαν ὅπως τοῖς φιλησύχοις τὸν τῆς ἐλευθερίας κόρον ἐμβάλοιεν.

256ᵉ Exercice.

Suite de l'emploi d'une conjonction (*Grammaire*, § 563).

1. Ἆρ' ἀμφισβητεῖτε πότερον Λεωνίδας καὶ οἱ σὺν αὐτῷ ἱκανὴν δίκην ἔσχον, τοσούτων Περσῶν ἐν ταῖς Πλαταιαῖς πεσόντων; — Ἀμφισβητῶ πότερον ἄλλο ἐστὶν ἐπιτήδευμα ἐλευθέρου ἀνδρὸς ἀξιώτερον ἢ γεωργία. — Πάντες οἱ ἀγαθοὶ πολῖται ἠμφισβήτουν πότερον, θανόντος Κράσσου, πολὺν χρόνον ἡ ὁμόνοια Πομπηΐῳ καὶ Καίσαρι διαμενεῖ. — Ὁ Ἀννίβας, ὑπὸ τῆς ἐν Καρχηδόνι βουλῆς ἀνακαλούμενος, χρόνον τινὰ ἠμφισβήτησε πότερον τὴν Ἰταλίαν λείψει. — Ἀμφισβητῶ πότερον τῷ ὄντι οἱ Αἰγύπτιοι τοῖς μάλιστα ἀκαθάρτοις τῶν ζώων ἐλάτρευσαν. — Διαποροῦμαι πότερον ἡ τοῦ καλῶς νοεῖν τε καὶ λέγειν τέχνη πλειόνων καθ' ἡμᾶς ἀνδρῶν ἐστιν ἢ τὸ πάλαι. — Οἱ συνετώτατοι τῶν Ῥωμαίων αὐτοκράτορες ἠμφισβήτουν πότερον τὰ τάγματα οἷά τε ἀεὶ ἔσται τὰς συνεχεῖς τοσούτων βαρβάρων λαῶν εἰσβολὰς ἐπισχεῖν. — Ἀπορῶ πότερον τῶν παλαιῶν οἱ ἐπιστήμονες τοῖς μὲν χρησμοῖς ἐπίστευον, τοῖς δὲ τῶν μάντεων καὶ οἰωνοσκόπων δόλοις ἠπατῶντο. — Ἀμφισβητήσιμόν ἐστι πότερον οἱ θεοὶ τὴν ἀμβροσίαν προσφέρονται καὶ τῷ νέκταρι μεθύσκονται. — Ἀμφισβητῶ πότερον ἔθνος τι ἄλλο μύθους ἐντεχνοτέρους ἅμα καὶ χαριεστέρους τῶν τῆς Ἑλλάδος ἐξεῦρεν. — Ἅπαντες οἱ Ἀθηναῖοι στρατηγοί, πλὴν τοῦ

Μιλτιάδου, ἠμφισβήτουν πότερον εὐλόγως ἔχει τοῖς πολεμίοις οὕτω πολλοῖς σὺν δυνάμεσιν οὕτω μικραῖς προσβαλεῖν.

2. Ἡ ἡμέρᾳ ὁ Καῖσαρ ἐφονεύθη, χρόνον τινὰ ἠμφισβήτησε πότερον εἰς τὴν σύγκλητον εἶσι. — Ἐνδοιάζω πότερόν ἐστιν ἐν ταῖς τραγῳδίαις πρόσωπόν τι ἐλεεινότερον τῆς Ἀντιγόνης ἐκείνης ἢ τὸν γεραιὸν καὶ τυφλὸν πατέρα φυλάσσουσα τὴν νεότητα διάγει, καὶ ζῶσα καταθάπτεται ὡς τὸν ἀδελφὸν Πολυνείκη κτερίσασα. — Ἀμφισβητῶ πότερον δυνατόν ποτε ἔσται τὰς τῶν παλαιῶν λαῶν ἀρχὰς σαφῶς διακρῖναι. — Ὁ Ἀλκιβιάδης εἰς διδασκαλεῖον εἰσελθὼν, τὸν διδάσκαλον ἠρώτησε πότερον τὴν Ὁμήρου Ἰλιάδα ἔχει. — Πρὶν τὸν γέροντα Ἄππιον ἀφῖχθαι, ἠμφισβήτει ἡ σύγκλητος πότερον τὰς τοῦ Πύῤῥου προκλήσεις ἀποδοκιμάσει. — Κρῖνον, ὦ Κοριολανὲ, πότερον υἱὸν ἔτι ἔχω. — Ἀμφίβολόν ἐστι πότερον λόγοι εἰσί τινες τῶν δακρύων πιθανώτεροι. — Οἱ σύμμαχοι, μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, ἐβουλεύοντο πότερον τὰς Ἀθήνας παντελῶς ἀναιρήσουσιν, ἃς πάντων τῶν κακῶν αἰτίας ἐνόμιζον. — Οὐκ οἶδα πότερον ζῶόν τι τοῦ ὄρνιθος ἐλευθερώτερόν τε ἅμα καὶ αὐτονομώτερον ὑπάρχει.

257ᵉ Exercice.

Suite de l'emploi d'une conjonction.

1. Οἱ Μακεδόνες, τὴν τῆς Ἑλλάδος καὶ τῶν βαρβάρων ἐπανάστασιν φοβηθέντες, ἠμφισβήτουν πότερον χρὴ τὸν Ἀλέξανδρον βίᾳ χρῆσθαι ἢ πραότητι τοὺς ἀποστάντας ἀνακαλέσασθαι. — Ὦ Ἀχιλλεῦ, αἵρεσίς ἐστί σοι πότερον ἐν Λαρίσσῃ ἥσυχος καὶ ἄσημος γηράσκειν θέλεις, ἢ νέος μὲν, εὐκλεὴς δὲ, ὑπὸ τοῖς Ἰλίου τείχεσι πεσεῖν. — Τὸν Ἑρμῆν ὁ Ἀπόλλων ἐρωτᾷ πότερον βούλεται, ἢ οὔ, τὰς βοῦς ἀποδοῦναι ἃς ἔκλεψεν. — Ἐνίοτε ἀμφισβητῶ, τὰ καθ' ἡμέραν ἐνταῦθα πραττόμενα ὁρῶν, πότερον καθεύδω ἢ ἐγρήγορα. — Πολὺν χρόνον Αὔγουστος ἠπόρησε πότερον τὸν Κίνναν κολάσει ἢ αὐτῷ συγγνώσεται. — Τοῖς οἰωνοσκόποις τῷ ὄντι διακρίνειν προσήκει πότερον μαχούμεθα ἢ οὔ; — Βούλει σὺ εἰδέναι πότερον ἐπαίνου ἢ ψόγου ἄξιος εἶ; — Οἱ δήμαρχοι ἐν τῇ ἐκκλησίᾳ Σκιπίωνα τὸν Αἰμιλιανὸν ἠρώτησαν πότερον ἐπαινεῖ ἢ ἀποδοκιμάζει τὸν τοῦ Τιβερίου Γράκχου θάνατον. — Ἐλογισάμην πότερον ἐμὲ χρῆν λέγειν ἢ οὔ. — Τοῦ Λυκούργου εἰς τὸν Δελφικὸν ναὸν εἰσιόντος, ὁ χρησμὸς πρὸς αὐτὸν ἔφη· « Ἀμφισβητῶ πότερόν σε θεὸν ἢ ἄνθρωπον προσαγορεύσω. » — Σεαυτὸν ἐξέταζε πότερον πλούσιος ἢ εὐδαίμων εἶναι βούλει.

2. Ὁ Σωκράτης, νέον τινὰ κατανοήσας παρ' ἑαυτῷ ἐν δείπνῳ τινὶ κατακείμενον καὶ ἄρτον οὐκ ἐσθίοντα, μεγάλῃ τῇ φωνῇ ἐρώτησε πότερον ἄνθρωπος ἄρτον μὴ ἐσθίων τῶν κρεωφάγων ἕν ἐστιν ἢ οὔ. — Οὐ μέμνημαι

πότερον ἀναγιγνώσκων ἢ ἀκούων ἔμαθον τὴν πρᾶξιν ἣν ὑμῖν ἱστορεῖν μέλλω. — Οἱ γέροντες Τρῶες πολὺν χρόνον συνεβουλεύσαντο πότερον τὰς τῶν Ἑλλήνων προκλήσεις δέξονται ἢ ἀποδοκιμάσουσι. — Φιλόσοφοί τινες ἠμφισβήτησαν πότερον τύχη τις ἢ θεία πρόνοια τὸν κόσμον διατάσσει. — Οἱ Λακεδαιμόνιοι οὔποτε φροντίζουσι πότερον τῶν πολεμίων πλείους εἰσὶν ἢ οὔ, ἀλλὰ πότερον οἱ πολέμιοι πόῤῥω ἢ ἐγγύς εἰσι, πότερον φεύγουσιν ἢ προχωροῦσιν. — Ὁ ἀγαθὸς ἀνὴρ οὔποτε βουλεύεται πότερόν τὰ ἑαυτοῦ πράττων ἀπολεῖται ἢ καταισχυνόμενος τὸν βίον σώσει. — Συγγραφεῖς τινες ἠμφισβήτησαν πότερον ὁ Ἀλέξανδρος μέγας γέγονεν ἢ μωρός. — Σκέψασθαί μοι πρόκειται πότερον οἱ λαοὶ οἱ τὴν Σκανδίας χεῤῥόνησον ἐνοικοῦντες ἐν ταῖς χώραις ἐκείναις ἐγένοντο ἢ ἄλλοθεν ἐκεῖσε ἦλθον. — Οἱ δικασταὶ οἱ ἐν Ἅδου συνεδρεύοντες τῶν ἀφικνουμένων ἕκαστον τὸ πρῶτον ἐρωτῶσι πότερον πλούσιος μὲν ἢ πένης, εὐδαίμων δὲ ἢ κακοδαίμων ἐπὶ τῆς γῆς ἐγένετο. — Οἱ γυμνασίαρχοι εὐθὺς κατανοοῦσι πότερόν τις πάλῃ ἢ δρόμῳ, ἅλματι ἢ πυγμῇ ἐπιτήδειός ἐστιν.

258e Exercice.

De la conjonction εἰ (*Grammaire*, § 564).

1. Εἰ τοὺς τεχνίτας θαυμάζομεν εἰκόνας ζωῆς καὶ κινήσεως ἐπιδεεῖς ποιοῦντας, ἔτι μᾶλλον θαυμάζωμεν τὸν ἔμψυχα καὶ νοητικὰ ζῶα ποιοῦντα. — Εἰ ὁ ἀγνώμων ἐνίοτε τοῦ εὐεργετήσαντος ἐπιλανθάνεται, ὁ Θεὸς οὔποτε τοῦ εὖ ποιοῦντος ἀμνηστεῖ. — Εἰ κερδαίνειν τι ἀπὸ τῶν σῶν ὁδοιποριῶν βούλει, μὴ ἱκανόν σοι ἔστω τὰς μὲν χώρας διελθεῖν, τὴν δὲ τῶν πόλεων μεγαλοπρέπειαν θαυμάσαι· ἀλλὰ μᾶλλον τοὺς τῶν ἐνοικούντων νόμους καὶ τὰ ἤθη ἐξέταζε. — Ὁ Σωκράτης τῷ Κρίτωνι εἶπεν· « Εἰ οἴεσθε τὸν μετ' ὀλίγον πρὸ ποδῶν ὑμῖν κεισόμενον αὐτὸν εἶναι τὸν Σωκράτην, δηλαδὴ ἐμὲ οὔποτ' ἔγνωτε. » — Εἰ μέγα φρονεῖς ἐπὶ τῷ γένει καὶ τῷ πλούτῳ καὶ τῷ κάλλει, ἧσσον φρόνιμος εἶ ἢ καλὸς ἵππος. — Εἰ βούλει εὐδαιμόνως ζῆν, πειρῶ ὅπως σεαυτῷ ἀρκέσεις. — Εἰ τὸν Ἡρόδοτον ἀνέγνως, εἰκότως ὁμολογήσεις αὐτὸν δικαίως τῷ Ὁμήρῳ πολλάκις συγκριθῆναι. — Εἰ τὴν ἀλήθειαν γνῶναι βούλει, οὐ τοὺς φίλους, ἀλλὰ τοὺς ἐχθροὺς ἐρώτησον. — Εἰ τοὺς ἀληθινοὺς φίλους ἀδελφοὺς εἶναι νομίζεις, καὶ τὰς τῶν φίλων συμφορὰς σὰς εἶναι νόμιζε. — Εἰ τὸν θεὸν φοβῇ, φοβοῦ μὴ τῇ ὑπερηφανίᾳ καὶ σκληρότητι αὐτὸν ἐφυβρίσῃς. — Εἰ ἡ ἀγαθοῦ ἀνδρὸς ὁμιλία βελτίους ἡμᾶς ποιεῖ, πόσῳ πλέον κερδανοῦμεν τῷ Θεῷ νύκτα καὶ ἡμέραν συνδιαλεγόμενοι; — Εἰ οἱ ἄνθρωποι τῷ ἁμαρτεῖν ὑποκείμενοί εἰσιν, καλῶς ποιεῖτε, μηδαμῶς φροντίζοντες πότερον ἐπαινοῦσιν ὑμᾶς ἢ ψέγουσιν.

2. Εἰ οἱ Θηβαῖοι ἄγροικοι καὶ βραδύνοι φαίνονται, ἡ αἰτία ἐστὶν ὅτι

τὰς τοῦ σώματος μᾶλλον ἢ τῆς ψυχῆς ἀσκήσεις ἐπιτηδεύουσιν. — Εἰ λίθινοι ἢ χαλκοῖ ἀνδριάντες τὸ τῶν μεγάλων ἀνδρῶν πρόσωπον διασώζουσιν, ἡ ἱστορία τὰς αὐτῶν πράξεις καὶ ἀρετὰς ἀειμνήστους ποιεῖ. — Εἰ οἱ Ἀχαιοὶ ἄριστοι τῆς Ἑλλάδος σφενδονῆταί εἰσι, ἡ αἰτία ἐστὶν ὅτι οἱ παῖδες ἐκ νηπίων λίθους σφενδόναις μακρὰν ἀφιέναι ἀσκοῦνται. — Εἰ ὁ ἄνθρωπος ἀθάνατός ἐστι, τί οὖν τὰς ἐπιθυμίας ἁπάσας ἐπὶ θνητὰ καὶ ὀλιγοχρόνια τρέπει; — Εἰ ἡ βία οὐδέν ποτε μόνιμον κατέστησε, πῶς τὰ πολλὰ οἵ τε λαοὶ καὶ οἱ ἰδιῶται βίᾳ μᾶλλον ἢ πειθοῖ χρῆσθαι βούλονται; — Εἰ ὁ ἄνθρωπος λογικὸν ζῶόν ἐστιν, αἰσχρὸν δὴ ὅτι πολλάκις διὰ τὰς ἐπιθυμίας τῶν ἀλόγων ἐλαττοῦται. — Ὁ Διογένης οὕτω συνελογίζετο· « Εἰ βωμοί εἰσι, θεοὶ καὶ εἰσί· καίτοι εἰσὶ βωμοὶ, θεοὶ ἄρα εἰσίν. » — Εἰ λόγιμοι βούλεσθε γίγνεσθαι, περὶ τοὺς ποιητὰς καὶ ῥήτορας καὶ φιλοσόφους σπουδάζετε.

259ᵉ Exercice.

Suite de la conjonction εἰ (*Grammaire*, § 565).

1. Ἐὰν πλούσιος γένῃ, φίλους ἕξεις. — Ἂν δίκαιοι νομίζεσθαι βούλησθε, πρῶτον τοῖς νόμοις πείθεσθε. — Ἐὰν οἱ μαθηταὶ τῶν ὑπερβαλλόντων ἐφικέσθαι πειρῶνται, ταχέως προκόπτουσιν. — Ἂν δραστικοὶ ἦτε καὶ φίλεργοι, ὁ χρόνος ὑμῖν βραχίων ἀεὶ φανήσεται. — Ἐὰν τοὺς παῖδάς σου εὖ πείθεσθαι διδάσκῃς, ἄρχειν ποτὲ ἐπιστήσονται. — Ἐὰν μὲν τῶν σῶν πραγμάτων ἀμελήσῃς, οὐχ ἕξεις διατροφάς· ἐὰν δὲ τὰ τῶν παίδων ἁμαρτήματα ἀζήμια ἐάσῃς, κακοὶ γενήσονται. — Ἂν μὴ βούλησθε τήν τε φύσιν καὶ τὰ στοιχεῖα βιάσασθαι, ἀήττητοι ἔσεσθε. — Ἐὰν ἐν ταύτῃ τῇ στρατείᾳ ἀποθάνωμεν, περιέσται ἡμῖν λυπεῖσθαι τῇ τῆς πατρίδος ἐλευθερίᾳ περιγενομένοις. — Οὐδέν ἐστιν ἡ παιδεία, ἂν φρόνησις ἐπιλείπῃ. — Ἐάν μοι ἐνταῦθα οἱ ἄνθρωποι τὴν ὀφειλομένην δίκην ἀπαρνήσωνται, ἀλλ' ὕστερον παρὰ τοῦ Θεοῦ ἐπιτεύξομαι. — Ἂν πάνυ πεπεισμένοι ἦτε μηδὲν τοὺς θεοὺς λανθάνειν, οὐδὲν κακὸν μήτε λάθρα μήτε φανερῶς ποιήσετε. — Ἐὰν τοῖς φίλοις βοηθεῖν θέλῃς, τὴν αὐτῶν λιπάρησιν μὴ περίμενε. — Ἐὰν τοῖς φανεροῖς οὖσιν ἀντείπητε, κακοηθείας ἢ ἀνοίας αἰτίαν ἕξετε. — Ἄξιοι μόνον ἔσεσθε εὐδαίμονες καλεῖσθαι, ἂν τὸν βίον καλῶς τελευτήσητε. — Ἐὰν τοῦ βίου τὸν τῆς δόξης ἔρωτα ἀφέλῃς, πόσας καλὰς πράξεις ἀδυνάτους ποιήσεις;

2. Φιλόσοφός τις ζητοῦντί τινι ἀγαθὸν ἄνδρα· « Εἰ ζητήσεις ἄγαν, οὐχ εὑρήσεις. » — Ὁ ἄνθρωπος πολλὰ πλαστὰ κακὰ τοῖς ἀληθινοῖς προστίθησιν· ἐὰν γὰρ πτάρῃ τις, λυπεῖται· ἐὰν δ' ἀλεκτρυόνα ἐν ὀνείρῳ ἴδῃ, φοβεῖται· ἐὰν δὲ γλαὺξ κεκράγῃ, τρέμει. — Εἰ ἡ Συρακουσῶν πόλις ἁλώσεται, πᾶσα ἡ Σικελία ὑφ' ἡμῖν ἔσται. — Ἂν εἰς τὸν τῆς γῆς κόλπον

εἰσδύῃ, ἀνεξάντλητα ἐκεῖ εὑρήσεις χρήματα. — Μέγα βασιλεῦ, ἂν ταῖς τέχναις χαρίσῃ, αὗταί σοι τὴν ἀθανασίαν δώσουσι. — Ἐὰν Γράκχος, τῶν φίλων τις εἶπεν, ἐμοὶ τὸ Καπετώλιον ἐμπρῆσαι κελεύσῃ, πείσομαι. — Ἐὰν μὲν Θεός με καλέσῃ, ἀπελεύσομαι· ἐὰν δ' ἐμὲ μένειν θελήσῃ, μενῶ. — Ἐὰν ἅπαντος τοῦ χρόνου λόγον ποιήσῃ ἀπὸ τοῦ Αὐγούστου εἰς τὸν Μάρκον Αὐρήλιον, τὸν ἀριθμὸν θαυμάσῃ τῶν ἐν ἔτεσιν ἐκείνοις διακοσιόις τῆς Ῥωμαίας ἀρχῆς ἐπιστατησάντων. — Ἐὰν μὲν ὑπὸ τοῦ Σκιπίωνος ἡττηθῶ, ὁ Ἀννίβας ἔφη, ἀναιρεθήσεται ἡ Καρχηδών· ἐὰν δὲ νικήσω, ἡ Ῥώμη στρατὸν μὲν ἄλκιμον ἀπολέσει, ἡ δὲ δύναμις αὐτῆς οὐ μὴ σαλευθῇ. — Λέγοντος σοφιστοῦ τινος· « Ἐὰν μὲν Ἀριστοτέλης ἢ Πλάτων καλέσῃ, συνέψομαι· ἐὰν δὲ Πυθαγόρας, σιωπήσομαι, » « Ὦ 'τὰν, ἀνεβόησεν ὁ Διογένης, καλεῖ σε Πυθαγόρας. » — Οὐδὲν ἑκόντες ποιοῦμεν οὐδὲ λέγομεν, ἂν πολυπράγμων τις βλέπῃ ἢ ἀκούῃ.

260ᵉ Exercice.

Suite de la conjonction εἰ (*Grammaire*, § 566).

1. Εἴ μοί ποτ' ἐξείη τοὺς μεγάλους ἄνδρας ἐκείνους ἰδεῖν, τοὺς τῆς ἑαυτῶν δόξης τὸν κόσμον πληροῦντας. — Ἔφασκεν ὁ Πλάτων ὡς εἴ ποτε οἱ βασιλεῖς φιλόσοφοι ἢ οἱ φιλόσοφοι βασιλεῖς γένοιντο, ἅπαντες οἱ ἄνθρωποι εὐδαίμονες ἂν τότ' εἴησαν. — Εἴ ποτε πλούσιος καὶ δυνατὸς εἴην, μάλιστ' ἂν χαίροιμι τοῖς ἀθλίοις ἐπικουρῶν. — Εἰ οἱ θεοὶ τὰς ἡμῶν λιτὰς ἀκούσαιεν, ταχύ γ' ἂν τῆς λύμης ἐκείνης ἀπαλλαχθείητε. — Ὦ Ἀλέξανδρε, εἰ σεαυτὸν νικᾶν δύναιο, ἁπασῶν τῶν νικῶν καλλίστην τότ' ἂν ἀναφέροιο. — Εἰ τὴν τῶν ἐμφυλίων στάσεων μνήμην ἐξαλεῖψαι δυναίμεθα. — Ἔλεγεν ὁ Χάρων ὡς εἴ ποτε τὸν Μένιππον αὖθις λάβοι, τῆς αὐθαδείας ποινὴν ἀπὸ τοῦ Κυνικοῦ ἀπαιτήσειεν ἄν. — Ὁ δῆμος τοῖς τῆς συγκλήτου πρεσβευταῖς ἀπεκρίνατο ὅτι εἰ ἐξείη αὐτῷ δημοτικοὺς ἄρχοντας ἑλέσθαι, εἰς τὴν Ῥώμην ἐπανέλθοι ἄν. — Ἠπίσταντο οἱ Ἕλληνες ὅτι, εἰ τὸ Παλλάδιον ἁρπάσαι οἷοί τε εἴησαν, πέσοι ἂν ἡ Τροία.

2. Εἴ ποτ' εἰς Ἰθάκην ἔλθοις, τὰ ξένια παρ' ἐμοῦ λάβοις ἄν. — Εἰ Ἀθῆναι τὸν ἄθλιον Οἰδίποδα δέξασθαι θέλοιεν, ἥπου ξένον οὔτ' ἀγνώμονα οὔτ' ἄχρηστον δέξαιντ' ἄν. — Εἴ ποτε τὴν τῶν πρώτων ἀνθρώπων πονηρὰν ἕξιν τῇ διανοίᾳ ὑπολαβεῖν δύναιο, θαυμάζοις ἂν ὅτι τὰ ὀνόματα τῶν αὐτοὺς ἐκ τοιαύτης ταλαιπωρίας ῥυσαμένων τὰ πλεῖστα ἄγνωστά ἐστι. — Εἴ ποτε ὑπὸ τῆς ἀτυχίας εἰς ἀθυμίαν κατασταίης, μὴ τοὺς εὐδαιμονεστέρους, ἀλλὰ τοὺς ἀθλιωτέρους ὄντας ἐπισκέψαι. — Εἴ ποτε τρωθείης ἢ νοσήσαις, εἰς τὴν τῶν ἰατρῶν τέχνην καταφύγοις ἄν· φθονερὸς δ' ὢν καὶ ὀργίλος καὶ σκυθρωπὸς, τί εἰς τὴν φιλοσοφίαν οὐ καταφεύγεις; — Εἰ μετριώτερος γένοιο, οὐ τοσούτους τοὺς ἐχθροὺς ἂν ἔχοις.

— Εἰ φιλανθρωπότερος γένοιο, πλείους τοὺς φίλους ἂν ἔχοις. — Ὑγίεια, τῶν θεῶν σεβαστοτάτη, εἴ σοι τὸν λοιπὸν βίον συνείην, τίνος ἔτι ἐπιθυμεῖν δυναίμην ἄν; — Εἰ τὸ ἀγαθὸν μόνον ἀγαπῷμι καὶ ἐπιποθοῖμι, τοῦ Διὸς εὐδαιμονέστερον διάγοιμι ἄν. — Ὦ Θεὸς, εἰ τῷ πατρὶ φόνον τιμωρήσαιμι, χαίρων ἂν ἀποθάνοιμι.

261ᵉ Exercice.

Suite de la conjonction εἰ (*Grammaire*, § 567).

1. Τέρας ἂν ἦν, εἴ τις θνητὸς ὢν ἀεὶ ἦν εὐδαίμων. — Ὦ Ἀθηναῖοι, εἰ τῷ ὄντι ἐλεύθεροι εἶναι ἠθέλετε, οὐκ ἂν ἤρκει ἀπειλὰς κατὰ τοῦ Φιλίππου ἐν τοῖς βαλανείοις καὶ κουρείοις προφέρειν, ὥσπερ ὁσημέραι ποιεῖτε. — Εἰ Γερμανικὸς διεβίω, τάχ' ἂν τὰς τῶν Ῥωμαίων ἐλπίδας ἐψεύσατο. — Εἰ οἱ Τρῶες ταῖς τοῦ Λαοκόοντος συμβουλίαις ἐπείσθησαν, ἔτι νῦν ἡ Τροία διέμενεν ἄν. — Εἰ πρῶτος τῆς ἐλευθέρας Ῥώμης πολίτης ὢν Καῖσαρ ἠγάπησε, μείζων ἂν ἐγένετο. — Εἰ ἡ τοῦ λόγου δεινότης τοὺς ἄνδρας μεγάλους ἀποφαίνειν ἱκανὴ ἦν, μείζων ἂν ἦν ὁ μὲν Δημοσθένης τοῦ Σωκράτους, ὁ δὲ Κικέρων τοῦ Κάτωνος. — Εἰ Κράσσος ἐβίω, ἴσως ὁ ἐμφύλιος πόλεμος οὐκ ἂν ἐξεῤῥάγη. — Τοῦ Ἀλεξάνδρου τὰς Δαρείου προτάσεις ἀποδοκιμάσαντος, ὁ Παρμενίων εἶπεν· « Εἰ Ἀλέξανδρος ἦν, ταῦτ' ἀποδεξαίμην ἄν. » « Κἀγὼ, ὑπέλαβεν ὁ βασιλεὺς, εἰ ἦν Παρμενίων. » — Ἐρωτῶντός τινος τὸν Ἀλέξανδρον πότερον ἐν τοῖς Ὀλυμπίοις ἀγωνιεῖται· « Μάλιστ' ἂν, οὗτος ἀπεκρίνατο, εἰ βασιλεῖς ἀνταγωνιστὰς ἔχειν ἔμελλον. » — Εἰ διὰ γνώμης εἶχον οἱ πολεμικοὶ ὅτι θανόντες οὐ πλείω χώραν τῶν ἄλλων ἀνθρώπων ἕξουσιν, οὔτε τοὺς ἄλλους οὔθ' ἑαυτοὺς οὕτως ἂν κακῶς ἐποίουν. — Ἰδὼν ὁ Διογένης ἄσωτόν τινα ἐλαίας ἐν πανδοχείῳ ἐσθίοντα, πρὸς αὐτὸν εἶπεν· « Εἰ οὕτως ἠρίστησας, οὐκ ἂν οὕτως ἐδείπνησας. » — Φιλόσοφός τις δούλῳ πλημμελήσαντι· « Ἔπαιον ἄν σε, εἶπεν, εἰ μὴ ὠργίσμην. » — Μετὰ τὴν τοῦ Πομπηΐου ἧτταν, ὁ Νώνιος τὸν πόλεμον παρατείνειν συνεβούλευε, φάσκων ἔτι ἐν τῷ στρατῷ ἀετοὺς εἶναι ἑπτά. « Καλῶς ἂν συνεβούλευες, ὁ Κικέρων ὑπέλαβεν, εἰ κολοιοῖς ἐπολεμοῦμεν. »

2. Εἰ ὀφθαλμοὺς ὁ ἄθεος εἶχεν, οὐκ ἂν ἦν ἄθεος. — Εἰ Κάσσιος ἔγνω ὅτι τὸ τοῦ Βρούτου κέρας περιγέγονε καὶ ἔστιν ἡ νίκη τοὐλάχιστον ἀμφίβολος, οὐκ ἂν ἑαυτὸν ἀνεῖλεν. — Εἰ οἱ Δράκοντος νόμοι ἧσσον ἀπηνεῖς ἐγένοντο, μᾶλλον ἂν διεφυλάχθησαν. — Εἰ αἰφνιδίως εἰς τὴν τῶν πρώτων αἰώνων ἀφέλειαν ἀνηγόμεθα, σφόδρα ἄθλιοι δήπου ἐνομίζομεν ἂν εἶναι. — Εἰ Καῖσαρ περὶ τὸ λέγειν ἐσπούδασεν, ἴσως ῥητόρων πρῶτος ἂν ἐγένετο. — Εἰ τὴν ὕστερον τύχην ἐγιγνώσκομεν, ἴσως ἂν ἡ παροῦσα εὐδαιμονία ὑπὸ τῶν ἐσομένων κακῶν διεφθείρετο. — Εἰ μὲν ἡ γῆ

σκληροτέρα ἦν, οὐκ ἂν γεωργεῖν ἐδυνάμεθα· εἰ δ' ἁπαλωτέρα, ὥσπερ εἰς βόρβορον κατεδυόμεθ' ἄν. — Εἰ Ἀριστείδης τῇ Θεμιστοκλέους συμβουλίᾳ συνέθετο, οἱ Ἀθηναῖοι, τὸν τῶν Ἑλλήνων στόλον ἐμπρήσαντες, ἀΐδιον ἂν ἑαυτοῖς αἰσχύνην περιεποίησαν. — Εἰ ὁ κολοιὸς τὴν ἑαυτοῦ τύχην ἠγάπησεν, οὐκ ἂν ὑπὸ τῶν ἄλλων ἐχλευάσθη τε καὶ ἐξεβλήθη. — Εἰ ἅπαντες οἱ αὐτοκράτορες τῷ Τραϊανῷ ἢ τῷ Μάρκῳ Αὐρηλίῳ ὅμοιοι ἐγένοντο, ἐπὶ πλέον ἂν ἡ Ῥωμαία ἀρχὴ διετέλεσε. — Εἰ ἡ ψυχὴ θνητὴ ἦν, ὁ ἄνθρωπος ὀλίγον ἂν τῶν ἄλλων ζώων διέφερεν. — Εἰ Ὀλυμπία ἠγωνίζετο τὰ ζῶα, οὐδεὶς ἄνθρωπος, οὐδ' Ἡρακλῆς αὐτὸς, ἑνὸς ἄθλου ἐτύγχανεν ἄν.

262ᵉ Exercice.

Suite de la conjonction εἰ (*Grammaire*, § 568).

1. Εἰ μὴ Ἀλέξανδρος ἦν, ὁ βασιλεὺς ἐκεῖνος ἔφασκε, Διογένης ἂν ἐβουλόμην εἶναι. — Εἰ καὶ ἀπείροις διαστήμασιν οἱ δῆμοι ἀποχωρίζονται, ἅπαντες ὅμως ἀδελφοί εἰσι. — Εἰ καὶ ὁ φιλάργυρος χρήματα πλείω πάντων τῶν τοῦ Κροίσου θησαυρῶν κεκτημένος εἴη, οὐκ ἂν ἀρκεσθείη. —Ἅπαντες οἱ ἄνθρωποι τοῦ ψευδοῦς τὸ ἀληθὲς ῥᾳδίως ἂν διέκρινον, εἰ μὴ νοῦς αὐτῶν πολλάκις τῇ ἀγνοίᾳ ἢ ταῖς ἐπιθυμίαις ἠμαυροῦτο. — Εἰ καὶ τοῖς Ἕλλησι πολλοὶ ὀνομαστοὶ γραφεῖς ἐγένοντο, οὐδεμία τούτων γραφὴ εἰς ἡμᾶς διεσώθη. — Εἰ μὴ ὁ Θεὸς καθ' ἑκάστην ὥραν ἡμῶν ἐπεμελεῖτο, εὐθὺς ἂν ἐτελευτῶμεν. — Εἰ μὴ κατὰ τὴν τοῦ πολέμου ἀρχὴν ἀπέθανε Μέμνων ὁ Ῥόδιος, ὁ Ἀλέξανδρος ἄξιον ἑαυτοῦ ἀνταγωνιστὴν ἂν ἔσχε. — Ἡ τῶν Ἰνδικῶν βασιλέων πολυτέλεια πάντων τῶν ἄλλων ἐθνῶν τὰς ὑπερβολὰς ὑπερέβαινεν, εἴπερ τῇ τοῦ Κοΐντου Κορτίου ἱστορίᾳ πιστεύειν ὀφείλομεν. — Εἰ καὶ ὁ Κωνσταντῖνος τῷ Χριστιανισμῷ μὴ προσέθετο, ὅμως οἱ Χριστιανοὶ, τῶν ἀντιπάλων πλείους καὶ ἰσχυρότεροι ὄντες, τῆς ἀρχῆς ἂν ἐπεκράτησαν. — Τῆς προπετείας ὕστερον ὑμῖν μεταμελήσει, εἰ καὶ μὴ μεταμέλει ἤδη. — Εἰ καὶ μήπω Σωκράτης εἶ, ζῆν ὀφείλεις ὡσεὶ Σωκράτης γενησόμενος. — Νουθετείτωσαν μὲν πρῶτον οἱ ἄρχοντες τοὺς τὸν νόμον παραβαίνοντας· ἐὰν δὲ μὴ πεισθῶσι, χρημάτων αὐτοὺς τιμάτωσαν. — Ὁ Ἀννίβας εἷς ἐστι τῶν παρὰ τοῖς παλαιοῖς μεγίστων στρατηγῶν, εἰ καὶ μὴ ὁ πρῶτός ἐστι. — Ὁ Σόλων τοῦ Ἡσιόδου οὐκ ἂν ἥττων ἐγένετο, εἰ μὴ τὴν ποίησιν ὡς πάρεργόν τι ἡγησάμενος, ὀλίγον διὰ τοῦτο χρόνον περὶ αὐτὴν ἐσχόλασε. — Μὴ ὀμόσῃς, εἰ καὶ δικαίως ὀμόσεις.

2. Πειρώμεθα ὅπως μὴ μεταμελήσεως αἰτίας εἰς τὸ γῆρας παρασκευαζώμεθα, ἐάν γε τοῦ γήρως ἐφιξώμεθα. — Εἰ καὶ ἐν παραβολαῖς λέγω, οἱ μὲν ὀφθαλμοὺς ἔχοντες ὄψονται, οἱ δ' ὦτα ἔχοντες ἀκούσονται. — Ἴσως ὁ Λουκιανὸς τὴν πλαστικὴν ἤσκησεν ἄν, εἰ μὴ τῇ τοῦ θείου σκλη-

ρότητι, παρ' ᾧ τὴν τέχνην ἐδιδάσκετο, ἀπετράπη. — Ὁ Ἀλέξανδρος τὴν τοῦ Βουκεφάλου τιμὴν ἀποτίσειν ὑπέσχετο, εἰ μὴ αὐτὸν δαμάσειεν. — Ἔφασκεν ὁ Κάτων τὴν ἀδικίαν, εἰ μὴ παρανόμημά ἐστιν, ἀβουλίαν εἶναι. — Ὁ Ἀλέξανδρος ἴσως τὰς Θήβας οὐκ ἂν ἀνεῖλεν, εἰ μὴ ὑπὸ τῶν Πλαταιέων καὶ τῶν Ὀρχομενίων παρωρμήθη. — Τὰ πολλὰ τῶν κρεωφάγων ζώων τῷ ἀνθρώπῳ οὐ προσβάλλει, ἂν μὴ πιέσῃ ὁ λιμός. — Ἔφασκεν ὁ Μένιππος τὸν ἄνθρωπον γενέσθαι σοφὸν μὴ δύνασθαι, ἐὰν μὴ πρῶτον τρεῖς ἐλλεβόρου κόκκους καταπίῃ. — Οἱ πολλοὶ οὐ τοσοῦτον τοῖς δυνατοῖς ἐφθόνουν ἄν, εἰ ἑαυτῶν ἐγγυτέρω ἑώρων αὐτούς. — Εἰ καὶ ἑκατὸν ἔτη ζήσαις, ὅμως τοῦ πεπρωμένου τέρματος ἐφικέσθαι δέοι ἄν. — Οἱ ἄνθρωποι αἰτίαμα ἀεί τι ἔχουσιν, εἰ καὶ πάντα κατὰ γνώμην ἀποβαίνει. — Χαλεπόν ἐστι περὶ τῆς τῶν συγγραφέων ἀξίας εὖ ψῆφον φέρειν, ἂν μὴ ἐν τῇ ἑαυτῶν γλώσσῃ ἀναγιγνώσκειν δυνώμεθα. — Ἀδύνατον ἂν ἐγένετο τῷ ἀνθρώπῳ τῶν παραλίων μακρὰν ἀπαίρεσθαι, εἰ μὴ τὴν τοῦ μάγνητος δύναμιν ἐξεῦρε. — Εἰ καὶ τοσοῦτον ἤδη προὔκοψας, πολλὰ ἔτι ἀγνοεῖς. — Εἰ καὶ ὅλον τὸν βίον περὶ τὰ γράμματα σχολάζων διαγάγοις, ἁπάσας τὰς ἀνθρωπίνας ἐπιστήμας οὐκ ἂν περιλάβοις. — Αἱ τοῦ νοῦ ἐνέργειαι ταχέως ἀμαυροῦνται, ἄνπερ συνεχῶς αὐτὰς μὴ ἀσκῶμεν.

268° Exercice.

Suite de la conjonction εἰ (*Grammaire*, § 569).

1. Αἱ νόσοι ἧσσον ἂν ἦσαν συχναί, εἰ μὴ οἱ ἄνθρωποι τὰς τροφὰς τοῦ τὸν βίον διασώζειν ἕνεκα δεδομένας εἰς θανατηφόρα φάρμακα μετέβαλλον. — Εἰ μὴ ὁ Θεὸς τὴν ἐλπίδα ἡμῖν ἔδωκε, συνεχῶς λυπούμενοι διεμένομεν ἄν. — Εἰ οἱ ἄνθρωποι ἧσσον προπετῶς βίον ᾑροῦντο, σπανιώτερον τῆς προαιρέσεως αὐτοῖς ἂν μετέμελεν. — Οἱ Ἕλληνες τῇ ἡδονῇ τὴν ἀρετὴν ὑποτάσσειν ἂν ἔδοξαν, εἰ τὸ τῆς Ἀσίας ζυγὸν ἀποδέξασθαι ἠθέλησαν. — Εἰ τὴν ἀρετὴν ἄνευ πόνου κτᾶσθαι δυναίμεθα, τί τῷ ἀγαθῷ πλέον ἂν εἴη πρὸς ἀξίαν; — Οἱ Ῥωμαῖοι, καὶ ἐπὶ τῶν Κικέρωνος καὶ Πομπηΐου χρόνων, τὰ Καλιγούλα παραληρήματα οὐκ ἀνέσχον ἄν. — Εἰ οἱ παῖδες τῶν πρώτων ἐτῶν μνημονεύοιεν, καὶ τῆς προτέρας ἀγνοίας, καὶ τῆς ἀσθενείας, καὶ τῆς τῶν πάντων ἐνδείας, ἧσσον ἀγνώμονες περὶ τοὺς γονέας ἂν εἴησαν. — Εἰ μὴ οἱ ἄνθρωποι γεωργίας ἀμελοῦντες τῇ γῇ ἐπέλειπον, οὔποτ' ἂν ἡ γῆ τοῖς ἀνθρώποις ἐπέλειπε. — Εἰ ἁπάντων τῶν γῆς μεταλλείων ὁ χρυσὸς φιλαργύρῳ τινὶ ὑπῆρχε, τί πλέον ἂν εἶχε πλὴν τῆς περὶ τὸ φυλάσσειν μερίμνης; — Οὐδεὶς Λακεδαιμόνιος τὴν ἐλευθερίαν τῆς τῶν Περσῶν βασιλείας ἠθέλησεν ἂν ἀμείψασθαι.

2. Εἰ Ζεὺς πάσας τὰς τῶν θνητῶν εὐχὰς ἤκουεν, ἑσπέρας ἀεὶ μεταβαλεῖν ἠναγκάζετ' ἂν τὰ πρωῒ τεταγμένα. — Ὀρέστης ὑπὸ τοῦ Ἀρείου

πάγου κατεδικάσθη ἂν, εἰ μὴ Ἀθηνᾶ, ὥς φασι, ψῆφον ὑπὲρ αὐτοῦ τῷ κάδῳ ἐνέβαλεν. — Τὰ στοιχεῖα ἐξ ὧν ὁ κόσμος συνέστηκε πάλαι διελύθη ἄν, εἰ μὴ ὑπὸ παντοδυνάμου χειρὸς διεφυλάχθη. — Ὁ Πῶρος τὴν τοῦ Ἀλεξάνδρου φιλίαν οὐκ ἂν προσηγάγετο, εἰ ἡττηθεὶς ταπεινότερον ἑαυτὸν παρέσχεν. — Ναῦς ἄνευ κυβερνήτου ταχέως ἂν κατὰ τῶν κυμάτων καταδύοιτο. — Εἰ ἀληθῆ ἔλεγεν ὁ φθονερὸς, ἔφασκεν ἄν· « Ἐπὶ τῇ ἀλλοτρίᾳ εὐδαιμονίᾳ λυποῦμαι· τὴν ἀλλοτρίας εὐτυχίας ὄψιν φέρειν οὐ δύναμαι· ὁ τοῦ πλησίον ὄλβος ἄθλιον ἐμὲ καθίστησι. » — Εἰ οἱ δεσπόται εἰς τὴν ὑστεραίαν ἀνεβάλλοντο τὴν τῶν δούλων πλημμελησάντων κόλασιν, πολλάκις ἂν ἐθαύμαζον ὅτι αἰτίας οὕτω μικρᾶς ἕνεκα τῇ προτεραίᾳ ὠργίσθησαν. — Εἰ ὁ ἄνθρωπος ἡμέρας καὶ νύκτας συνεχῶς διῆγεν ἐν πόνῳ ἀγρυπνῶν ἢ ἀργίᾳ, ταχὺ ἀπέθνησκεν ἂν ὑπὸ καμάτου. — Εἰ μὴ οὕτως ἄκαρπος ἡ Ἀττικὴ ἐγένετο, πολλάκις ἂν τοὺς οἰκοῦντας μετέβαλεν, ὥσπερ αἱ εὐγεώταται τῆς Ἑλλάδος χῶραι, Θεσσαλία δὴ καὶ Βοιωτία καὶ Πελοπόννησος. — Εἰ οἱ ἄνθρωποι γαστρὸς ἐγκρατέστεροι καὶ ἐν ἁπάσαις ταῖς ἡδοναῖς σωφρονέστεροι ἦσαν, σχολαίως ἂν δι' ἡσύχου βίου εἰς γλυκὺν καὶ ἄπονον θάνατον ἐξικνοῦντο.

264ᵉ Exercice.

Emploi d'un relatif (*Grammaire*, § 570).

1. Ἦν ἐπὶ τοῦ Τιβερίου γαστρίμαργός τις, Ἀπίκιος ὄνομα, ἀφ' οὗ πολλοὶ πλακοῦντες ὠνομάσθησαν. — Οἱ Ἀθηναῖοι ἀσέβειαν τούτου κατεδίκασαν, ὅνπερ ὁ ἐν Δελφοῖς θεὸς σοφώτατον τῆς Ἑλλάδος ἀνηγόρευσεν. — Ὅστις πρῶτος ἐβασίλευσεν, εὐτυχήσας τις στρατιώτης ἦν. — Κατὰ τὸν Ἀριστοτέλην, ὁ ἐλέφας ἑκατέρωθεν τέσσαρας ὀδόντας ἔχει οἷς τὴν τροφὴν τρίβει. — Δίκαιός ἐστιν ἀνὴρ οὐχ ὅστις μὴ ἀδικεῖ, ἀλλ' ὅστις, ἀδικεῖν δυνάμενος, μὴ ἐθέλει. — Εἰσὶ τῶν ἀνθρώπων οἵτινες τὴν ἀδικίαν αἰσχρὰν μὲν, λυσιτελῆ δὲ ἐν τῷ καθ' ἑκάστην ἡμέραν βίῳ νομίζουσιν εἶναι. — Ἐν τούτῳ τῷ ἀπείρῳ ἀνθρώπων πλήθει οὓς ὁ ἥλιος καταλάμπει, πολλοὺς ὁ σοφὸς ὁρᾷ πλουσιωτέρους τε καὶ ἐντιμοτέρους ἑαυτοῦ ὄντας. — Ἀριστοτέλης φησὶν ἐν Πόντῳ μελίσσας τινὰς εἶναι παντελῶς λευκάς, αἳ μέλι δὶς τοῦ μηνὸς ποιοῦσιν. — Ἴστε μὴ καλὸν εἶναι λέγειν ἃ αἰσχρόν ἐστι ποιεῖν. — Ἄνθρωποι μὲν ἐγίγνοντο οἱ λίθοι οὓς ὁ Δευκαλίων ἔρριπτε, γυναῖκες δὲ οὓς ἡ Πύρρα. — Ὦ Τηλέμαχε, ὁ ξένος οὗτος πρὸς ὃν διελέχθης μὲν, τὸ δ' ἥσυχον αὐτοῦ καὶ τὸ γενναῖον ἐθαύμαζες, σὸς πατήρ ἐστιν ὃν ἐκ τοσούτου χρόνου ζητεῖς. — Ἐν πομπῇ ἐκείνῃ γέροντας μὲν εἶδον ὧν σεμνὸν ἦν τὸ πρόσωπον, ἐλαίνους δ' οὗτοι κλάδους εἶχον· τελείους δὲ ἄνδρας οἳ, ἀσπίσι καὶ λόγχαις ὡπλισμένοι, τῶν μαχῶν γλίχεσθαι ἐδόκουν· κόρους δὲ ὀκτωκαίδεκα ἐτῶν ὄντας, οἳ ὕμνους εἰς τὴν θεὰν ᾖδον· παρθένους

δὲ τοῖς πρώτοις Ἀθήνηθεν οἴκοις προσηκούσας, ὧν τὰ πρόσωπα καὶ ἡ ἡλικία καὶ τὸ σχῆμα πάντων τὰς ὄψεις προσήγοντο.

2. Ἔδειξαν ἡμῖν οἱ ἱερεῖς τὰ μεγαλοπρεπῆ δῶρα ἃ ὁ Γύγης, τῶν Λυδῶν βασιλεὺς, εἰς Δελφοὺς ἐπεπόμφει, ἐν οἷς ἓξ μὲν μεγάλους τε καὶ χρυσοῦς κρατῆρας ἐθαυμάσαμεν· οὐδὲν δὲ παραπλήσιόν ἐστι τοῖς χρήμασιν ἃ ὁ Κροῖσος εἰς τὸν αὐτὸν ναὸν ἔπεμψεν. — Ὅστις ἄνθρωπος τὸ ὄνομα αὐτοῦ γιγνώσκει μόνον, ἑαυτὸν οὐ γιγνώσκει. — Τοὺς μὲν ἀνέμους αὐτοὺς οὐχ ὁρῶμεν, ἃ δ' ἀποτελοῦσιν ὁρατὰ ἡμῖν ἐστι. — Ἆρ' ἴστε ἅπερ χθὲς παρὰ τὸ δεῖπνον ἡ Ἔρις ἐν Θεσσαλίᾳ ἐποίησεν, ὅτι ἐπὶ τὸν Πήλεως καὶ Θέτιδος γάμον οὐκ ἐκλήθη; — Αἱ βοτάναι ἅστινας αὐτοὶ ἐφυτεύσαμέν τε καὶ ταῖς ἡμῶν αὐτῶν χερσὶν ἐθεραπεύσαμεν καὶ ἠρδεύσαμεν, τῶν ἄλλων καλλίους ἡμῖν φαίνονται. — Ἅπαν τὸ γένος ὃ νῦν Κελτικὸν ὀνομάζομεν πολεμικόν τε καὶ ὀργίλον ἐστίν. — Ἐκ τοῦ σιδήρου οὐ μόνον τὰ γεωργικὰ ὄργανα καὶ τὰ πρὸς ἄμυναν ἐπιτήδεια ὅπλα ποιοῦμεν, ἀλλὰ καὶ τὰ ἐργαλεῖα οἷς τοὺς τῆς γῆς κόλπους τέμνομεν, μέταλλα οὐ τιμιώτερα τούτου, ἀλλὰ φαιδρότερα θηρεύοντες. — Οἱ Τυρρηνοὶ, οὓς οἱ Ῥωμαῖοι Ἐτρουσκοὺς ὀνομάζουσι, τὰ ἀπὸ τῆς Λιγουρίας ἄχρις εἰς τὸν Τίβεριν πεδία κατέχουσι. — Ἡ Μεσοποταμία τὸ ὄνομα παρείληφεν ἐκ τῶν δύο ποταμῶν, Εὐφράτους δῆτα καὶ Τίγριδος, οἳ αὐτὴν περιέχουσί τε καὶ τῆς Συρίας ἀποχωρίζουσι.

265e Exercice.

Suite de l'emploi d'un relatif (*Grammaire*, § 571).

1. Ἆρ' ἄνθρωπον πώποτ' εἴδετε ὅστις παντελῶς μὲν τὴν πατρίδος μνήμην ἀπέβαλεν, ἐν ἀλλοτρίᾳ δ' ὢν ταῖς μὲν αὐτῆς εὐτυχίαις οὐκ ἐχάρη, ταῖς δὲ συμφοραῖς οὐκ ἐλυπήθη; — Οὐδεὶς ἔσται ὅστις ταύτης τῆς τύχης οὐ καταγελάσεται. — Οὐδείς ἐστιν ὅστις οὐ φιλόδοξός ἐστι. — Οὐδὲν ἦν παιδείας γένος οὗ ὁ Σόλων ἠμέλει. — Οὐδέν ἐστιν ὃ τοὺς ἀνθρώπους ἀπαλλοτριοῖ καὶ διίστησιν ὥσπερ ὁ ζῆλος. — Οὐκ ἦν ἀξίωμα οὗ ὀρέγεσθαι Ἀναξαγόρας ὁ Κλαζομένιος οὐκ ἠδύνατο, οὐ μόνον τῆς μεγαλοψυχίας, ἀλλὰ καὶ τοῦ πλούτου καὶ τοῦ γένους ἕνεκα. — Οἱ Ῥωμαῖοι ἐν ταῖς συμμάχοις ἱππέας οὐκ εἶχον οἵτινες τῶν Γάλλων ἐμπειρότεροί τε καὶ θρασύτεροι ἦσαν. — Οὐδὲν πώποτε δικαστήριον ἐγένετο ὅ τι σεμνότερόν πως τοῦ Ἀρείου πάγου ἐδίκασεν. — Εἰπέ μοι ἀγαθόν τι ὃ ἰδιόκτητόν ἐστι, πλὴν τῆς σωφροσύνης καὶ τῆς παιδείας. — Ποῦ εὑρήσετε πόλιν ἥτις πλείω τῆς Ῥώμης ἔχει ὁποῖα δὴ καὶ ὁπότε δὴ ἱδρυμένα μνημεῖα; — Ἆρ' ἔγνωτε πώποτε θνητὸν ὅστις παντελῶς εὐδαίμων ἦν, ἢ καὶ ὅστις οὐχ ἑαυτὸν ἀθλιώτερον ἢ τῷ ὄντι ἐνόμιζεν; — Οὐκ ἔστι μὲν λύμη ἥτις ἐπιβλαβεστέρα τῷ ἀνθρώπων γένει ὑπῆρξεν ἢ ὀργή· οὐκ ἔστι δ' ἐπιθυμία ἥτις τῇ ἀνθρώπου ψυχῇ ὀλεθριωτέρα ἐστὶν ἢ βασκανία. — Οὐκ ἔστιν οὐδὲν ὃ τὸν

Θεμιστοκλέα τοῖς Λακεδαιμονίοις μισητὸν μᾶλλον ἐποίησεν τοῦ τῶν Ἀθηνῶν ἀνατειχισμοῦ. — Οὐκ ἔστιν ὅντινα μᾶλλον ἀποφεύγομεν ἢ τὸν πολυπράγμονα. — Ὀλίγοι εἰσὶν οἳ, ὥσπερ ὁ Περικλῆς, ἀμέμπτως ἑαυτοὺς ἐπαινεῖν ἐπίστανται. — Οὐκ εἰσὶν ἡδοναὶ αἳ, ὑπέρμετροί γε οὖσαι, τὸν ἡμέτερον βίον οὐ βραχύνουσιν.

2. Οὐκ ἦν βασιλεὺς ὅστις, ἐν πολυτελείᾳ καὶ τρυφῇ διάγων, ἀτενὲς τῷ Ῥωμαίων δήμῳ ἐμβλέπειν ἐτόλμα. — Ἡ τοῦ ζῆν ἐπιστήμη μόνη ἐστὶν ἣν οἱ ἄνθρωποι οὐ μανθάνουσι μὲν, οὐκ ἐπιθυμοῦσι δὲ μανθάνειν. — Οὐκ ἦν εὐπατρίδης οὔτε δημοτικὸς οὐδεὶς, ἐπιμελῶς γε πεπαιδευμένος, ὅστις ἐκ νέων τὴν Ἑλληνίδα γλῶσσαν συνιέναι καὶ γράφειν οὐκ ἐσπούδαζε. — Οὐκ ἔστι ζῶον οὔτε φυτὸν οὐδὲν ὃ τῇ θαυμαστῇ αὐτοῦ κατασκευῇ τὴν τοῦ κτίσαντος σοφίαν οὐχ ἅλις φανερὰν ποιεῖ. — Ἆρ' ἔστι φιλόσοφος ὃς ἄμεινον τοῦ Ἐπικτήτου τὰ τῷ ἀνθρώπῳ καθήκοντα ἔγνω; — Οὐκ ἔστι παιδείας οὐδὲν γένος ὅ τι ὁ Πλάτων οὐκ ηὔξησεν· οὐκ ἔστι λέξεως οὐδὲν εἶδος ὅ τι οὐκ ἐτελείωσε. — Οὐκ ἔστι δῆμος ὃς εἰς τὰς τέχνας εὐφυέστερος ἐγένετο τῶν Ἑλλήνων. — Οὐκ ἔστι δράκων οὔτε στυγερὸν τέρας οὐδὲν ὅ τι, ὑπὸ τῆς τέχνης μιμηθὲν, τοῖς ὀφθαλμοῖς οὐ δύναται ἀρέσκειν. — Ταχὺ, ὦ παῖ, οὐκ ἔσται τῶν βασιλέων οὐδεὶς, τῶν πάλαι πρὸς τὴν Τροίαν μαχεσαμένων, ὅστις περιγενήσεται.

266ᵉ Exercice.

Suite de l'emploi d'un relatif (*Grammaire*, § 572).

1. Πᾶς ὅστις ἂν τὸν Νεῖλον ἀπὸ Μέμφεως εἰς Θήβας ἀναπλέῃ, τῇ συνεχείᾳ τῶν μνημείων ἐκπλήσσεται ἃ παρ' ἑκατέραν ὄχθην καθορᾷ. — — Ἐσκεμμένως ἐξέταζε πᾶν ὅ τι ἂν εἴπῃς. — Πᾶς ὅστις ἂν ζῶν τοὺς τεκόντας δι' αἰδοῦς ἔχῃ, ζῶν τε καὶ θανὼν τοῖς θεοῖς φίλος ἔσται. — Παρὰ τοῖς Λυκίοις, πᾶς ἐλεύθερος ἀνὴρ ὅστις ἂν κλέπτων καταφωραθῇ, δοῦλος γίγνεται. — Ὅστις ἂν μὴ ἐν παντὶ πράγματι τὸ τέλος σκοπῇ, πολλάκις μετανοήσει. — Ὅπως ἂν πολιτεύῃ, ἐχθροὺς ἀεὶ ἕξεις. — Παρὰ τοῖς Ἀθηναίοις, ὅστις ἂν δίκην ἐπαγαγὼν ἔλεγχον δοῦναι μὴ δυνηθῇ, κολάζεται. — Πᾶν ἁμάρτημα ὅ τι ἂν ἀτιμώρητον μένῃ, τῷ κοινῷ κίνδυνός τίς ἐστι. — Παρὰ τοῖς Θηβαίοις, πᾶς στρατηγὸς ὅστις ἂν τὴν ἀρχὴν πορρωτέρω τοῦ τακτοῦ χρόνου κατάσχῃ, θανάτῳ ζημιοῦται. — Ὅστις ἂν τὰς αἰτίας τῆς τῶν ἀρχῶν αὐξήσεώς τε καὶ παρακμῆς ἐπισκέψηται, κατανοήσει ὅτι πολλάκις τὰ μέγιστα γίνεται ἐξ αἰτιῶν σφόδρα μικρῶν δοκουσῶν εἶναι. — Ἐν Ἀθήναις, πάντα πολίτην ὅστις ἂν ἀκουσίου φόνου ἀπολυθῇ, ὅμως ὅλον ἐνιαυτὸν ἀποδημεῖν δεῖ. — Ὅστις ἂν τὴν αὐτοκρατορίαν ἔχῃ, παρὰ τὸ δέον χρῆσθαι ἐφίεται. — Ἐλευσόμεθ' ὅποι ἂν ἡμᾶς οἱ πόδες ἐνέγκωσιν. — Ὅστις ἂν τοῦ νέου κόσμου τὰς μὲν ἀπείρους ὕλας διέλθῃ, τὰ δ' ὄρη

ὑπερβάλῃ καὶ τοῖς ποταμοῖς ἐμπλεύσῃ, τῇ τοῦ παλαιοτέρου μικρότητι ἐκπλαγήσεται.

2. Πᾶς ὅστις ἂν κακοπαθῇ, ἀδίκως κρίνει. — Πᾶς στρατιώτης ὅστις ἂν ἡττημένον καὶ καταβεβλημένον πολέμιον παίσῃ, ἑαυτὸν καταισχύνει. —Ὅστις ἂν πάντων μὲν τῶν ἄλλων μαθημάτων ἀμελῇ, περὶ δ' ἓν μόνον σπουδάζῃ, τὸν ἑαυτοῦ νοῦν ἐκὼν ταπεινοῖ. — Ὅστις ἂν ὑμῖν φίλος εἶναι φάσκῃ, καὶ θαυμάζῃ πάνθ' ἃ λέγετε καὶ πράσσετε, ὑμᾶς φενακίζει· μάλιστα γὰρ ἀδιάλλακτος ὑμῶν ἐχθρός ἐστι. — Πᾶν ὅ τι ἂν τὴν τοῦ ἀνθρώπου ψυχὴν μεγαλύνῃ καὶ αὐτὸν ἐλεημονέστερόν τε καὶ γενναιότερον ποιῇ, ἐπιμελῶς θηρεύειν δεῖ.—Ὅστις ἂν τῶν τῆς ξενίας δικαίων ἀγνώμων γένηται, ὑπὸ τοῦ Διὸς ζημιωθήσεται.—Ὅστις ἂν τῶν θεῶν ὑπὲρ τῶν Ἑλλήνων ἢ τῶν Τρώων μαχέσηται, τοῦ οὐρανοῦ ἐκπεσεῖται.— Πᾶς Λακεδαιμόνιος ὅστις ἂν ἄνδρα ἀγαθὸν ἐπαινεῖν ἐθελήσῃ, λέγει· « Θεῖος ἀνήρ ἐστιν. » —Ὅστις ἂν τὸν Ὅμηρον καὶ τὸν Οὐεργίλιον ἀναγνῷ, θαυμάσεται οὐ μόνον ὅτι ὁ Οὐεργίλιος τοῦ Ὁμήρου προετιμήθη, ἀλλὰ καὶ ὅτι ἐκείνῳ παρεβλήθη.—Ὅστις ἂν χρέος τῷ δημοσίῳ ὀφειλήσῃ, ἄτιμος ἔσται ἕως ἂν ἐκτίσῃ. — Πᾶς στρατηγὸς ὅστις ἂν τοὺς στρατιώτας εἰς νίκην ἀγάγῃ, ταχὺ χάριτος τεύξεται, εἰ καὶ τὸν τρόπον σκληρός ἐστι.

267° Exercice.

Suite de l'emploi d'un relatif.

1. Ὅστις εἰς τὴν Ῥώμην ἀπόντων τῶν ὑπάτων ἔλθοι καὶ τὴν τῆς συγκλήτου δύναμιν ἐπισκέψαιτο, νομίζοι ἄν, ὥς φησι Πολύβιος, τὴν πολιτείαν εἰλικρινῶς ἀριστοκρατικὴν εἶναι. — Ὅστις, ἐπὶ Κικέρωνος ἢ Καίσαρος, οὕτω λέγων τύχοι, ὥσπερ οἱ κατὰ τὸν Κύριον ἢ τὸν Φαβρίκιον, καταγελασθείη ἄν, ἴσως δὲ καὶ τὰ λεγόμενα οὐδεὶς ἂν μάθοι. —Ὅπως ποτὲ τῷ Μίλωνι ὁ Κικέρων συνείποι, ὅμως ἂν κατακριθείη. —Ὅστις τέλειος εἴη, οὐκέτ' ἂν εἴη ἄνθρωπος, ἀλλὰ θεός.—Ὅστις τὸν ἑαυτῷ φίλτατον μήποτε κακῶς εἴποι, θαῦμ' ἂν εἴη.—Ὅστις τὸν Ἀριστοφῶντα ἀκούοι, νομίζοι ἂν αὐτὸν τὴν πόλιν διασῶσαι. — Πᾶς ῥήτωρ ὅστις τὰ ἁπαλὰ τῶν Ἀθηναίων ὦτα βλάψειε, καίπερ τὰ ὑγιέστατα ἀγορεύων, οὐκ ἂν ἀκουσθείη.—Ὅστις ἐν ταῖς Ἀθήναις τὰς ἐπιστήμας καὶ τὰ γράμματα τῷ ἀνθρώπῳ βλαβερὰ εἶναι εἴποι, ἄφρων ἂν νομισθείη.—Ὅστις ἐκ τοῦ εἴδους τὸν Σωκράτην κρίνειεν, αὐτὸν μεθυστικόν τε καὶ πρὸς πάσας τὰς κακίας ἐπίφορον εἶναι ἂν ἡγήσαιτο. —Ὅστις ἐν ὑπογείῳ τινὶ οἰκίᾳ γεγονώς τε καὶ τραφεὶς ἐξαίφνης ἐπὶ τὴν γῆν διακομισθείη, οὐκ ἂν ἱκανῶς θαυμάσαι δύναιτο ἃ προσβλέποι. — Πᾶς ὅστις ἂν τῷ Ἀντωνίῳ ἀντείποι τὸν τοῦ Καίσαρος ἔπαινον ἐν τῇ ἀγορᾷ λέγοντι, ὑπὸ τοῦ δήμου διασπασθείη ἄν. —Ὅστις ἑαυτῷ μόνον βιῴη, ἀνωφελὲς ἄχθος ἐπὶ τῆς γῆς ἂν

εἴη. — Πᾶν δένδρον ὅ τι μὴ καρπὸν φέροι, ἐκριζωθείη ἂν καὶ εἰς πῦρ ἐμβληθείη.

2. Ὅστις εὖ ποιῶν τῇ τῶν εὖ πασχόντων εὐχαριστίᾳ πιστεύοι, πολλάκις ἂν ἀπατῷτο. — Πᾶς ποιητὴς ὅστις ἀπιθάνους ἡμῖν μύθους προφέροι, ψυχροῖς ἂν καὶ ἀπίστοις ἡμῖν χρῷτο. — Ὅστις τοὺς φιλοσόφους ἐκείνους ἐκ τοῦ πώγωνος καὶ τοῦ τριβωνίου κρίνειε, νομίσαι ἂν αὐτοὺς τῶν ἑπτὰ τῆς Ἑλλάδος σοφῶν σοφωτέρους εἶναι. — Πᾶς πολίτης ὅστις τῆς ἀρχῆς ἐπικρατῆσαι θέλοι, αὐτίκ' ἂν ἐξοστρακίζοιτο, ἴσως δὲ καὶ θανατοῖτο. — Πᾶσα συμμαχία ἥτις μὴ τοῖν ἀμφοῖν δήμοιν ἴσως λυσιτελὴς γίγνοιτο, πλαστὴ δουλεία ἂν εἴη. — Δῆμος ὅστις ὑπὸ δυνατωτέρων γειτόνων ἐκφοβοῖτο, οὐκ ἂν εἴη τῷ ὄντι ἐλεύθερος. — Ὅστις φιλόσοφος τῷ Κάτωνι εἴποι μὴ ἐξεῖναι ἀνθρώπῳ ἕτερον ἄνθρωπον πωλεῖν, κατηγορηθείη ἂν ὡς τῇ πατρίδι πολέμιος ὤν. — Πᾶν ἔθνος ὅ τι τὴν δικαιοσύνης καὶ ἀληθείας αἴσθησιν ἀποβάλοι, ταχὺ ἂν ἀφανισθείη. — Πᾶς συγγραφεὺς ὅστις μετὰ τὸν Καίσαρα τοὺς Γαλλικοὺς πολέμους ἐπιχειρήσειε συγγράψαι, ἐκείνου ὑποδεέστερος ἂν γένοιτο. — Πᾶς νομοθέτης ὅστις δήμῳ τινὶ νόμους δοῦναι θέλοι τοῖς τε τρόποις καὶ τοῖς ἤθεσιν αὐτοῦ ἐναντίους, οὐδὲν ἂν μόνιμον πράττοι. — Πᾶς βασιλεὺς ὅστις ὑπὸ τῶν Ῥωμαίων σύμμαχος καὶ φίλος καλοῖτο, πᾶσαν ἅμα τὴν αὐτονομίαν ἀπέβαλλεν.

268ᵉ Exercice.

Emploi d'un interrogatif (*Grammaire*, § 573).

1. Ἐρῶ ὑμῖν τίς ἦν παρὰ τοῖς Ἀθηναίοις ἀρχὴ τοῦ ἀλεκτρυόνας μάχῃ συμπλέκειν. — Εἰπέ μοι ἐν τίνι χώρᾳ ὁ οὐρανὸς οὐ πλέον τριῶν πηχέων ἔχει, καὶ ἔσῃ μοι μέγας Ἀπόλλων. — Ἴστε τίνος ἕνεκα οἱ Ἕλληνες ἐπὶ τοῦ Ὀλύμπου τὴν τῶν θεῶν οἴκησιν κατέστησαν; — Ἐρώτησον αὐτὸν τίς μὲν ἐστι, τίς δ' ἡ πατρὶς, καὶ τίνες οἱ τεκόντες. — Ἄδει ὁ Σειληνὸς πῶς ὁ κόσμος πεποίηται, πῶς τὰ μὲν ὄρη ἐξέστηκε, τὰ δ' ὕδατα μέρος τι τῆς γῆς ξηρὸν λέλοιπε. — Ὦ Πέρσαι, ὦ δοῦλοι ταπεινῶς πειθαρχεῖν συνήθεις, οὔποτε μανθάνειν δυνήσεσθε πόσον τοῖς μὲν Ἕλλησιν ἅπασι, μάλιστα δὲ τοῖς Σπαρτιάταις, ἡ ἐλευθερία φίλη ἐστιν. — Οὐκ ἴσμεν τίς ἄνθρωπος τὰ διάφορα ἄστρα πρῶτος διέκρινε καὶ αὐτοῖς ὄνομα ἔθηκε.. — Μὴ ζήτει τίς σε κακῶς εἶπεν· ἀλλ' ἐξέταζε πότερον τὸ λεχθὲν ἀληθές ἐστι. — Ὦ Μοῦσα, εἰπέ μοι τίς αἰτία εἰς Ἅδου κατέῤῥιψε ψυχὰς τοσῶνδε ἀγαθῶν πολεμιστῶν. — Γράψον μοι περὶ τίνας μὲν βίβλους ἐν τῇ κατὰ σὲ ἐρημίᾳ σπουδάζεις, τίνες δὲ συγγραφεῖς μάλιστά σε ἐπιτέρπουσι, καὶ τίνα τάξιν αὐτῶν ἑκάστῳ ἀπονέμεις. — Ὁ Ἀλέξανδρος τοὺς οἰκήτορας ἐρωτᾷ πότερον αἱ στενοχωρίαι ὑπὸ τῶν Περσῶν κατελήφθησαν καὶ πῇ εἰς τὴν Κιλικίαν εἰσιέναι δυνήσεται. — Ἐνθυμήθητι ποῖον ἐκ παντὸς χρόνου τῆς Ῥωμαίων

συγκλήτου πολίτευμα γέγονε, πῶς μὲν τοὺς πολεμίους διαστῆσαι ἐσπούδασε, πῶς δὲ τοῖς ἡττημένοις ἐχρήσατο εἰς τὸ τοὺς δήμους νικᾷν τοὺς ἔτι ἀνθισταμένους.

2. Σκοπεῖ ὁ φιλόσοφος τίς μὲν ἡ τοῦ ἀνθρώπου ἀρχή, τίς δ' ἡ μοιρά ἐστι, πόθεν μὲν ἔρχεται, ποῖ δ' εἶσι, τίνος μὲν ἕνεκα ἐπὶ τῆς γῆς ἐτέθη, πῶς δ' ἂν τὰ αὐτῷ ἀποτεταγμένα ἐπιτελέσαι. — Εἰδέναι βουλοίμην ἂν τίνι ὁ δόλος καὶ ἡ βία καὶ ἡ ἀπιστία καλῶς εἰς τέλος ἀπέβησαν. — Ὁ Μάριος, τὴν Ῥώμην λιπεῖν ἀναγκασθείς, σκέπτεται ποῖ καταφεύξεται, ποῦ ἐν ἡσυχίᾳ τὸν μικρὸν ἔτι λοιπὸν τοῦ βίου χρόνον ἀποτελεῖν δυνήσεται. — Οἱ λαοὶ ἐκ πολλοῦ σε αἰτιῶνται ὅτι τῆς τῶν προγόνων ἀρετῆς καταδεέστερον σεαυτὸν παρέχεις· τῆς ἀναισθησίας τέλος ἀπαλλάχθητι, καὶ τοῖς ὑβρίζουσι δήλωσον τίς εἶ. — Μέμνησο ἀεὶ τίς εἶ. — Ὁ χρυσὸς καὶ ὁ ἄργυρος καὶ τἄλλα ἃ ἀγαθὰ νομίζεται, λυσιτελεῖν μόνῳ δύναται τῷ ἐπισταμένῳ ποῦ καὶ πῶς χρῆσθαι δεῖ. — Ἐπισκεψάσθω μὲν σπουδαίως ὁ ῥήτωρ, τί χρὴ λέγειν καὶ τί σιωπᾶν, τί διὰ πολλῶν ἐξηγεῖσθαι καὶ τί ἐπὶ κεφαλαίων μόνον διέρχεσθαι· σκοπείτω δὲ μάλιστα μεταξὺ λέγων πῶς ὑπὸ τῶν λόγων οἱ ἀκούοντες κινοῦνται. — Ἐρώτησον ἅπαντας τοὺς μεγάλους ἄνδρας ἐκείνους, τοὺς τὴν ψυχὴν ὑπὲρ τῆς πατρίδος προεμένους, πόθεν τὴν τοῦ θανάτου καταφρόνησιν ἐδέξαντο, εἰ μὴ παρὰ τῆς ἀμείνονός τινος βίου ἐλπίδος.

269ᵉ Exercice.

Suite de l'emploi d'un interrogatif.

1. Ὦ Ῥωμαῖοι, οὐκ ἀγνοοῦμεν ἥτις μὲν ἡ ὑμετέρα δύναμις, ὁπόσα δὲ τὰ ὑμέτερα τάγματά ἐστίν· ἀλλὰ καὶ τοῦτο ἴσμεν ὅ τι, σὺν τῇ τῶν θεῶν προστατείᾳ, ἡ ἀνδρεία καὶ ἡ δικαιοσύνη δύνανται. — Οὐδὲν τερπνότερον ἢ ἰδεῖν ὅπως ὁ Σωκράτης τοῖς σοφισταῖς διελέγετο καὶ αὐτοὺς ταῖς ἰδίαις αὐτῶν ἀποκρίσεσιν ἐξήλεγχεν. — Ὁρᾶτε ὁπηλίκοι ὄντες Ἀλέξανδρος, Ἀννίβας καὶ Σκιπίων ὀνομαστοὶ ἤρξαντο γενέσθαι· οὐκ ἔφθανον γὰρ ἐκ παίδων ἐξελθόντες, καὶ ἤδη μεγάλων στρατῶν ἡγοῦντο. — Ὁ ἀστρολόγος ἐρευνᾷ αἵτινες μὲν τῶν ἄστρων περίοδοί εἰσιν, ἥτις δὲ δύναμις τὰς ὑπερμεγέθεις σφαίρας κινεῖ τὰς ὑπὲρ τῶν ἡμετέρων κεφαλῶν κυλινδουμένας. — Σκέπτομαι ὁποίαν ἡδονὴν χαίρουσιν ἄνθρωποί τινες τῇ τῶν ἄλλων γνώμῃ ἀεὶ ἀντιλέγοντες. — Ἐννοεῖτε ἐξ ὁπόσου διαστήματος ὁ ἥλιος καὶ ἡ σελήνη τὸ φῶς ἡμῖν ἀφιεῖσι. — Ἅπαντες οἱ συγγράψαντες τῆς Ῥωμαίων ἀρχῆς τὰ ἔσχατα, μετ' ὀῤῥωδίας ζητοῦσιν ὁπόθεν ἐξέρχονται οἱ ἀνάριθμοι βάρβαροι ἐκεῖνοι, ἀθρόοι ἐπὶ τοῦ Ῥήνου καὶ τοῦ Δανουβίου ἐπιγιγνόμενοι. — Ὁ ἀρότης σπουδῇ ἐπισκοπεῖ ὁποῖα φυτὰ τῇ γῇ τῇ γεωργουμένῃ ἄριστα προσήκει. — Αἰσχρόν ἐστιν ἀγνοεῖν ἐξ ὁποίων χωρῶν ταῦτα γίγνεται οἷς καθ' ἑκάστην ἡμέραν χρώμεθα. — Τοῦ λύκου εἰς ἔριν τὸν ἀμνὸν παρα-

καλουμένου, οὐ χαλεπόν ἐστι τεκμαίρεσθαι ἥτις ἡ τῆς ἀντιλογίας τελευτὴ ἔσται. — Θαύμασον μεθ' ὁποίας μὲν δεινότητος ὁ τεχνίτης πάντα τὰ τῆς γραφῆς μέρη διέταξεν, ὅπως δὲ τὰ διάφορα πάθη τοῖς τῶν προσώπων σχήμασιν ἐμφαίνεται. — Ἐννοεῖτε ὁποῖον εἰκός ἐστι γενέσθαι τοῖς τὸν νέον κόσμον ἐνοικοῦσι θαῦμα, ὅτ' εἶδον ἀνθρώπους καταφράκτους μὲν, ὠκέων δὲ καὶ εὐηνίων ὑπηρετῶν ἐπιβεβηκότας, καὶ μακρὰν τὸν κεραυνὸν καὶ ἅμα τὸν θάνατον βάλλοντας.

2. Οὐκ ἀγνοεῖς ὁποίαν δύναμιν ἡ θρησκεία ἐν τῇ Ῥώμῃ εἶχεν. — Διδάσκει ἡμᾶς ὁ Ξενοφῶν ὅπως οἱ νέοι Πέρσαι ἀπὸ τῶν ἐννέα ἐτῶν ἐπαιδεύοντο. — Θαυμάζω μὲν ὁποῖα ἀνδρείας καὶ τόλμης καὶ φρονήσεως καὶ ἐμπειρίας τεκμήρια ὁ Μάριος ἔδωκεν ἐν ἅπασι τοῖς πολέμοις ἐφ' οὓς ἐτάχθη· ἐπιλανθάνεσθαι δ' οὐ δύναμαι ὁποίαις μὲν μηχαναῖς, ὁποίᾳ δ' εἰς τὸν Μέτελλον, εὐεργέτην γενόμενον, ἀγνωμοσύνῃ τῆς πρώτης ὑπατείας ἐφίκετο. — Εἰ βούλει γνῶναι ὁποίοις ἄλγεσιν ἡ τοῦ φιλοτίμου ψυχὴ σπαράσσεται, ὅρα τὸν Μάριον τὰς μὲν μεγίστας τιμὰς καρπωσάμενον, ἧττον δὲ ταῖς ἑαυτοῦ ὑπατείαις καὶ τοῖς θριάμβοις χαίροντα ἢ τῇ ἀρχομένῃ τοῦ Σύλλα δόξῃ λυπούμενον. — Ὁ ἄνθρωπος οὔποθ' ἱκανῶς αἰσθήσεται ὁπόσα μὲν ἀγαθὰ εἴργασται αὐτὸν ὁ Θεὸς, μετ' ὁποίας δὲ ἀγαθότητος ἁπασῶν τῶν αὐτοῦ ἐνδειῶν πρόνοιαν πεποίηται. — Ἆρ' ἴστε ὅ τι μάλιστα τὸν Ἰουγούρθαν εἰς Ῥώμην ἀπολογίας ἕνεκα ἐλθόντα ἐξέπληξεν; Ἡ τῶν δυνατῶν τε καὶ τοῦ δήμου δωροδοκία. — Ἅπαντες μὲν τὸ τῶν βομβύκων ἔργον εἶδον· ἆρ' οὖν ἐνίοτε ἐφράσασθε ὅστις μὲν αὐτοὺς ἐδίδαξε λίνον ποιεῖν οὕτω λεπτὸν καὶ στεῤῥὸν καὶ ὁμαλὸν καὶ φαιδρὸν καὶ συνεχὲς, ὅπου δὲ ὕλην εὑρίσκουσι τούτου τοῦ λίνου τιμιωτέραν, ὅπως δὲ εἰς χρυσᾶ νήματα φύλλου ὀπὸν μεταβάλλουσιν; — Οἱ πεπαιδευμένοι ἀγνοοῦσιν ἥτις ἦν ἡ τοῦ Ἑλληνικοῦ πυρὸς σύνθεσις.

270e Exercice.

Suite de l'emploi d'un interrogatif (*Grammaire*, § 574).

Ἠρώτων τινὲς τὸν Δημώνακτα θνήσκοντα πῶς ταφῆναι βούλεται· « Μὴ φροντίζετε τούτου, ἔφη· τοῖς γὰρ κυσὶ μελήσει. » — Ἐρωτῶντός τινος τὸν Ἆγιδα πόσοι οἱ Σπαρτιᾶταί εἰσι· « Τοῦτ', ἀπεκρίνατο, πρὸς τῶν ἡμετέρων πολεμίων πυνθάνου. » — Τηλέμαχος καὶ Ἰδομενεὺς οὐχ ἱκανῶς θαυμάζειν ἠδύναντο πῶς ὁ Μέντωρ οὕτω ταχέως τὰς τῶν συμμάχων γνώμας μετέβαλε. — Οἱ πρῶτοι φιλόσοφοι, τῆς περὶ τὸν ἄνθρωπον σπουδῆς ὀλιγωροῦντες, ἠρεύνων τίνες αἱ τοῦ κόσμου ἀρχαί εἰσι. — Οἱ Ῥωμαῖοι ὑπὸ τῶν πετρῶν ἐκ τοῦ ὄρους κυλινδομένων συντριβόμενοι, μάτην ἐζήτουν ποῦ εἰσιν οἱ πολέμιοι. — Οἱ παλαιοὶ οὐχ ὑπενόουν ὡς μικρὸν τῆς γῆς μέρος γιγνώσκουσι. — Ἐν τῇ Ῥώμῃ ἡ σύγκλητος μόνη ἔτασσε πῶς μὲν τοὺς τῶν

ἀλλοδαπῶν δήμων ἢ βασιλέων πρεσβευτὰς χρὴ δέχεσθαι, τίνα δ' ἀπόκρισιν ποιεῖσθαι πρέπει, καὶ πότερον φίλοις ἢ πολεμίοις χρῆσθαι δεῖ. — Οἱ Ῥωμαῖοι ἀγνοοῦντες τί τῶν ἐλεφάντων ὄνομά ἐστι, Λευκανικὰς βοῦς προσηγόρευσαν. — Ὁ Ἀννίβας θαυμάσας καὶ φοβηθεὶς ἐφράζετο πῶς οἱ Ῥωμαῖοι σὺν τοσαύτῃ μὲν καρτερίᾳ τὰς μεγίστας ἥσσας φέρουσιν, οὕτω δὲ ῥᾳδίως καὶ ταχέως στρατοὺς συνάγουσι πλείους τῶν ὀλωλότων. — Ἠρώτα τις τὸν Αἰσχίνην, Σωκράτους μαθητὴν ὄντα, τί οὐδὲν λέγει· « Παρὰ Σωκράτει γάρ, ἔφη, οὐ μόνον λέγειν, ἀλλὰ καὶ σιωπᾶν ἔμαθον. »

271ᵉ Exercice.

Suite de l'emploi d'un interrogatif.

Ἐρωτηθεὶς ὁ Δημῶναξ πότε φιλοσοφεῖν ἄρξαιτο· « Ὅτε, ἔφη, ἐμαυτὸν γιγνώσκειν ἠρξάμην. » — Οἱ συνωμόται ἀποροῦντες τίνα αὐτοκράτορα προσαγορεύοιεν, τὸν Κλαύδιον παραπετάσματι κρυπτόμενον ἐξεῦρον. — Ἐπύθετο ὁ Ἄννων πῶς ὁ Ἀννίβας ἀνδρῶν καὶ ἀργυρίου νικήσας, ὡσεὶ ἡττηθείς, δέοιτο. — Ὁ Δημοκράτης κλέπτην τινὰ τὴν ἐπὶ θανάτῳ ἀγόμενον ἠρώτησε τί μικρὰ καὶ οὐ μεγάλα ὑφέλοιτο· τότε γὰρ τοὺς ἄλλους αὐτὸς ἀγάγοι ἄν. — Ἐπυνθάνετο ὁ Σωκράτης τί τοσοῦτοι μὲν φάσκοιεν τὴν φιλίαν τῶν ἀγαθῶν μέγιστον εἶναι, μάλα δ' ὀλίγοι φίλους κτᾶσθαι φροντίζοιεν. — Οἱ Πυθαγορικοὶ καθ' ἑκάστην ἑσπέραν ἐξήταζον τί παρὰ τὴν ἡμέραν ἢ πράξαιεν ἢ φράσαιεν ἢ ἀκούσαιεν. — Οὐ μόνον αἱ Ἑλληνίδες πόλεις, ἀλλὰ καὶ ἅπαντες οἱ τῆς οἰκουμένης λαοί, συμφορᾷ τινι πληγέντες, εἰς Δελφοὺς ἔπεμπον χρησόμενοι τί τοῖς κακοῖς φάρμακον εἴη καὶ πῶς τοὺς θεοὺς ἱλάσασθαι δυνήσοιντο. — Ἐρωτῶντος τὸν Διογένην τινὸς πῶς ἐχθρὸν τιμωρήσασθαι δύναιτο· « Γιγνόμενος αὐτὸς ἀγαθὸς καὶ χρηστός, » ἔφη. — Οἱ τρεῖς ζητοῦντες πῶς τῆς τοῦ Κάτωνος παρουσίας τε καὶ ἀντιλογίας ἀπαλλαγείησαν, αὐτὸν εἰς τὴν νῆσον Κύπρον ἀπέταξαν, τότε βασιλέως δεομένην. — Οἱ ἄριστοι τοῦ Ἀλεξάνδρου φίλοι ἠμφισβήτουν τί, τοὺς τῆς πατρίδος τρόπους αἰσχυνόμενος, τὰ τῶν ἡττημένων λαῶν ἔθη παραλάβοι.

FIN DE LA PREMIÈRE PARTIE.

TABLE DES MATIÈRES

DE LA PREMIÈRE PARTIE.

ÉLÉMENTS DU LANGAGE.

SYNTAXE.

FIN DE LA TABLE DE LA PREMIÈRE PARTIE.

Paris. — Imprimerie de Ch. Lahure, rue de Fleurus, 9.

CORRIGÉ
DES EXERCICES
SUR LE COURS COMPLET
DE GRAMMAIRE GRECQUE.

DEUXIÈME PARTIE.

ÉLÉMENTS DU LANGAGE.

1er Exercice.

Première déclinaison : observations particulières sur les noms féminins (*Grammaire*, p. 16 et 17).

Τῆς δύνης. — Τῇ Τερψιχόρῃ. — Ἔρση ou ἕρση. — Τὴν ἀθάρην ou τὴν ἀθάραν. — Τῆς σιπύης ou τῆς σιπύας. — Τὴν ἐγγύην. — Τῆς κόρης. — Τῇ ἄσῃ. — Τῆς ῥοῆς. — Τὴν αἴθρην. — Τῆς κόῤῥης. — Τῇ φθόῃ. — Τὴν σιπύην ou τὴν σιπύαν.

2e Exercice.

Suite des observations particulières sur les noms féminins.

Τῇ σκανδάλᾳ. — Τῇ Ἀνδρομέδᾳ. — Τῆς Ἀθηνᾶς. — Τῇ Λήδᾳ. — Τῆς μνᾶς. — Τῆς ἐπίβδας. — Τῆς Φιλομήλας. — Τῇ ἀλαλᾷ. — Τῆς Λήδας. — Τῆς σκανδάλας. — Τῇ μνᾷ. — Τῇ Ἀθηνᾷ. — Τῆς Ἀνδρομέδας.

3e Exercice.

Observations particulières sur les noms masculins (*Grammaire*, p. 17 et 18).

Τοῦ Σύλλα. — Τὸν γύην. — Τοῦ ὀρνιθοθήρα. — Τοῦ Ἀσδρούβα. — Τοῦ Θάλεω. — Χοσρόη. — Τοῦ πατραλοία. — Τοῦ Ὕλα. — Τῷ γύῃ.

— Τοῦ Γύγεω. — Τοῦ μητραλοία. — Τοῦ Νουμᾶ. — Τοῦ Ἀννίβα. — Τοῦ Τήρεω. — Τοῦ Ἀγρίππα.

4ᵉ Exercice.

Deuxième déclinaison : irrégularités dans le genre des noms de la deuxième déclinaison (*Grammaire*, p. 19).

Ὁ δεσμός. — Τὰ σῖτα. — Ὁ νῶτος. — Ὁ σῖτος. — Τὰ δεσμά (rarement οἱ δεσμοί). — Τὰ Τάρταρα. — Τὰ νῶτα. — Ὁ Τάρταρος. — Τὸν σταθμόν. — Ὁ Πέργαμος. — Τὰ δίφρα (en prose οἱ δίφροι). — Τὸν λύχνον. — Οἱ σταθμοί (quelquefois τὰ σταθμά). — Ὁ δίφρος. — Τὰ Πέργαμα. — Τὰ λύχνα (en prose οἱ λύχνοι).

5ᵉ Exercice.

Observations sur les noms attiques (*Grammaire*, p. 21).

Τὸν ταών ou τὸν ταώ. — Τὴν ἕω. — Τὸν κάλων ou τὸν κάλω. — Κών ou Κώ. — Τὸν νεών ou τὸν νεώ. — Τέων ou Τέω. — Τὴν ἅλω. — Κέων ou Κέω. — Μενέλεων ou Μενέλεω. — Τὸν λεών ou τὸν λεώ. — Μίνων ou Μίνω.

6ᵉ Exercice.

Troisième déclinaison : observations particulières sur le vocatif singulier (*Grammaire*, p. 24 et 25).

Σῶτερ. — Τάλαν. — Πόσειδον. — Πολυδάμα. — Αἶαν. — Ἄτλα.

7ᵉ Exercice.

Observations particulières sur l'accusatif singulier (*Grammaire*, p. 25).

Τὴν κόρυθα ou τὴν κόρυν. — Τὴν κλεῖδα ou τὴν κλεῖν. — Τὸν πολύποδα ou τὸν πολύπουν. — Τὴν χάριτα ou τὴν χάριν. — Τὸν ἔπηλυδα ou τὸν ἔπηλυν. — Τὴν τίγριδα ou τὴν τίγριν. — Τὸν ὄρνιθα ou τὸν ὄρνιν. — Τὴν ἔριδα ou τὴν ἔριν. — Τὸν δίποδα ou τὸν δίπουν.

8ᵉ Exercice.

Manière de remonter du génitif au nominatif (*Grammaire*, p. 26 et 27).

Τὸ πνεῦμα. — Ἡ ἀσπίς. — Ἡ Σφίγξ. — Τὸ ὕδωρ. — Ὁ κρατήρ. — Ἡ νύξ. — Ὁ χειμών. — Ἡ φάρυγξ. — Ἡ σταγών. — Ἡ ἴς. — Ὁ δελφίς (ou ὁ δελφίν). — Ὁ μνηστήρ. — Ὁ μύρμηξ. — Ὁ θώς. — Ὁ ἐλέφας. — Τὸ οὖς. — Ἡ τυραννίς. — Ὁ Ἕκτωρ. — Ὁ θεράπων. — Ἡ ὄμφαξ. — Ὁ αὐτόχθων. — Ὁ ὄρυξ. — Ἡ ὀφρύς. — Ὁ μύωψ. — Ἡ φάραγξ. — Ὁ Πέλοψ. — Ἡ φαλακρότης. — Τὸ γόνυ. — Ἡ στρίγξ. — Ἡ λαῖλαψ.

9e Exercice.

Noms irrégulier en ηρ (*Grammaire*, p. 27).

Τῆς μητρός. — Τοῖς ἀνδράσι. — Δήμητερ. — Τοὺς πατέρας. — Τῶν γαστέρων. — Τοῦ ἀστέρος. — Ἄνερ. — Τὴν Δημήτερα ou Δήμητρα (attiquement, τὴν Δήμητραν). — Ταῖς μητράσι. — Τῇ θυγατρί. — Τῆς γαστρός. — Τὴν θυγατέρα (quelquefois θύγατρα). — Τῶν ἀνδρῶν. — Τοῦ πατρός. — Τὰς θυγατέρας. — Τῆς Δήμητρος. — Ταῖς γαστράσι (anciennement γαστῆρσι). — Τῆς θυγατρός. — Τῶν πατέρων. — Τοῖς ἀστράσι. — Τῇ μητρί. — Τὸν ἄνδρα. — Μῆτερ. — Τὴν γαστέρα.

10e Exercice.

Noms contractes : noms propres en ης de la troisième déclinaison contracte, et en κλῆς pour κλέης (*Grammaire*, p. 32 et 33).

Τὸν Ἀριστοφάνη ou Ἀριστοφάνην. — Τοῦ Σοφοκλέους. — Τῷ Περικλεῖ. — Σώκρατες. — Τοῦ Θεμιστοκλέους. — Τὸν Σωκράτη ou Σωκράτην. — Τῷ Ἀγαθοκλεῖ. — Τὸν Θεμιστοκλέα (rarement Θεμιστοκλῆ, plus rarement Θεμιστοκλῆν). — Τὸν Ἀρχιμήδη ou Ἀρχιμήδην. — Ἀγαθόκλεις. — Ἀριστότελες. — Τῷ Σοφοκλεῖ. — Τὸν Ἀριστοτέλη ou Ἀριστοτέλην. — Τοῦ Ἀγαθοκλέους. — Περίκλεις.

11e Exercice.

Observations sur les noms neutres en ος et en εος de la troisième déclinaison contracte (*Grammaire*, p. 33).

Τὰ σπέα. — Τῶν ὀρῶν ou ὀρέων. — Τὰ χρέα. — Τῶν ἀνθέων (rarement ἀνθῶν). — Τῶν ἐθνῶν ou ἐθνέων. — Τὰ κλέα. — Τῶν νεικῶν ou νεικέων.

12e Exercice.

Noms neutres en ες (*Grammaire*, p. 33).

Τὸ νηπενθές. — Τὸ κακόηθες. — Τοῦ ἀκριβοῦς. — Τοῦ νηπενθοῦς. — Τὸ ἀκριβές. — Τῷ κακοήθει.

13e Exercice.

Noms en ις qui font ιος au génitif (*Grammaire*, p. 34 et 35).

Τοῦ πόσιος. — Αἱ τίγρεις ou αἱ τίγριδες. — Τῇ δήρει. — Τῆς μήνιος. — Οἱ πόσεις. — Τὸν γλάνιν. — Τῶν τιγρίων ou τιγρέων ou τιγρίδων. — Αἱ τύρσεις. — Τῆς τίγριος ou τίγριδος. — Τοῦ γλάνιος. — Τὴν μῆνιν. — Μαγάδιος. — Τὴν τύρσιν. — Τῆς δήριος. — Τῇ τύρσει. — Τῶν μαγαδίων ou μαγαδέων. — Τὴν δῆριν.

14ᵉ Exercice.

Noms en εύς dont la terminaison est précédée d'une voyelle ou d'une diphthongue. — Déclinaison du nom ἁλιεύς (*Grammaire*, p. 37).

Τὸν χοᾶ. — Τοῦ Πειραιῶς. — Τῶν Πλαταιῶν. — Τοὺς ἁλιεῖς. — Οἱ Εὐβοεῖς. — Τοῦ ἁλιέως. — Τῶν χοῶν. — Τὸν ἁλιέα. — Τοῖς Παιανιεῦσι. — Τοῦ Πλαταιῶς. — Τῶν ἁλιέων. — Τὸν Εὐβοᾶ. — Τὸν Πειραιᾶ. — Τοῦ Παιανιῶς.

15ᵉ Exercice.

Noms féminins en ων qui se déclinent irrégulièrement à certains cas. — Noms des dieux Ἀπόλλων et Ποσειδῶν (*Grammaire*, p. 38).

Τῆς ἀηδόνος ou ἀηδοῦς. — Ποσειδῶνα ou Ποσειδῶ. — Τῇ εἰκόνι ou εἰκοῖ. — Αἱ χελιδόνες. — Τοῦ Ποσειδῶνος. — Τῆς εἰκόνος (quelquefois εἰκοῦς). — Τὸν Ἀπόλλωνα ou Ἀπόλλω. — Τὰς ἀηδόνας ou ἀηδοῦς. — Τῆς χελιδόνος ou χελιδοῦς. — Τῇ ἀηδόνι ou ἀηδοῖ. — Τῇ χελιδόνι ou χελιδοῖ.

16ᵉ Exercice.

Noms neutres poétiques en ας qui se déclinent sur τεῖχος (*Grammaire*, p. 38).

Τοῦ κνέφους. — Τοῖς βρέτεσι. — Τοῦ οὔδατος. — Τῷ κνέφει. — Τῷ οὔδει. — Τοῦ βρέτους. — Τοῦ κώεος. — Τῷ κώει. — Τὰ βρέτη. — Τοῦ τέρατος.

17ᵉ Exercice.

Noms irréguliers de la deuxième déclinaison (*Grammaire*, p. 39).

Τῷ Ἰησοῦ. — Τοῦ νοῦ (quelquefois νοός). — Τὸν Ἰησοῦν. — Τῷ νῷ (quelquefois νοΐ). — Τοῦ Ἰησοῦ. — Ἰησοῦ.

18ᵉ Exercice.

Noms irréguliers de la troisième déclinaison (*Grammaire*, p. 39 et 40).

Γύναι. — Αἱ οἴες ou οἶς. — Τοῦ βοός. — Τοῦ Διός. — Ταῖς χερσί. — Τῆς νεώς. — Τῶν γραῶν. — Ταῖς γυναιξί. — Τοὺς βοῦς. — Χεροῖν. — Τοῦ σεός ou σητός. — Τὰς οἴας ou οἶς. — Τὰς νοῦς. — Γραῦ. — Ζεῦ. — Τοῖς κυσί. — Τοῦ δόρατος. — Τὸν βοῦν. — Γραῦ. — Τῷ σητί. — Τῶν βοῶν. — Τῆς γυναικός. — Τὰς κλεῖδας ou κλεῖς. — Τῶν οἰῶν. — Τῷ δόρατι (poét. δορί). — Τῇ νηΐ. — Τὸν σέα ou σῆτα. — Γραοῖν. — Τῷ Διΐ.

19ᵉ Exercice.

Noms qui suivent plusieurs déclinaisons à la fois (*Grammaire*, p. 40 et 41).

Τῇ ἅλῳ ou ἅλωνι. — Τῷ υἱῷ ou υἱεῖ. — Τοῦ μύκητος ou μύκου. — Τοῖς δένδροις ou δένδρεσι. — Τοῦ ταώ ou ταῶνος. — Τῆς γάλω ou

γάλωος. — Τοῖς δακρύοις ou δάκρυσι. — Τὼ υἱώ ou υἱέε. — Τοὺς κλάδους (poét. κλάδας). — Τῆς ἅλω ou ἅλωος ou ἅλωνος. — Τῷ κλάδῳ (poét. κλαδί). — Τοῖς υἱοῖς ou υἱέσι. — Τοῦ πάτρω ou πάτρωος. — Τοὺς υἱούς ou υἱέας ou υἱεῖς. — Τοῖς κλάδοις (poét. κλάδεσι). — Τῶν υἱῶν ou υἱέων. — Τὸν κλάδον (poét. κλάδα).

20e Exercice.

Noms défectifs (*Grammaire*, p. 41).

Τὸ ὕπαρ (nom. et acc.). — Οἱ Ἐτησίαι, τῶν Ἐτησίων, τοῖς Ἐτησίαις, τοὺς Ἐτησίας. — Τῆς στιχός, αἱ στίχες, τὰς στίχας. — Τοῦ ἀρνός, τῷ ἀρνί, τὸν ἄρνα, οἱ ἄρνες, τῶν ἀρνῶν, τοῖς ἀρνάσι, τοὺς ἄρνας. — Τῆς μάλης, τὴν μάλην. — Ὁ λῖς, τὸν λῖν, οἱ λίες, τοῖς λίεσσι. — Τὸ δέμας (nom. et acc.). — Τὸ χρεών (nom. et acc.), τοῦ χρεών. — Τὸ γῆρας, τοῦ γήρως, τῷ γήρᾳ, τὸ γῆρας. — Τὸ ἦδος ou ἧδος (nom. et acc.).

21e Exercice.

Noms indéclinables (*Grammaire*, p. 42).

Τοῦ ὠμέγα. — Τῷ Γαβριήλ. — Τῆς Ἐλισαβέτ. — Τοῦ ὑψιλόν. — Τῇ Ναζαρέτ. — Τὸ γάμμα. — Τῇ Ἐλισαβέτ. — Τῷ Ἰακώβ. — Τοῦ Πάσχα. — Γαβριήλ.

22e Exercice.

Adjectifs irréguliers : déclinaison des adjectifs πρᾶος, *doux*, ἴδρις, *savant*, νῆστις, *qui est à jeun* (*Grammaire*, p. 53 et 54).

Τῆς πραείας. — Τοῦ ἴδριος. — Τοῖς πραέσι. — Νῆστις. — Τοὺς πράους ou πραεῖς. — Ἴδριν (rarement ἴδριδα). — Οἱ νήστιες ou νήστεις ou νήστιδες. — Τῶν πραέων. — Τῆς ἴδριος. — Οἱ πρᾶοι ou πραεῖς. — Τῇ νήστιδι. — Τὰ πραέα. — Πραεῖαι. — Τὸ πρᾶον.

23e Exercice.

Irrégularités dans les degrés de comparaison (*Grammaire*, p. 57 et suivantes).

Τοῦ αἰδοιοτέρου ou αἰδοιεστέρου. — Σπουδαιέστατον. — Τὰ ἀφθονώτερα ou ἀφθονέστερα. — Τὴν λαλίστην. — Τὰ αἰδοιότατα ou αἰδοιέστατα. — Κακηγοριστάτῳ. — Ἀσμενεστάτου (et ἀσμεναιτάτου). — Ταῖς ἀσμενεστέραις. — Τῷ πτωχιστέρῳ. — Τὰ ἀφθονώτατα. — Τὼ ἐῤῥωμενεστάτω. — Τῷ ὀψοφαγιστάτῳ. — Κακηγοριστάτη.

24e Exercice.

Suite des irrégularités dans les degrés de comparaison.

Τῆς ἡσυχαιτέρας. — Τὰ στενότατα. — Τοῖς γεραιοτέροις et γεραιτέροις. — Κενότατον. — Τὰ ὀψιαίτατα ou ὀψιέστατα. — Τὸν ἡσυχαίτατον. — Εὐδιαιτέρα. — Ἡ πρωϊαιτάτη. — Τὰ ἰδιώτατα ou ἰδιαίτατα. — Μεσαίτερον, μεσαίτατον. — Τὰ παλαιότατα ou παλαίτατα. — Οἱ φιλαίτατοι ou φίλτατοι (rarement φιλώτατοι). — Πρωϊαιτέρῳ. — Ἡ σχολαιοτάτη ou σχολαιτάτη, σχολαιοτέρα ou σχολαιτέρα. — Τῶν σπανιωτάτων ou σπανιαιτάτων. — Τὰ ἀθρούστατα ou ἀθροώτατα. — Τῶν εὐπνουστέρων ou εὐπνοωτέρων. — Σπανιώτερον ou σπανιαίτερον. — Τὰ εὐροώτατα. — Τὸ πορφυρώτερον, πορφυρώτατον. — Τῇ ταλαντάτῃ καὶ πενεστάτῃ. — Τοὺς πιστάτους. — Μελάντερον. — Πεπαίτερα. — Οἱ ψευδέστατοι ou ψευδίστατοι. — Τὰ πεπαίτατα. — Τερενώτερα. — Πενεστάτη. — Πιοτέρα. — Τοὺς μελαντάτους.

25e Exercice.

Suite des irrégularités dans les degrés de comparaison.

1. Γλυκύτερος (quelquefois γλυκίων), γλυκύτατος. — Ἡδίων (rarement ἡδύτερος), ἥδιστος. — Βραδύτερος (rarement βραδίων), βραδύτατος (rarement βράδιστος). — Παχύτερος ou παχίων, παχύτατος ou πάχιστος. — Βαθύτερος (rarement βαθίων), βαθύτατος (rarement βάθιστος). — Πλείων, πλεῖστος. — Ἐχθρότερος ou ἐχθίων, ἐχθρότατος ou ἔχθιστος. — Ὑψηλότερος (poét. ὑψίων), ὑψηλότατος ou ὕψιστος. — Οἰκτρότερος, οἰκτρότατος ou οἴκτιστος. — Ῥᾴων (rarement ῥᾳδιώτερος ou ῥᾳδιέστερος), ῥᾷστος. — Μακρότερος (poét. μάσσων), μακρότατος ou μήκιστος. — Ἀλγεινότερος (quelquefois ἀλγίων), ἀλγεινότατος (quelquefois ἄλγιστος). — Μείων ou ἐλάσσων (rarement ὀλιγώτερος), ὀλίγιστος ou ἐλάχιστος. — Κυδίων, κύδιστος. — Αὐτότατος.

2. Κερδίων, κέρδιστος. — Κλεπτίστατος. — Βλακίστερος, βλακίστατος. — Ἁρπαγίστερος, ἁρπαγίστατος. — Πλεονεκτίστατος.

3. Πρότερος, πρῶτος. — Ἐξώτερος, ἐξώτατος. — Προσώτερος, προσώτατος. — Ἐξώτερος, ἐξώτατος. — Ὑπέρτερος, ὑπέρτατος. — Ἐγγύτερος, ἐγγύτατος. — Ἐνδότερος, ἐνδότατος. — Ἐξώτερος, ἐξώτατος.

26e Exercice.

Adjectifs démonstratifs (*Grammaire*, p. 69).

1. Οὑτοσί, αὑτηΐ, τουτί, *celui-ci*, *celle-ci*, *ceci*.

1. Τουτῳΐ. — Τουτί. — Ταυτησί. — Ταυτηΐ. — Ταυτηνί. — Ταυτί. — Τουτουΐ. — Αὑτηΐ. — Τουτονί. — Τουτωνί. — Τουτοισί.

2. Ὁδί, ἡδί, τοδί, *celui-ci*, *celle-ci*, *ceci*.

2. Τουδί. — Ταδί. — Τοισδί. — Τονδί. — Τοδί. — Τασδί. — Τουδί. — Τοδί. — Τηδί. — Τηνδί. — Ταισδί.

3. Ἐκεινοσί, *celui-là*.

3. Ἐκεινουσί. — Ἐκεινουΐ. — Ἐκεινοισί. — Ἐκεινῳΐ. — Ἐκεινωνί. — Ἐκεινοσί.

27e Exercice.

Adjectifs indéfinis (*Grammaire*, p. 75).

Ἅτερος, ἀτέρα, θάτερον, *l'un des deux*.

Θατέρῳ. — Θάτερον. — Θατέρας. — Θατέρου. — Ἅτερος. — Θατέρου. — Θατέρῳ.

28e Exercice.

Observations sur les adjectifs cardinaux et ordinaux (*Grammaire*, p. 81).

Δέκα καὶ ἑκατόν (ou ἑκατὸν δέκα). — Τέταρτος καὶ εἰκοστός (ou εἰκοστὸς τέταρτος). — Τρεῖς καὶ τριάκοντα (ou τριάκοντα τρεῖς). — Δεύτερος καὶ ἐνενηκοστός (ou ἐνενηκοστὸς δεύτερος). — Εἴκοσι καὶ ἑξακόσιοι καὶ χίλιοι (ou χίλιοι ἑξακόσιοι εἴκοσι). — Ὀκτὼ καὶ τεσσαράκοντα (ou τεσσαράκοντα ὀκτώ). — Ἔννατος καὶ ἑβδομηκοστὸς καὶ ἑκατοστός (ou ἑκατοστὸς ἑβδομηκοστὸς ἔννατος). — Ἑπτακαίδεκα καὶ ὀκτακόσιοι (ou ὀκτακόσιοι καὶ ἑπτακαίδεκα). — Ὀκτὼ καὶ ἐννακόσιοι (ou ἐννακόσιοι ὀκτώ). — Πρῶτος καὶ διακοσιοστός (ou διακοσιοστὸς πρῶτος). — Τρεῖς καὶ εἴκοσι καὶ ἑκατόν (ou ἑκατὸν εἴκοσι τρεῖς). — Πτολεμαῖος ὁ πέμπτος. — Δέκα ὧραι. — Δύο καὶ ἑκατὸν (ou ἑκατὸν δύο). — Ἀντίοχος ὁ τρίτος. — Τὸ δωδέκατον ἔτος. — Φίλιππος ὁ δεύτερος. — Τὸ πρῶτον καὶ πεντηκοστὸν καὶ διακοσιοστὸν καὶ χιλιοστὸν ἔτος (ou τὸ χιλιοστὸν διακοσιοστὸν πεντηκοστὸν πρῶτον ἔτος).

29e Exercice.

Observations sur les règles de l'augment (*Grammaire*, p. 108 et suivantes).

Εἵπετο. — Εἶδε. — Ἐβούλου (ou ἠβούλου). — Εἴασε. — Ἑωρτάζομεν. — Εἶσα. — Εἴρυες. — Ἐδύνατο (ou ἠδύνατο). — Ἴδω. — Εἰργασάμην. — Εἴχομεν. — Εἱστίασε. — Ἰδών. — Οἰάκιζες. — Ὠδαίνομεν ou οἰδαίνομεν. — Εὔχετο (att. ηὔχετο). — Οἰωνίζου. — Εἰκάζομεν (att. ᾐκάζομεν). — Ἔμελλον (ou ἤμελλον). — Εἴθισε. — Εἵλιξαν. — Εἵπεσθε. — Εἷρπες. — Ἑώρα. — Ἐωθοῦμεν. — Εἴχετε. — Εἶσας. — Ὠμώζομεν ou οἰμώζομεν. — Ἕαξε. — Ἑάλως. — Ἀνεῴξαμεν ou ἠνοίξαμεν. — Ἐώθει. — Οἰνώσατε. — Ἐωνεῖτο. — Ἀνέῳγες ou ἤνοιγες.

30ᵉ Exercice.

Observations sur les règles du redoublement (*Grammaire*, p. 110 et suivantes).

Πέπτωκε. — Ἔγναμπται. — Ἐμνημόνευκα. — Κεκτήμεθα. — Βεβλαστήκασι ou ἐβλαστήκασι. — Πεπέτασμαι. — Ἐγνώκατε. — Εἰλήφασι. — Εἵμαρται. — Γέγλυπται ou ἔγλυπται. — Εἰλήχαμεν. — Εἴλοχας. — Ἑστήκεισαν ou εἱστήκεισαν.

31ᵉ Exercice.

Redoublement attique (*Grammaire*, p. 112 et 113).

Ἐνηνέγκω. — Ἀγηγέρκειτε. — Ἐγηγερκώς. — Ἠγάγομεν. — Ἀκήκοε. — Ἀλήλιφας. — Ὀρωρύχεισαν. — Ἀρηροκυῖα. — Ὀρώρυκται. — Ἐληλάκαμεν. — Ἐληλαμένος. — Ἀγηγερκέναι. — Ἀγάγωσι. — Ὀρωρυγμένος ᾖ. — Ἐγηγερμένοι. — Ἤγαγε.

32ᵉ Exercice.

Observations sur la place de l'augment et du redoublement dans les verbes composés (*Grammaire*, p. 113).

Ἐδυσπόρουν. — Εὐλαβούμην (ou ηὐλαβούμην). — Ἐδυσπάθουν. — Δυσήχθουν. — Εὐηγγέλιζον. — Εὔθυνον. — Ἐτεκνοποίουν. — Ἐψευδοϊστόρουν. — Ἐχαλκοτύπουν. — Ἐλιθοκόπουν. — Ὠκοδεσπότουν. — Εὐημέρουν. — Δυσηλπίστουν.

33ᵉ Exercice.

Observations sur l'optatif des verbes contractes, forme éolienne (*Grammaire*, p. 128 et 129).

Ἐπιχειροίη. — Θρυλλοίης. — Καταφρονοῖεν. — Ἐρωτῴην. — Νικῴης. — Βοηθοίημεν (mieux βοηθοῖμεν). — Κενοίη. — Πολεμοίητε (mieux πολεμοῖτε). — Φοβοίην. — Χρυσοίημεν (mieux χρυσοῖμεν). — Ἐρωτοῖεν. — Πολεμοίης. — Ἀπατῴην. — Νικῳήτην (mieux νικῴτην). — Θρυλλοίητον (mieux θρυλλοῖτον). — Ἀπατῴη.

34ᵉ Exercice.

Formes qui se contractent quelquefois dans les verbes τίθημι et δίδωμι (*Grammaire*, p. 169 et suivantes).

Ἐτίθεις. — Ἐδίδουν. — Ἐκτίθῃ. — Ἀπόδου. — Ἀπετίθει. — Ὑπετίθουν. — Ἀντετίθου. — Ὑπετίθουν. — Διεδίδουν. — Ἐκτίθου. — Ὑπερετίθουν.

35ᵉ Exercice.

Aoristes seconds irréguliers se rapportant aux verbes en μι (*Grammaire*, p. 173 et suivantes).

Σϐῆθι. — Γνῶναι. — Ἔδυς. — Γνούς. — Ἔϐημεν. — Γνῶθι. — Βαίημεν. — Δῦσα. — Ἔγνων. — Βῶ. — Ἔσϐησαν. — Βήτων. — Ἔδυσαν. — Ἔγνωτε. — Σϐέν. — Ἔγνωσαν. — Βάντες. — Σϐείη. — Δῦθι. — Γνοίης. — Βῆναι. — Ἐδύτην. — Δῦναι. — Γνῶτον. — Σϐῆναι. — Ἔϐη.

36ᵉ Exercice.

Conjugaison du verbe ἀμφιέννυμι, *vêtir*, sur le verbe ἕννυμι (*Grammaire*, p. 186 et suivantes).

Ἀμφιέσων. — Ἀμφιέννυς. — Ἀμφιεννύοιτο. — Ἀμφιέσασθαι. — Ἀμφιεννῦσι. — Ἀμφιεῖσα. — Ἀμφιεσθησόμενος. — Ἠμφίεσαι. — Ἀμφιεννύσθωσαν ou ἀμφιεννύωνται. — Ἀμφιέννυσο. — Ἀμφιεσόμενος. — Ἀμφιέννυσθαι. — Ἀμφιέννυτε. — Ἀμφιέσαι. — Ἠμφιεσμένη. — Ἀμφιεννύσθων ou ἀμφιεννύησθον, ἠμφιεσμένα ἦτον. — Ἀμφιεννύμεθα. — Ἠμφιεσμένος ᾖ. — Ἠμφιέννυσαν. — Ἀμφιέσας. — Ἀμφιεσθήσεσθαι, ἀμφιεσθῆναι. — Ἠμφίεστο. — Ἀμφίεσον. — Ἀμφιέσαιμεν. — Ἀμφιέσεσθον. — Ἀμφιείσαντο.

37ᵉ Exercice.

Observations sur les verbes en ω pur et sur les verbes en ω précédé d'une consonne (*Grammaire*, p. 201 et 202).

Πράσσω, πραχθήσομαι, ἐπράχθην, πέπραγμαι. — Χρίσω, χρισθήσομαι, ἐχρίσθην, κέχρισμαι. — Κατασκευάσω, κατασκευασθήσομαι, κατεσκευάσθην, κατεσκεύασμαι. — Ἁρπάσω, ἁρπασθήσομαι, ἡρπάσθην, ἥρπασμαι. — Φυλάξω, φυλαχθήσομαι, ἐφυλάχθην, πεφύλαγμαι. — Σείσω, σεισθήσομαι, ἐσείσθην, σέσεισμαι. — Ῥαίσω, ῥαισθήσομαι, ἐῤῥαίσθην, ἔῤῥαισμαι. — Ῥάξω, ῥαχθήσομαι, ἐῤῥάχθην, ἔῤῥαγμαι. — Κολάσω, κολασθήσομαι, ἐκολάσθην, κεκόλασμαι. — Ἀλλάξω, ἀλλαχθήσομαι, ἠλλάχθην, ἤλλαγμαι. — Κναίσω, κναισθήσομαι, ἐκναίσθην.... — Πρίσω, πρισθήσομαι, ἐπρίσθην, πέπρισμαι. — Κρούσω, κρουσθήσομαι, ἐκρούσθην, κέκρουσμαι. — Ἐλπίσω, ἐλπισθήσομαι, ἠλπίσθην, ἤλπισμαι. — Ψαύσω, ψαυσθήσομαι, ἐψαύσθην, ἔψαυσμαι. — Πτύσω, πτυσθήσομαι, ἐπτύσθην, ἔπτυσμαι. — Ἀλίσω, ἀλισθήσομαι, ἠλίσθην, ἤλισμαι. — Ξύσω, ξυσθήσομαι, ἐξύσθην, ἔξυσμαι. — Βαστάσω, βασταχθήσομαι, ἐϐαστάχθην, βεϐάσταγμαι.

30e Exercice.

Observations sur les adverbes négatifs (*Grammaire*, p. 214 et suivantes).

Μὴ ποίει (ou ποιήσῃς) τοῦτο. — Οὐκ ἐποίησε τοῦτο. — Οἱ παῖδες οὐδεμίαν μέμψιν δύνανται φέρειν. — Οὐδὲν δύναται τὸν ποιητὴν κωλύειν μὴ (ou μὴ οὐ) στίχους ποιεῖν. — Μὴ πίστευε (ou πιστεύσῃς) τοῖς φθονοῦσιν. — Ἅδης μόνον οὐκ ἐμαλάχθη. — Ὁ κενόδοξος ἀνὴρ οὐδὲν οὐδέποτε ποιεῖ ἀληθῶς μέγα. — Τοῦ θέρους συλλέγετε ὅπως μὴ ἀπαράσκευοι τῷ χειμῶνι καταλαμβάνησθε (ou καταληφθήσεσθε). — Οὐχ οἷόν τέ ἐστι τὸν Ὀδυσσέα τῆς σοφίας οὐ θαυμάζειν. — Οὐρανὸς μὲν καὶ γῆ παρελεύσονται, τὰ δὲ ἐμοῦ ῥήματα οὐ παρελεύσεται (ou οὐ μὴ παρέλθῃ). — Ἡ οὐ (ou μὴ) τάξις τὰς στρατιὰς τὰς ἰσχυροτάτας ἀπώλεσε. — Δημοσθένης οὐκ ἔφη ἐξελθεῖν ἂν ἐκ τοῦ Ποσειδῶνος ναοῦ. — Οὐκ ἀξιοῦτε ὑμῶν ὑποσχέσεων μεμνῆσθαι. — Ἡ τῶν συνθηκῶν οὐ (ou μὴ) διατήρησις πάντων τῶν ἡμετέρων κακῶν αἴτιος ἐγένετο. — Οὐκ ἔξεστι τὸν τὸ ἀγαθὸν δρῶντα μὴ ἀσκεῖν. — Οὔποτε προδώσω (ou οὔποτε μὴ προδῶ) ἄνδρα ὃς ἑαυτὸν ἐπίστευσεν ἐμοί. — Οὐκ ἐλεύθερος εἶ μὴ σεαυτοῦ κρατῶν. — Οἱ Λακεδαιμόνιοι, ἅτε περὶ τοὺς λόγους οὔποτε σπουδάσαντες, μνημεῖον ἱστορίας οὐδὲν καταλελοίπασι.



SYNTAXE.

39e Exercice.

Règle Ἄμφω τὼ πόλεε (*Grammaire*, p. 224).

Ἄμφω τὼ ἀμπέλω εὐφόρω. — Τούτω τὼ δύο νήσω χαρίεντε. — Τούτω τὼ δύο λαμπάδε ἐσϐηκότε. — Τούτοιν τοῖν δυοῖν γυναίκοιν ἀνοήτοιν. — Ἄμφω τὼ θυγατέρε ἀχαρίστω. — Δυοῖν φιλικοῖν μητέροιν. — Ἄμφω τὼ ἀλώπεκε δολερώ. — Δυοῖν κλειδοῖν ὁμοίοιν. — Δύο ἰδέα κυρίω καὶ ἡγουμένω.

40e Exercice.

Règle Κοῦφον ἡ νεότης (*Grammaire*, p. 225).

Ὁ νόμος κωφὸν καὶ ἄκαμπτον. — Μεταϐλητικὸν ὁ ἄνθρωπος. — Ἡ δόξα μάταιον καὶ ἐφήμερον. — Πολλάκις τὰ ἡδέα ἀντὶ τῶν χρησίμων, τὰ ἄδηλα ἀντὶ τῶν προδήλων λαμϐάνομεν. — Ὀλισθηρὸν ὁ καιρός. — Αἰσχρὸν ἡ κολακεία. — Θέλγει τὰ καλὰ καὶ ἕλκει. — Προσκρούει τὰ αἰσχρὰ καὶ ἀπωθεῖ. — Ἀμετάλλακτον ἡ δικαιοσύνη καὶ ἀΐδιον. — Ἀρκεῖσθε τοῖς ἀναγκαίοις. — Παροράτε τὰ περισσά. — Ὁ νεανίας ὀξύθυμον καὶ προπετές. — Τὰ νέα καὶ τὰ ψευδῆ γοητεύει ὑμᾶς. — Δειλὸν καὶ ἄτολμον ἡ βασκανία. — Τὰ ἀπροσδόκητα τοὺς θεωμένους θέλγει.

41e Exercice.

Règle Ἄμφω χεῖρας ἀνέσχον (*Grammaire*, p. 225).

Ἄμφω ἅμα ἐπεπαίδευντο. — Ἄμφω τὼ πόλεε πάλαι ἤκμασαν. — Ἄμφω τὼ ἀδελφὼ ὁμοῦ ἐνόσησαν. — Δύο ὁδίτα τὴν αὐτὴν ὁδὸν ἐποιεῖντο. — Ἄμφω τὼ ἡδιστάτω ὥρα εἰσὶν ἔαρ καὶ ὀπώρα. — Ἄμφω τὼ ἀνταγωνιστὰ ἴσως ἔκαμνον.

42e Exercice.

Remarques sur le régime du nom (*Grammaire*, p. 226 et 227).

1. Ἀνὴρ ὑψηλοῦ σώματος. — Βίϐλος πολλοῦ τιμήματος. — Ἐσθὴς παχέος ὑφάσματος. — Γυνὴ κακοῦ ἤθους. — Θὴρ ἀγριότητος ἀνηκούστου.

2. Αὕτη ἡ χώρα τοῖς ἀπὸ τῆς θαλάσσης ἀνέμοις ἀντίκειται. — Αἱ ἐν τῇ Ῥωμαϊκῇ ἡγεμονίᾳ ταραχαὶ πᾶσαν τὴν οἰκουμένην ἐκίνουν. — Ἀναρίθμητά ἐστι τὰ παρὰ τοῦ Θεοῦ εὐεργετήματα. — Οἱ Ἕλληνες ἐνίας περὶ τῆς ῥητορικῆς συγγραφὰς ἡμῖν καταλελοίπασιν. — Ἡ ἐκ τῶν ἀνθέων

ὀσμὴ τοὺς ἀγροὺς εὐωδίαζεν. — Αἱ ἀφ' ἡλίου ἀκτῖνες οὐδέποτε εἰς ταῦτα τὰ σύσκια εἰσέδυσαν. — Ἡ περὶ τοὺς νόμους αἰδὼς τῶν πόλεων κράτος. — Ἱπποκράτης τὰ παρὰ τοῦ Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως δῶρα ἀπώσατο.

43ᵉ Exercice.

Règle Ἐπιστήμονες τὰ προσήκοντα (*Grammaire*, p. 227).

Οὗτος ὁ ἀνὴρ σῶμα καὶ νοῦν ἐστὶν ὑγιής. — Οἱ παλαιοὶ πάσας τὰς τοῦ σώματος ἀσκήσεις δεξιώτατοι ἦσαν. — Ἐπαμεινώνδας καὶ τὸ βουλεύεσθαι θρασὺς ἦν καὶ τὸ πράττειν δεινός τε καὶ εὐλαβής. — Εἰσὶν οἱ Ἀθηναῖοι φύσιν εὔνοί τε καὶ φιλόφρονες. — Ὁ μὲν Νέστωρ τὴν σοφίαν, ὁ δὲ Ὀδυσσεὺς τὴν λογιότητα τοῖς θεοῖς ἦν ὅμοιος. — Οἱ μὲν πλεῖστοι τῶν Ἀθηναίων βαδίζουσι πόδας καὶ κεφαλὴν γυμνοί. — Ὁ ἵππος γαῦρος καὶ σφοδρὸς τὴν φύσιν. — Γέρων τις τὴν ὄψιν σεβαστὸς ἦν τούτου τοῦ ναοῦ ἱερεύς. — Οἱ Ἕλληνες φύσει ὀξεῖς τὸν νοῦν εἰσι καὶ φιλομαθεῖς. — Ἀλέξανδρος, ὁ τῶν Μακεδόνων βασιλεύς, δοκεῖ γενέσθαι τὴν ἰατρικὴν ἐπιστημονέστατος. — Πλάτων ὁ φιλόσοφος ἦν τοὺς ὤμους πλατύτατος. — Οἱ Μακεδόνες τῶν ἄλλων Ἑλλήνων τὴν ἀνδρείαν τε καὶ τὴν εὐταξίαν κρείττονες ἦσαν. — Αἱ Ἀθῆναι καὶ ἡ Λακεδαίμων ὁμοίως τὰ ἤθη καὶ τὴν πολιτείαν ἐναντίαι ἦσαν. — Ἦσαν οἱ Αἰγύπτιοι τὸν νοῦν εὑρετικοί.

44ᵉ Exercice.

Remarques sur le régime du comparatif (*Grammaire*, p. 228).

1. Ἡ Αἴγυπτος ἧς οὐδεμία χώρα ἐστὶ γονιμωτέρα παλαίτατον ᾤκηται. — Οἱ θεοὶ Ὀδυσσεῖ τὴν σοφίαν ἔνειμαν ἧς οὐδὲν ἀγαθόν ἐστι τιμιώτερον. — Αἰνείας, οὗ Τρώων οὐδεὶς εὐσεβέστερος, τοὺς τῆς Ἰλίου θεοὺς ἔσωσεν. — Ὁ Θερσίτης, οὗ τῶν Ἑλλήνων οὐδεὶς οὔτε δειλότερος ἦν οὔτε αἰσχίων, τοὺς τοῦ στρατοῦ ἡγεμόνας ὕβριζεν.

2. Οἱ Ἀθηναῖοι μετὰ τοὺς Μηδικοὺς πολέμους πολλῷ ἑαυτῶν δυνατώτεροι ἐγένοντο. — Ἔστιν ὅτε ἐν τοῖς μεγάλοις κινδύνοις οἱ ἄνθρωποι κρείττονες ἑαυτῶν φαίνονται. — Οἱ Λακεδαιμόνιοι τῷ Ἐπαμεινώνδᾳ πολεμοῦντες ἧττον ἔμπειροι καὶ τολμηροὶ ἑαυτῶν ἐφάνησαν. — Οἱ Μακεδόνες τὸν Ἀλέξανδρον τετρωμένον ὁρῶντες ἑαυτῶν ἐμμανέστεροι καὶ φοβερώτεροι ἐγένοντο. — Ὁ καλὸς κἀγαθὸς ἀνὴρ γίγνεται καθ' ἡμέραν μετριώτερός τε καὶ σοφώτερος ἑαυτοῦ.

45ᵉ Exercice.

Remarques sur la règle Ἕτερον τοῦ ἀληθοῦς (*Grammaire*, p. 229).

1. Ἄλλος ἀντὶ Θεμιστοκλέους τὴν πρὸς τῶν Περσῶν τιμωρίαν ἔδεισεν ἄν. — Οὐδεὶς ἄλλος ἀντὶ Διὸς τάς τε ὥρας καὶ τὰς ἄστρων περιφορὰς δια-

τάσσει. — Τί ἄλλο ἔθνος ἀντὶ τῶν Ῥωμαίων τὴν τῆς οἰκουμένης πάσης ἡγεμονίαν κατέστησεν; — Τίς ἄλλος ἀντὶ δούλου οὕτω ταπεινὰ φρονεῖν δύναται; — Οὐδεμία ἄλλη θεὸς ἀντὶ Δήμητρος τὰ τῆς γῆς ἀγαθὰ τοῖς θνητοῖς δίδωσιν.

2. Αἱ πόλεις αἱ Ἑλληνίδες συνεχῶς στασιάζουσαι οὐδὲν ἄλλο ἢ Φιλίππῳ συνέπρασσον. — Ὁ βίος ἄλλο τι ἢ σκιὰ φεύγουσα; — Τοὺς τοῦ Φιλίππου λόγους ἀκούοντες οὐδὲν ἄλλο ἢ ἡμᾶς αὐτῷ ἀνόπλους παραδίδομεν. — Κακῶς τοὺς ἡμῶν φίλους λέγοντες τί ἄλλο ἢ ἡμῶν αὐτῶν καταγιγνώσκομεν; — Τὸ πλουτίζεσθαι πολλάκις οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ τὰ ἀλλότρια σφετερίζεσθαι. — Οἱ πλεῖστοι τῶν μεγάλων στρατηγῶν οὐδὲν ἄλλο ἐγένοντο ἢ τῆς θείας ὀργῆς ὑπουργοί.

46ᵉ Exercice.

Remarque sur le régime du superlatif (*Grammaire*, p. 230).

Οἱ Πέρσαι τοῦ Δαρείου βασιλεύοντος ἑαυτῶν δυνατώτατοι ἐγένοντο. — Ὅτε αἱ Ἀθῆναι ἦσαν μάλιστα ἑαυτῶν πολυάνθρωποι, ἀμφὶ πεντακισχιλίους πολίτας πρὸς τοῖς δισμυρίοις ἐχώρουν. — Τοῦ Νουμᾶ βασιλεύοντος Ῥώμη ἑαυτῆς εὐδαιμονεστάτη ἐγένετο. — Πρὸς δὴ τὸν Φίλιππον καὶ τοὺς Μακεδόνας Δημοσθένης ἑαυτὸν ἑαυτοῦ λογιώτατον ἀπέδειξεν. — Οἱ πονηροὶ καὶ ἑαυτῶν εὐτυχέστατοι ὄντες οὐδέποτε ἀμέριμνοί εἰσιν. — Μετὰ τὸν τῆς μητρὸς φόνον Νέρων ἑαυτοῦ ὠμότατος ἐγένετο. — Οἱ Θηβαῖοι τὴν ἐν Ἑλλάδι ἡγεμονίαν ἐκτήσαντο, ὅτε ἡ τῶν Σπαρτιατῶν ἐπικράτεια ἑαυτῆς βεβαιοτάτη εἶναι ἐδόκει.

47ᵉ Exercice.

Verbes qui prennent deux accusatifs (*Grammaire*, p. 234).

Οὐδεὶς Ἑλλήνων πλείω κακὰ τοὺς Πέρσας ἐποίησεν ἢ Θεμιστοκλῆς. — Οἱ ἀχάριστοι καὶ τούτους κακῶς λέγουσι παρ' ὧν τὰ πλεῖστα ἔλαβον. — Μὴ πιστεύετε ἃ οἱ ἐχθροὶ ἐμὲ λέγουσιν. — Ἀλκιβιάδης πολλὰ μὲν ἀγαθά, πολλὰ δὲ κακὰ τὴν πατρίδα εἰργάσατο. — Ἔλεγον οἵ τε γραμματεῖς καὶ οἱ Φαρισαῖοι· Τί ποιήσομεν Ἰησοῦν; — Αἱ Ἑλληνίδες πόλεις τοὺς βελτίστους τε καὶ ἐνδοξοτάτους πολίτας κάκιστα ἐποίουν. — Οὐδὲν μὲν ψευδές σε ἔλεξα, οὐδὲ πᾶν τὸ ἀληθές.

48ᵉ Exercice.

Remarques sur les verbes qui expriment la joie et la peine (*Grammaire*, p. 235).

Ὁ σοφὸς οὐ δυσχεραίνει τὴν τοῦ βίου μεταλλαγήν. — Οἱ ἔφοροι ἐδυσχέραινον τὴν τοῦ Παυσανίου ὑπερηφανίαν. — Οἱ Ῥωμαῖοι τὰ τοῦ Σκηπίωνος κατορθώματα ἀκούσαντες, ταῦτα σφόδρα ἐχάρησαν. — Οἱ

παῖδες τὰ σμικρότατα λυποῦνταί τε καὶ χαίρουσιν. — Ὁ Δαρεῖος τὴν Μιλήτου ἔμπρησιν ἀκούσας, ταύτην ἠγανάκτησεν.

49e Exercice.

Remarque III sur le régime des verbes passifs (*Grammaire*, p. 238).

Ὁ Βησσὸς πρὸς τοῦ Ἀλεξάνδρου εἰς τέσσαρα διεσπάσθη. — Ὁ Πλάτων πρὸς πάντων τῶν πλησιαζόντων ἐφιλεῖτο. — Αἴγισθος καὶ Κλυταιμνήστρα πρὸς τοῦ Ὀρέστου ἐφονεύθησαν. — Οἱ Διὸς κεραυνοὶ πρὸς τῶν Κυκλώπων παρεσκευάζοντο. — Πολύφημος ἀπεστερήθη τὴν ὄψιν πρὸς τοῦ Ὀδυσσέως. — Φωκίων κατεδικάσθη θάνατον πρὸς τῶν Ἀθηναίων.

50e Exercice.

Remarques sur le régime de la voix moyenne (*Grammaire*, p. 238 et 239).

Ὁ ἄρκτος λείαν (ou λείας) ὤσφρετο. — Ὁ ἔλαφος ταχὺ ὑπὸ τῶν κυνῶν ὠσφράνθη. — Ἀχιλλεὺς τοὺς τῶν Ἑλλήνων πρέσβεις εἰς τὴν σκηνὴν εἰσεδέξατο. — Οἱ Μακεδόνες βασιλεύοντος Φιλίππου εἰς τὴν Ἀμφικτυονικὴν βουλὴν εἰσεδέχθησαν. — Ὁ Αἴας τὸν Ὀδυσσέα θανάτου ἀφύκτου ἐῤῥύσατο. — Ἀνδρομέδα θανάτου φρικώδους ὑπὸ τοῦ Περσέως ἐῤῥύσθη. — Αἱ τῶν πάλαι πατρικίων οἰκίαι ἐώνηνται ὑπ᾽ ἀπελευθέρων. — Ἀγρὸν ἐωνησάμην τῷ ἐμῷ ὅμορον. — Οἱ Ῥωμαῖοι ὁδοὺς ὡδοποίησαν ἐν πάσαις ταῖς χώραις ταῖς ὑπ᾽ αὐτῶν κεκτημέναις.

51e Exercice.

Remarques sur la préposition σύν (*Grammaire*, p. 242 et 243).

Οἱ πλεῖστοι τῶν στρατιωτῶν, εἰς τὸν ποταμὸν αὐτοῖς ὅπλοις εἰσβάλλοντες, τοῖς κύμασι κατεῤῥοφήθησαν. — Μιλτιάδης Πάρον ἐπολιόρκει στόλῳ ἑβδομήκοντα νεῶν. — Ἀλέξανδρος τῇ τῶν Περσῶν βασιλείᾳ προσέβαλε τρισμυρίοις πεζοῖς καὶ πεντακισχιλίοις ἱππεῦσιν. — Οἱ Ἀθηναῖοι πειθόμενοι Κίμωνι ἦλθον βοηθήσοντες τοῖς Λακεδαιμονίοις παμπόλλῃ δυνάμει. — Κίρκη οὐκ ἐδυνήθη Ὀδυσσέα αὐτοῖς ἑταίροις μεταμορφοῦν. — Πολλοὶ οἰκηταὶ τῶν τοῖς Μακεδόσι πολεμικῶς ἐχόντων ἐξελάσθησαν Θηβῶν αὐταῖς τε γυναιξὶ καὶ παισί. — Σαρδανάπαλος ἑαυτὸν ἐν τοῖς βασιλείοις συνέκαυσε πᾶσι τοῖς χρήμασιν.

52e Exercice.

Questions de lieu : remarque sur le § 510 (*Grammaire*, p. 247).

Οὐκέτι ἔστιν ἐν Ἅδου οὔτε μορφή, οὔτε αἶσχος, οὔτε πενία, οὔτε πλοῦτος. — Ἀλκιβιάδης ἐν Περικλέους ἐτράφη. — Ἀχιλλεὺς ἐν Νικομή-

δους τὸ πλεῖστον τῆς νεότητος διήγαγε. — Λουκιανὸς τὴν γλυπτικὴν ἐδεδίδακτο ἐν μήτρωος ὃς ἦν γλυφεύς. — Ἴσως Σόλων Αἴσωπον ἐν Κροίσου εἶδεν.

53° Exercice.

Remarque sur le § 513 (*Grammaire*, p. 247).

Οἱ πλεῖστοι τῶν νεανιῶν τῶν τοὺς λόγους ἐπιτηδευσάντων εἰς Ἰσοκράτους ἦλθον. — Ὁ Περικλῆς τὴν Ἀναξαγόρου νόσον ἀκούσας εἰς τοῦ φιλοσόφου ᾔει. — Πάντες εἰς Ἅδου καταβησόμεθα. — Αἱ Τρῳάδες τῇ Ἑκάβῃ καὶ ταῖς αὐτῆς θυγατράσιν εἵποντο εἰς Ἀθηνᾶς. — Οἱ πρῶτοι τῆς πόλεως πολλάκις ἐφοίτων εἰς τοῦ ἐμοῦ πατρὸς, ὃς ἦν τότε ὑπερπλούσιος. — Ἀλέξανδρος ἀπὸ πολλοῦ ἐπεθύμει ἰέναι εἰς Διὸς Ἄμμωνος.

54° Exercice.

Questions de circonstances : remarque sur le § 532 (*Grammaire*, p. 252).

Ἡ τῆς θεοῦ κόμη τοῖς ὤμοις ἐπεσείστο τρόπον χαρίεντα (ou χαριέντως). — Οἱ Ἀθηναῖοι δεινὸν τρόπον (ou δεινῶς) ἐχρήσαντο τοῖς στρατηγοῖς τοῖς ἐγγὺς τῶν Ἀργινουσῶν νικήσασιν. — Οἱ κρυψίνοι ἄνδρες, τοῖς παλαιοῖς χρησμοῖς ὅμοιοι, ἀσαφῆ τρόπον (ou ἀσαφῶς) φράζουσιν. — Ἐν ἐκείναις ταῖς χώραις θερμώδεσιν ἅμα καὶ ὑγρώδεσι πάντα φύεται τρόπον ἄπιστον (ou ἀπίστως). — Ὁ ἄνθρωπος οὐδέποτε ὁρᾷ τὸ ἀληθὲς εἰ μὴ τρόπον ἐλλιπῆ (ou ἐλλιπῶς). — Ὁ προετικὸς παῖς ἀπεδήμησε μακρὰν εἰς χώραν ἔνθα τὴν οὐσίαν διεσκόρπισε, ζῶν ἄσωτον τρόπον (ou ἀσώτως). — Ἡ κακοήθειά τε καὶ ἡ βασκανία οὐδέποτ' οὐδενὶ ἐπιχειροῦσιν εἰ μὴ πλάγιον τρόπον (ou πλαγίως). — Ὁ Θεὸς δεινὸν τρόπον (ou δεινῶς) τιμωρεῖται τοὺς βασιλεῖς καὶ τοὺς μεγιστᾶνας τοὺς τῇ ἑαυτῶν δυνάμει καταχρωμένους. — Ἔστιν ἡ Ἡσιόδου λέξις κομψή τε καὶ εὔρυθμος καὶ τὰς ἀκοὰς ἐνηδύνουσα ἡδέα τρόπον (ou ἡδέως). — Οἱ Βοιώτιοι φιλάμουσοί εἰσι· πολλοὶ δ' αὐτῶν αὐλοῦσι τρόπον ἐκπρεπῆ (ou ἐκπρεπῶς). — Ὁ ποιητὴς γραφικὸν καὶ παθητικὸν τρόπον (ou γραφικῶς καὶ παθητικῶς) ἀπεικάζει ἃ διηγεῖται ὁ ἱστορικός. — Οἱ Θεσσαλοὶ τοῖς ξένοις ἐπικουροῦσι προθυμότατα καὶ ξενίζουσιν αὐτοὺς μεγαλοπρεπῆ τρόπον (ou μεγαλοπρεπῶς). — Ἰάσων, ὁ τῶν Φηραίων τύραννος, ἀεὶ τῇ δυναστείᾳ ἐχρήσατο δεξιὸν καὶ μέτριον τρόπον (ou δεξιῶς καὶ μετρίως). — Φίλιππος, ὁ τῶν Μακεδόνων βασιλεὺς, οὐ μόνον συμμαχίαν ἐποιήσατο σὺν Ἀννίβᾳ παρὰ τὸν δεύτερον Καρχηδόνιον πόλεμον, ἀλλὰ καὶ φανερὸν τρόπον (ou φανερῶς) τὰ κατὰ τῶν Ῥωμαίων προείλετο.

55e Exercice.

Remarque III sur l'emploi du présent et de l'aoriste
(*Grammaire*, p. 256 et 257).

Ἀνδρεία μὲν τῇ τόλμῃ, δέος δὲ τῷ ὄκνῳ ηὐξήθη. — Ὁ ἀνὴρ ὁ εὐεργετηθεὶς τῆς ἐλευθερίας ἐξέπεσεν. — Ἀγαθὴ φήμη, ὥσπερ τις τῶν παλαιῶν ἔλεξε, τὸ ἴδιον φῶς ἐν μέσῳ σκότει ἔσωσεν. — Ἡ τοῦ ὑπερηφάνου εὐδοξία ταχὺ εἰς αἶσχος μετέβαλεν. — Παρήκμασεν ὀδύνη εὐθὺς ἐνδεούσης τροφῆς. — Ἡ τῶν βασιλειῶν σωτηρία ἧσσον ἐν τῇ τῶν χωρίων καὶ ὁρίων ὀχυρότητι κεῖται ἤπερ ἐν τῇ τῶν στρατιωτῶν ἀνδρείᾳ. — Τοῦ τραύματος τεθεραπευμένου διέμεινεν ἔτι ἡ ὠτειλή. — Ὅστις τὸν δικαστὴν φεύγει, τὸ ἑαυτοῦ ἀδίκημα ὡμολόγησεν. — Ἡ τύχη ἀνόητον ἀπέδειξεν ᾧ ἀεὶ πρόσεστιν. — Ὁ ἀνόητος πάντας τοὺς ἄλλους παραφρονεῖν ἐνόμισεν. — Ὁ βουλόμενος ἀδικεῖν ἀεὶ πρόφασίν τινα εὗρεν. — Ἀνάγκη ἐκράτησεν, οὐκ ἐκρατήθη. — Ὁ καιρὸς χαλεπῶς μὲν παρέπεσε, ῥᾳδίως δὲ παρείθη. — Θεὸς εἰς τὰς ἁγνὰς χεῖρας, οὐκ εἰς τὰς πλήρεις ἔβλεψεν. — Ὁ δικαστὴς ὁ τὸν μὴ ἀδικήσαντα ἀπολέσας ἑαυτοῦ κατέγνω. — Ὁ τῷ ἀδικήσαντι συνεργὸς ὤν, ἐκείνῳ συνηδίκησεν. — Ἡ τῶν πονηρῶν εὐτυχία χειμάρρου δίκην ἐῤῥύη.

56e Exercice.

Remarque IV sur l'emploi de l'infinitif (*Grammaire*, p. 257).

Δεινόν (ou δεινά) ἐστι τὸν μὲν θάνατον φοβεῖσθαι, οὐ δὲ ἀποθνήσκειν. — Ἡδύ (ou ἡδέα) ἐστι φίλον εὖ ποιεῖν. — Χαλεπόν (ou χαλεπά) ἐστι τοὺς τοῦ παρεληλυθότος χρόνου τρόπους καὶ τὰ ἤθη ἀκριβῶς ἐννοῆσαι. — Πολλάκις ἐπικίνδυνόν (ou ἐπικίνδυνά) ἐστι μεγάλην ἀρχὴν ἄρχειν. — Περισσόν (ou περισσά) ἐστι τοῖς πονηροῖς βουλὰς ἀγαθάς δοῦναι. — Σπάνιόν (ou σπανιά) ἐστι φίλον ἀληθινὸν εὑρεῖν. — Γελοῖόν (ou γελοῖά) ἐστι τοῖς ἐκ τῆς τύχης ἀγαθοῖς σεμνύνεσθαι. — Ὥσπερ ῥᾴδιόν (ou ῥᾴδιά) ἐστι τὴν τοῦ δήμου εὔνοιαν κτήσασθαι, οὕτω καὶ ἀποβαλεῖν. — Χαλεπόν (ou χαλεπά) ἐστι νόμον παλαιὸν ἀκυρῶσαι, νέον δὲ καταστῆσαι. — Χαλεπώτερόν (ou χαλεπώτερά) ἐστιν ἔθνος ἐπανορθῶσαι ἢ ἡμερῶσαι. — Καλόν (ou καλά) ἐστι τοῖς ἐχθροῖς συγγιγνώσκειν. — Οὐ πρέπον (ou πρέποντά) ἐστὶ τῷ τε ἑαυτοῦ πλοούτῳ καὶ τῇ εὐτυχίᾳ ἐναντίον πενιχρῶν ἀνδρῶν καὶ ταλαιπώρων ἀλαζονεύεσθαι. — Ἀναγκαῖόν (ou ἀναγκαῖά) ἐστιν ἐνίοτε σκληρότητι χρῆσθαι.

57e Exercice.

Remarque II sur le § 552 (*Grammaire*, p. 259).

Φασὶν οἱ τῶν Ἑλλήνων συγγραφεῖς ὅτι Φοινίκων νῆες ἐξ Ἀραβικοῦ κόλπου ἀναχθεῖσαι τὴν Λιβύην ἐν δυοῖν ἔτεσι περιπλεύσαιεν καὶ εἰς τὴν Αἴγυπτον διὰ τοῦ Γαδείρων αὐχένος πάλιν ἥκοιεν. — Ἀρίστιππος ὁ φιλόσοφος ἔλεγεν ὅτι οὐδέποτε οὐδενὶ ἐφθόνησεν εἰ μὴ Σωκράτει τοῦ θανάτου. — Πάλαι ἤκουσαν οἱ Ἕλληνες ὅτι πέραν Ἴνδου ἄλλη τις εἴη χώρα οὐκ ἐλάσσων τῆς ἑτέρας Ἀσίας. — Οἱ Τάναγραν ἐν Βοιωτίᾳ οἰκοῦντες ἔφασκον ὅτι ποτὲ Ἑρμῆς αὐτοὺς ἐκ τοῦ λοιμοῦ ἀπήλλαξε, κριὸν ἐπ' ὤμων βαστάζων ἀμφὶ τὴν πόλιν, καὶ ἐκεῖνον οὕτως ἐν τῷ αὐτοῦ ναῷ ἀπείκασαν. — Φάσκουσιν οἱ ἀγροῖκοι οἱ Ἑλικῶνα περιοικοῦντες ὅτι αὐτοὶ οἱ δράκοντες τὸν ἰὸν ἀποβάλλουσι τῶν βοτανῶν γευόμενοι αἳ ὑπὸ τοῦ ὄρους φύονται. — Οἱ Αἰγύπτιοι ἐπίστευον ὅτι τὸ Μεμνόνιον ἄγαλμα μουσικόν τι κατηχοῖ πρὸς τὰς πρώτας τοῦ ἡλίου ἀνατέλλοντος ἀκτῖνας. — Ἀναχάρσιδι ἐν Θήβαις ζητοῦντι τὸν Πινδάρου τοῦ ποιητοῦ ἀνδριάντα ἀπεκρίναντο οἱ Θηβαῖοι ὅτι αὐτοῦ μὲν οὐκ ἔχοιεν, Κλέωνος δὲ ἔχοιεν τοῦ δεινοτάτου τῶν Βοιωτῶν κιθαρῳδοῦ. — Ἔλεγε Πίνδαρος ὅτι τοῦ ἀγαθοῦ ἐστὶ μόνου ἐπαινεῖν τοὺς ἀγαθούς. — Ἐγγὺς τοῦ Πηλίου ὄρους ἐν Θεσσαλίᾳ οἱ ἐγχώριοι ἡμῖν ἐπέδειξαν ἄντρον τι περιβόητον ἔνθα φάσκουσι τὸν Κένταυρον Χείρωνα ὅτι πάλαι ᾤκησεν. — Πεποίθασιν οἱ Ἕλληνες ὅτι πάντα τὰ ἐν φύσει φαινόμενα οὐ κατὰ φύσιν γίγνονται. — Παυσανίας ἱστορεῖ ὅτι τοῖς Αἴγειραν οἰκοῦσιν ἐπῆλθεν, ἐπεὶ οὐχ οἷοί τε ἦσαν ἱκανὴν δύναμιν τοῖς Σικυωνίοις ἀντιτάξαι τοῖς τὴν χώραν ἐμβαλοῦσι, πολὺ πλῆθος αἰγῶν ἀθροίζειν, καὶ δᾷδας ἡμμένας ἐκ κερῶν δήσαντας νυκτὸς προάγειν· οἱ δὲ πολέμιοι νομίσαντες ὅτι δύναμις εἴη τῇ Αἰγείρᾳ σύμμαχος ἀπεχώρησαν. — Ἤκουσα ὅτι Μίλων ὁ ἀθλητὴς τὸ στάδιον περιέλθοι βοῦν ἐπ' ὤμων βαστάζων, καί ποτε ἐν οἰκίᾳ τινὶ σὺν τοῖς Πυθαγόρου μαθηταῖς τυγχάνων, αὐτοῖς τὸν βίον σῶσαι κίονα ἐρείδων ἐφ' ᾗ ἡ ὀροφὴ ἐφίδρυτο, τέλος δὲ ἐν γήρᾳ ὑπὸ θηρίων ἐδεσθείη, τῶν αὐτοῦ χειρῶν ἐν στελέχει κατασχεθεισῶν ἡμισχιδεῖ καὶ ὃ πάντως διασχίσαι ἤθελεν.

58e Exercice.

Remarque I sur le § 554 (*Grammaire*, p. 260).

Σόλων ἐπίδοξός ἐστι τεκμήρασθαι ἐκ πολλοῦ τὴν τοῦ Πεισιστράτου γνώμην. — Οὐ δίκαιοί εἰσιν οἱ λαοί, μὴ κοινωνήσαντες ἡμῖν τῶν κινδύνων, τῆς δόξης κοινωνεῖν. — Φανερὸς ἦν πᾶσιν ὁ Κῦρος ὑπεραγαπῶν τὸν πάππον Ἀστυάγην παρ' ᾧ ἐτρέφετο. — Ἀριστείδης καὶ Θεμιστοκλῆς φανεροὶ ἐγένοντο τῆς ἰδίας ἔριδος ὑπὲρ τῶν κοινῇ συμφερόντων ἀμνη-

στοῦντες. — Ἐπίδοξά ἐστι τὰ πλεῖστα τῆς Ἑλλάδος ἔθνη μόλις ἀκοῦσαι τὸ τοῦ μεγάλου βασιλέως ὄνομα πρὸ τῶν Μηδικῶν πολέμων. — Ὁ ῥήτωρ ἐπιτήδειός ἐστι τὰ μάλιστα διάφορα πάθη ταῖς τῶν ἀκουόντων ψυχαῖς ἐμποιῆσαι. — Δῆλοι ἦσαν οἱ τῷ Σωκράτει ἐχθροὶ ἐκ πολλοῦ διαγνόντες αὐτὸν θανατοῦν. — Δίκαιοι ἐδόκουν τοῖς Ἕλλησιν οἱ ἀθληταὶ οἱ εἰς τὴν τῆς πόλεως δόξαν ταῖς νίκαις συμπράξαντες τιμῶν ἐξαιρέτων ἀπολαύειν. — Οἱ ὕπατοι μετὰ τὴν παρὰ Κάνναις μάχην πάντας τοὺς δούλους ἐστρατολόγησαν ὅσοι ἔδοξαν αὐτοῖς ἐπιτήδειοι ὁπλισθῆναι. — Ἐπίδοξός ἐστιν ἡ Σπάρτη οὐκ ἀεὶ τὴν ἐπικράτειαν σώσειν ἣν τῇ Ἀθηνῶν ἁλώσει ἀνέλαβε. — Φανερὸς ἐγένετο Ἀλέξανδρος τῇ τοῦ Βησσοῦ τιμωρίᾳ τὸ ἐκ τοῦ προδότου τούτου μύσος βδελυσσόμενος.

59ᵉ Exercice.

Remarques II et III sur le § 569 (*Grammaire*, p. 266).

Ἐνόμιζεν ὁ Ξέρξης πάντα τῷ φοβερῷ τῶν Περσῶν στρατῷ ἂν εἴκειν. — Ἔξεστι νομίζειν πάντα τὰ τῆς οἰκουμένης μέρη ἔτι καὶ νῦν ἄγνωστά ποτ' ἂν διερευνᾶσθαι. — Οὐ πάνυ προεώρα Τάκιτος τούτους τοὺς χριστιανοὺς οὕτω ταπεινοὺς καὶ ἀτίμους ἐκ Καπιτωλίου ποτὲ τὰ τοῦ Διὸς ἀγάλματ' ἂν καταβαλεῖν. — Νομίζω τοῖς Ῥωμαίοις δόξαι ἂν ἀνόητον τὸν λέξαντα αὐτοῖς κενόν τι εἶναι τὴν δόξαν. — Εἰ κινδυνεύεις αὖθις, οὐκ ἂν δὶς τοῦτον τὸν κίνδυνον φύγοις. — Τίτος Λίβιός φησιν ὑπὸ τῶν Ῥωμαίων ἡσσηθῆναι ἂν Ἀλέξανδρον εἰς Ἰταλίαν στρατευσάμενον. — Ἐπίδοξός ἐστιν ὁ Πεισίστρατος θᾶσσον ἂν τὴν τυραννίδα καταλαβεῖν, εἰ μὴ τὴν Σόλωνος ἀντίστασιν ἔδεισε. — Τὸ ἀληθὲς οὐκ ἂν ταῖς τιμωρίαις κατασβεσθείη. — Ἀλέξανδρος προεώρα τοὺς διαδόχους αἵματι ἂν αὐτῷ ἐναγίζειν. — Φανερός ἐστιν ὁ Σωκράτης ῥᾳδίως ἂν ἐκ τοῦ δεσμωτηρίου ἀποδρὰς, εἰ ἠθέλησεν. — Οἱ Μακέδονες οἱ εἰς Ἀσίαν σὺν Ἀλεξάνδρῳ εἰσέβαλον οὐκ ἐνόμιζον ἑαυτοὺς πόρρω τῆς πατρίδος ἂν διατρίβειν τοσαῦτα τὰ ἔτη. — Ἀλκιβιάδης, ὁ μόνος δυνάμενος ἂν τὴν Σικελίαν χειροῦσθαι, ἀπὼν κατεδικάσθη καὶ ἠναγκάσθη τοῦ στρατοῦ ἀποχωρεῖν. — Ἀλέξανδρος ὁ τοὺς φίλους ῥᾳδίως φονεύων καὶ θανόντας θρηνῶν καὶ αὐτοὺς ἂν ἀναβιωσόμενος, εἰ δύναιτο, δοκεῖ μοι μωρότερος εἶναι ἢ ὠμότερος. — Οὐδέποτ' ἂν ἐνθυμοίμεθα τὰς τερατώδεις Ἡλιογαβάλου καὶ Καρακάλλου μωρίας.

60ᵉ Exercice.

Remarque I sur le § 572 (*Grammaire*, p. 267).

Ὅστις τὰ μυστήρια ἐκκαλύψει (ou ὅστις ἂν ἐκκαλύψῃ), θανάτῳ ζημιωθήσεται. — Οὐκ ἔστιν ἔθνος ὅ τι τῶν Ῥωμαίων ὅπλοις ἀντισχήσει (ou ἀντίσχῃ ἄν). — Πάντα δοῦλον ὅστις τὰ δέοντα οὐ ποιήσει (ou μὴ ποιήσῃ

ἄν), δεῆσαι μὲν ἔξεσται, οὐ δὲ ἀκρίτως θανατῶσαι. — Οὐκ ἔστιν οὐδεὶς ὅστις ποτὲ τὸν ἀπολωλότα χρόνον οὐ ποθήσει (ou μὴ ποθήσῃ ἄν). — Οὐδέν ἐστιν ὅ τι ἄν με ψεύδεσθαί ποτε ἀναγκάσῃ. — Οὐκ ἔστι μνημεῖον χειροποίητον ὅ τι οὐ ποτὲ καταδληθήσεται.

61ᵉ Exercice.

De l'emploi des adverbes interrogatifs dans les interrogations directes (*Grammaire*, p. 269 et 270).

1. Μὴ (ou μῶν ou ἦπου) νομίζεις τοσαῦτα ἔθνη καὶ ἤθεσι καὶ θεοσεβείᾳ καὶ φωνῇ διαφέροντα ἡμῖν πείθεσθαι ἑκόντα; — Ὁ Φωκίων, ἐπεί ποτε ἐν ἐκκλησίᾳ ἐκροτήθη, πρὸς τοὺς φίλους μεταστρεψάμενος· Ἆρα, ἔφη, μῶρόν τι λέξας ἔλαθον; — Ἆρ' ἴστε τοῦτον τὸν γέροντα τὸν πλούσιον Εὐκράτην; — Μὴ (ou μῶν ou ἦπου), Αἴαν, Ὀδυσσεύς σοι αἴτιός ἐστι τῆς μανίας καὶ τοῦ θανάτου; — Ἦ θαυμάσιόν ἐστιν Ὀδυσσέα, ἄνθρωπον ὄντα, τῆς δόξης ἐπιθυμῆσαι ἀνθ' ἧς τῷ θανάτῳ πάντες ἀπαντῶμεν; — Μὴ (ou μῶν ou ἦπου) Καῖσαρ εἰς τοσοῦτο δυνάμεως προχωρῆσαι ἄν, εἰ μὴ ἡ τύχη ὑπούργησεν αὐτῷ; — Μὴ (ou μῶν ou ἦπου) λεκτέον ἐστὶ τὴν λογιότητα ὀλέθριόν τι εἶναι, ὅτι ἄνθρωποί τινες αὐτῇ καταχρῶνται; — Μὴ (ou μῶν ou ἦπου) ὄρνις ὁ τὸν ἐπιόντα αὐτῷ θάνατον οὐ προορῶν οἷός τε ἂν εἴη ἡμῖν τῇ πτήσει σαφές τι σημαίνειν; — Μὴ (ou μῶν ou ἦπου) οἱ θεοὶ δέονται τοῦ αἵματος τῶν τράγων καὶ τῶν βοῶν; — Μὴ (ou μῶν ou ἦπου) οἱ Τρῶές ποτε εἰς Λάρισσαν ἦλθον τὰς ἡμῶν γυναῖκας ἢ ἀδελφὰς ἁρπάσαι; — Ἆρ' ἀκήκοας ὅτι αὕτη ἡ ὁδὸς λῃστεύεται; — Ἦ τούτους τοὺς ἀγροὺς ὁρᾶτε καὶ τὰς πολυτελεῖς οἰκίας; ποσάκις ἤδη ὀνόματα ἤμειψαν ἀφ' οὗ γεγόνασιν; — Μὴ (ou μῶν ou ἦπου) ἔστι τι μέρος τῆς ἡλικίας ἄπονον καὶ ἀνώδυνον; — Μὴ (ou μῶν ou ἦπου) δοκεῖ ὑμῖν κάλλιστον εἶναι στρατιώτας Ῥωμαίους τὸ γέροντος αἷμα ἐκχεῖν; — Μὴ (ou μῶν ou ἦπου) τῷ ἀνδρὶ ἀγαθῷ φοβητέον ἐστὶ μὴ ὁ Θεὸς αὐτὸν ἐᾷ ἀγέραστον;

2. Ὁ Θεὸς ἢ οὕτως ἀμελοῖ ἂν τῶν τοῖς ἔργοις καὶ ταῖς ἀρεταῖς καθ' ἡμέραν δοξαζόντων αὐτόν; — Ἆρ' ἐνόμιζε τῷ ὄντι ὁ Σωκράτης ὅτι δαιμόνιόν τι αὐτοῦ ἀδιαλείπτως ἐπιμελούμενον πρὸς τὸ καλὸν προτρέποι αὐτὸν καὶ ἀπὸ τοῦ κακοῦ ἀποτρέποι; — Ἦ φρονίμων ἀνδρῶν ἐστι τῶν νομίμων ἀποστῆναι δι' ὧν δόξαν ἐκτήσαντο ἡμῶν οἱ πρόγονοι καὶ ἡ πόλις ἰσχυρά τε καὶ εὐδόκιμος ἐγένετο; — Ἆρ' ἐστὶ θαυμάσιον τοὺς γέροντας τὰ μὲν παρόντα ψέγειν, τὰ δὲ παρεληλυθότα ποθεῖν; — Τῶν μὲν Τιρυνθίων ταῦρον Ποσειδῶνι θυόντων καὶ παῖδά τινα τῷ βωμῷ προσπελάσαντα ἀποκωλυόντων· Δεδοίκατε, ἔφη, μὴ τὸ σφάγιον ὑμῶν ἀνατρέψω; — Οἱ μῦθοι οἱ περὶ τοῦ Ἅδου ἐφέροντο, αἵ τε Ταντάλου καὶ Ἰξίονος καὶ Σισύφου

τιμωρίαι ἀρ' ἐπιστεύοντο ὑπὸ τῶν πάλαι φιλοσόφων Θάλεώ τε καὶ Σωκράτους καὶ Πλάτωνος; — Ὦ βασιλεῦ, εἶπον Ἀλεξάνδρῳ οἱ Νυσσαῖοι, καταδουλώσεις πόλιν ἣν ἔκτισε Διόνυσος, μνημόσυνον τῆς τε πλάνης αὐτοῦ καὶ τῶν ἐν Ἰνδοῖς νικῶν ἐσομένην; — Αἵ τε νόσοι καὶ ὁ θάνατος καὶ τἄλλα κακὰ οἷς καταπιέζονται οἱ ἄνθρωποι ἢ ἑνὸς αὐτῶν ἐφείσαντο διὰ τὰ χρήματα ἢ τὰς τιμάς;

62ᵉ Exercice.

Suite de l'emploi des adverbes interrogatifs dans les interrogations directes.

Ἦ πρός τι ἄλλο πεποίηται ὁ ἄνθρωπος ἢ πρὸς τὴν ἡδονήν; Πάνυ γε.— Ὀκνήσει ὁ καλὸς κἀγαθὸς ἀνὴρ τὸν βίον ὑπὲρ τῆς ἀρετῆς καὶ τῆς ἀληθείας προΐεσθαι; Οὐ δῆτα. — Ὁ Κόμμοδος τὰς τοῦ πατρὸς Μάρκου Αὐρηλίου ἀρετὰς διεδέξατο; Οὐ δῆτα. — Ἐπιθυμεῖς ἄρα τὰ τῆς πόλεως πράττειν; εἶπε Σωκράτης νεωτέρῳ τινὶ Ἀθηναίῳ Γλαύκῳ τοὔνομα. Ναί, ἀπεκρίνατο οὗτος. — Νομίζεις οἷός τε εἶναι αὐτῇ ὄνησιν φέρειν; Μάλιστά γε. — Τὴν ἐκείνης δύναμιν καὶ τὰς προσόδους αὐξάνειν; Ναί. — Οἶσθα τίνα ἐστὶ νῦν αὐτῇ τὰ ὑπάρχοντα; Οὐδαμῶς. — Ἆρα τοῖς μεγιστᾶσι καὶ τοῖς πλουσίοις ὁμιλεῖς; Ἥκιστά γε.—Δύνασαι, εἶπε Σωκράτης τῷ Ἀλκιβιάδῃ, τούς σου ἀγρούς μοι ἐπὶ τοῦ τῆς Ἀττικῆς πίνακος δεῖξαι; Οὐ δῆτά γε, οὗτος ἀπεκρίνατο. — Ἡ πενία καὶ τὸ τοῦ θανάτου δέος ὑμῖν ἐμποδὼν ἔσονται μὴ ταῖς ὑποσχέσεσιν ἐμμένειν; Οὐδαμῶς. — Ὁ Διογένης τῷ νεωτέρῳ Διονυσίῳ προσπελάσας εἶπεν· Οὐκ ἄξιος ἧς τῆς τύχης τῆς νῦν παρούσης. Οἰκτείρεις οὖν τὰ ἐμοῦ κακά; ἀπεκρίνατο ὁ τύραννος. Καὶ ὑπολαβὼν ὁ Διογένης· Οὐδαμῶς, εἶπεν, ἀλλὰ νομίζω δεῆσαι ἄν σε ὥσπερ τὸν πατέρα σου ζῆν ἀεὶ ὑπὲρ τοῦ βίου τρέμοντα. — Ἱππέως τινὸς τῶν Θηβαίων πολὺ τάγμα τῶν Λακεδαιμονίων κατιδόντος καὶ Πελοπίδᾳ προσαγγέλλοντος· Ἡμεῖς μὲν εἰς τὰς τῶν Λακεδαιμονίων χεῖρας ἐνεπέσομεν· Ἥκιστά γε, ἔφη ὁ στρατηγός, ἀλλ' ἐκεῖνοι εἰς τὰς ἡμῶν. — Ἆρα τῷ συγγραφεῖ ἀπείρηται καινὰ ὀνόματα ζητῆσαι ὥστε καινὰ πράγματα ἀπεικάσαι; Οὐ δῆτά γε. — Τὰ τοῦ Κομμόδου ληρήματά τε καὶ ἀπάνθρωπα ἔργα ἐλάνθανε τοὺς Ῥωμαίους; Οὔκ, ἀλλ' αὐτὸν ἐπὶ πολὺ ἠδέσθησαν ὡς υἱὸν ὄντα τοῦ τῶν βασιλέων ἀρίστου.

63ᵉ Exercice.

Suite de l'emploi des adverbes interrogatifs dans les interrogations directes.

1. Τὸ παρὰ τοῖς Αἰγυπτίοις νενομισμένον τὸ τοὺς τετελευτηκότας βασιλεῖς κρίνειν ὑμῖν οὐ δοκεῖ ἄξιον εἶναι ἐπαίνων; — Ἆρ' οὐχ ὁ Θεὸς ἡμᾶς εἰς τὸν κόσμον προήγαγε, καὶ τὸ φῶς ἔδειξεν ἡμῖν, καὶ τὰς αἰσθήσεις καὶ τὸν λόγον ἔδωκεν; — Ἆρα μὴ οἶσθα ὅτι θνητὸς εἶ, ὅτι κόνις

εἶ, καὶ εἰς κόνιν ἐπανελεύσῃ; — Ἀρίστιππος ὁ φιλόσοφος, ἐγκαλοῦντος αὐτῷ τινὸς πέρδικα πεντήκοντα δραχμῶν ὠνήσασθαι, Μῶν οὐκ ἐκείνην ἑνὸς ὀβολοῦ ὠνήσαι' ἄν; ἀλλ' ἐγὼ οὐ περὶ πλείονος πεντήκοντα δραχμὰς ποιοῦμαι ἢ ἕνα ὀβολόν. — Ἆρ' οὐκ εἰσὶν οἱ Ἀθηναῖοι εὐδαιμονέστατοι; ἔλεγε γελῶν Φίλιππος· οὐχ εὑρίσκουσι κατ' ἐνιαυτὸν δέκα στρατηγοὺς τῶν στρατευμάτων ἡγεῖσθαι ἐπιτηδείους; ἀλλ' ἐγὼ μέχρι τοῦ νῦν μόνον τὸν Παρμενίωνα εὗρον. — Ἆρ' οὐκ ἔστιν ἀδιάφορον τὰ ἡμῶν αὐτῶν λείψανα τῇ γῇ ἀποδοῦναι ἢ καῦσαι αὐτά; — Μῶν οὐκ ἦν τὸ ἐξ Ἀρείου πάγου δικαστήριον μάλιστα πάσης τῆς Ἑλλάδος ἔνδοξόν τε καὶ σεβαστόν; — Χαῖρε, φίλη εἰρήνη. Ἆρ οὐκ εἶ ἡμῖν οἷον τοῖς ἀπειρηκόσι ναυτίλοις τὸ οὔριον, οἷον ὁ ἕσπερος τοῖς νέοις ποιμέσι μέλλουσι συγχορεύειν; — Οὐχ ἡ ἀράχνη τὸ ἀράχνιον ὑφαίνει; Οὐχ ἡ μέλισσα τὸ μέλι ποιεῖ; Μόνος δ' ὁ ἄνθρωπος εἴη ἂν ἀπράγμων;

2. Οὔκουν παράλογόν ἐστιν ὑπολαμβάνειν τὴν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δὲ καὶ συμφέρουσαν πρὸς τὸν βίον τὸν καθ' ἡμέραν; — Οὐκ εὐθὺς ἀπὸ τῆς γενέσεως κλαίει τὸ νήπιον; οὐχ ἅμα ζῆν καὶ ἀλγύνεσθαι ἄρχεται; — Οὐχ οἱ τῶν κολάκων ἔπαινοι Νέρωνα εἰς τὴν σκηνὴν εἰσεβίβασαν, καὶ τὸ προσωπεῖον αὐτῷ καὶ τὸν τραγικὸν κόθορνον προσήρτησαν; — Μετὰ τὴν τῶν Ἀθηνῶν ἅλωσιν πᾶσαι αἱ τῆς Ἑλλάδος πόλεις, αἱ κατ' ἐκείνης συστάμεναι, οὔκουν τοῖς Λακεδαιμονίοις ὑποχείριοι ἐγένοντο οἳ ἔτι τραχύτεροι καὶ ὑπερηφανέστεροι ἦσαν τῶν Ἀθηναίων; — Ἆρ' οὐδένα φιλόσοφον, οὐδένα ποιητὴν τῶν εὐδοκίμων ἡ Εὔβοια ἐγέννησεν; Μῶν οὐχ αἱ πλησίον οὖσαι Ἀθῆναι τοῖς ταύτην τὴν νῆσον οἰκοῦσι τὴν περὶ τοὺς λόγους σπουδὴν ἐνεποίησαν; — Τὰ ἔθνη τε καὶ βασιλεῖς, οἱ αἴσια χρηστήρια λαμβάνοντες, καὶ οἱ νίκας νικῶντες, καὶ οἱ τῶν ἐπιόντων κακῶν ἀπαλλαγέντες, οὐ νομίζουσι δεῖν ἑαυτοὺς ἐν Ἀπόλλωνος τῷ ἐν Δελφοῖς ἱερῷ εὐχαριστίας μνημόσυνα ἀναθεῖναι;

3. Μῶν Ἀλέξανδρος, ὃς ἔφασκε θεὸς εἶναι, οὐχ ὥσπερ οἱ ἄλλοι ἄνθρωποι ἀπέθανεν; Οὐ πολλὰς ἡμέρας ἔκειτο ἐν Βαβυλῶνι ἀκήδευτος, ὑπὸ τῶν περὶ αὐτὸν ὀλιγωρηθεὶς περὶ τῆς βασιλείας συνεριζόντων; — Ἆρ' ἡμεῖς, ἔλεγέ τις Ἀθηναῖος, ἔχομέν τι ἐπιθυμεῖν; Οὐχ οἱ ἡμῶν ὀρνιθῶνες, εἴτε κατὰ πόλιν, εἴτε κατ' ἀγρὸν, ἀφθόνως παντοίαις ὄρνισι κεχορηγημένοι εἰσίν; Οὐχ ἅμα ταῖς ὥραις ἐπανέρχονται ἐκ διαδοχῆς αἱ συκαλίδες καὶ οἱ ὄρτυγες καὶ αἱ κίχλαι; Οὐχ ὁ Φᾶσις ἡμῖν τούτους τοὺς ὄρνιθας πέμπει οὕτω τῇ τῶν πτίλων στιλπνότητι περιβοήτους καὶ οὕτως ἅμα ἡδύκρεως; οὐ τὰ πεδία τρέφει πλῆθός τι ἀμήχανον περδίκων τε καὶ λαγῶν; καὶ οὐκ ἐκ τῶν δρυμῶν σῦς καὶ δορκάδας ἔχομεν; — Οὔκουν οἶσθα, εἶπεν Ἀντίγονος τῷ υἱῷ, τὴν βασιλείαν οὐδὲν ἄλλο οὖσαν ἢ λαμπρὰν δουλείαν;

64ᵉ Exercice.

Suite de l'emploi des adverbes interrogatifs dans les interrogations directes.

1. Παράσιτός τις αἰσθόμενος τὰς παροψίδας οὔποτε πρὸς αὐτὸν ἡκούσας τῷ οἰκοδεσπότῃ ἔλεξε· Πότερον ἐγὼ μεθύω, ἢ οὐ περιφέρονται αἱ παροψίδες; Ἄλλος δέ τις ἐπὶ τῆς τραπέζης ἄρτους κατακεκαυμένους ἰδὼν πρὸς τὸν πλησίον· Πότερον ἄρτους, ἔφη, ἢ ἄρτων σκιὰς ἐκεῖ ὁρῶ; — Πότερον φύσις ἢ παιδεία τοὺς ἐξαιρέτους συγγραφεῖς ἀποφαίνει; — Πότερον οἱ Αἰγύπτιοι ἢ οἱ Ἕλληνες τὴν γεωργίαν εὑρήκασιν; ταῦτα γὰρ τὰ ἔθνη ἀμφότερα ταύτῃ τῇ εὑρέσει ὡς ἰδίᾳ σεμνύνονται. — Ἐπαμεινώνδας τὴν ἀρχὴν κατέχων πέρα τοῦ νομίμου χρόνου πότερον τὴν πόλιν ἔσωσεν ἢ οὔ; — Πότερον δεῖ Ἀλκιβιάδην πολέμιον Ἀθήναις νομισθῆναι ἢ μή; — Πότερον ἀπὸ τύχης ἢ ἐκ προαιρέσεως τὰ ἐν Περσεπόλει βασίλεια ὑπ' Ἀλεξάνδρου καὶ τῶν Μακεδόνων κατεκαύθη; — Πότερον μῖσος ἢ πλεονεξία τοὺς ἀνθρώπους παρορμᾷ πρὸς τὸ ἀλλήλους φονεύειν; — Πότερον ἀπλάστως ἐδάκρυσεν ὁ Καῖσαρ τὴν ἡμαγμένην τοῦ Πομπηΐου κεφαλὴν ἰδὼν ἢ οὔ;

2. Οἱ τῶν Ῥωμαίων στρατηγοὶ πότερον ἀληθῶς τοῖς οἰωνοῖς ἐπίστευον, ἢ ἐνόμιζον αὐτοὺς εἶναι τί τῆς τῶν στρατιωτῶν ἀνδρείας παρορμητικόν; — Πότερον νομίζεις τὴν φιλίαν μεταξὺ δυοῖν ἀνθρώπων τάξει διαφορωτάτων διαμένειν δύνασθαι, ἢ οἴει αὐτὴν δεῖσθαί τινος τάξεως καὶ κτημάτων ἰσότητος; — Ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς Φαρισαίους· Εἰ ὑμῶν ὁ ὄνος ἢ βοῦς εἰς φρέαρ ἐνέπιπτε, πότερον αὐτὸν ἐν αὐτῇ τῇ τοῦ σαββάτου ἡμέρᾳ ἀνασπῷς ἂν ἢ οὔ; — Ὁ τοῦ Θεοῦ υἱὸς πότερον ἦλθε τοὺς ἀνθρώπους σῶσαι ἢ ἀπολέσαι; — Πότερον ἐν Ξενοφῶντι ἢ ἐν Πλάτωνι δεῖ ἡμᾶς τὸ ἀληθὲς Σωκράτους δόγμα ζητεῖν; — Πότερον ἐν εὐπορίᾳ ἢ ἐν πενίᾳ κεῖται ἡ εὐδαιμονία; Ἐν οὐδετέρᾳ, ἀλλ' ἐν τῇ τῆς ψυχῆς εἰρήνῃ. — Πότερον Μίλων Κλώδιον εἰς ἐνέδραν ὑπήγαγεν ἢ οὔ; πότερον αὐτὸς πρότερος ἐπεχείρησεν ἢ οὔ; Οἱ δὲ Κλωδίου δοῦλοι πότερον ἐδόκουν, ἢ οὐ, εἰς στρατείαν τινὰ μᾶλλον ἢ εἰς ὁδοιπορίαν ἐξωπλισμένοι; — Οἱ ἔπειτα γενόμενοι Δημοσθένην αἰτιάσονται διότι ἀδιαλλάκτως Μακεδόνας ἐμίσησεν, ἢ ἐγκαλέσουσι Φωκίωνι διότι φίλος Ἀλεξάνδρῳ καὶ Ἀντιπάτρῳ ἐγένετο; — Πότερον ἡ θηριώδης τοῦ Αἴαντος ἰσχύς, ἢ τοῦ Διομήδους ἢ Ἀχιλλέως ἡ ῥαγδαία ἀνδρεία, ἢ τοῦ σοφοῦ Ὀδυσσέως ἡ φρόνησις τὴν Τροίαν ἀπώλεσεν; — Πότερον θεὸς εἶ ἢ ἄνθρωπος; εἶπον Ἀλεξάνδρῳ οἱ τῶν Σκυθῶν πρέσβεις.

65e Exercice.

Suite de l'emploi des adverbes interrogatifs dans les interrogations directes.

Πῶς τὸν φίλον ἀπὸ τοῦ κόλακος ἀεὶ διακρίνωμεν; — Ποῦ ὁ φυγὰς καταφυγὴν εὕρῃ; — Πότε ἔλθῃ ἡ ἡμέρα ἡ ὑπὸ τῶν ποιητῶν ὑμνουμένη ἐν ᾗ ἀνὰ πᾶσαν τὴν οἰκουμένην γενήσεται εἰρήνη; — Τί ἔθνος τὸ λοιπὸν μεθ' ἡμῶν κατὰ τοῦ Φιλίππου εἶναι βουληθῇ, εἰ μὴ τοῖς Ὀλυνθίοις βοηθήσομεν; — Νῦν οἱ Αθηναῖοι μισθοφόροις μόνον μικροῦ δεῖν χρῶνται ἐπὶ τὸ πολεμεῖν· τί γένηται; αὐτοὶ δὴ καὶ τῆς ἀνδρείας κατὰ μικρὸν ἐκπεσοῦνται καὶ ὑπὲρ τῆς αὐτονομίας ἀμύνεσθαι ἀνεπιτήδειοι γενήσονται. — Πόθεν χρήματα λάβῃ ἡ Καρχηδὼν ὥστε μισθὸν τοῖς στρατεύμασιν ἀποδοῦναι, εἰ ἐκ τῆς Ἰβηρίας ἐξελαθήσεται;

66e Exercice.

Suite de l'emploi des adverbes interrogatifs dans les interrogations directes.

1. Τίς οὗτός ἐστιν ὁ φιλόσοφος ὁ πρῶτος βαίνων; Μένιππος. — Τί φέρει ἐν τῇ πήρᾳ; κυάμους καὶ κρόμμυα. — Τί κάλλιστόν ἐστιν; ὁ κόσμος. Τί μέγιστον; τὸ κενόν. Τί ἰσχυρότατον; ἡ ἀνάγκη. Τί σπανιώτατον; τύραννὸς ἐπὶ γῆρας ἀφικνούμενος. — Τίνος δεῖ πρὸς τὴν εὐδαιμονίαν; σώματος ὑγιοῦς, χρημάτων εὐπορίας, νοῦ πεπαιδευμένου. — Τίνα στρατηγὸν Δαρεῖος πρῶτον τῷ Ἀλεξάνδρῳ ἀντέταξε; Μέμνωνα τὸν Ῥόδιον. — Περὶ τί διέτριβον κατὰ τὴν εἰρήνην οἱ τῶν Ῥωμαίων ἐνδοξότατοι; περὶ τὴν γῆς ἐργασίαν. — Πόσα τάλαντα ἀργυρίου ἐπισήμου Ἀλέξανδρος εὗρεν ἐν τῷ τῶν Περσῶν βασιλέως θησαυρῷ ἐν Σούσοις; τετρακισχίλια. — Τίνα δίκην ἐλάμβανον οἱ Ἀθηναῖοι ἀνθρωποκτονίας καὶ ἀκουσίου; τὴν φυγήν.

2. Κορινθίου τινὸς Διογένη ἐρωτῶντος· Τί ἑώρακας ἐν τοῖς Ὀλυμπίοις; πολλοὺς μὲν θεατάς, ὀλίγους δὲ ἀνθρώπους. Πυνθανομένου δέ τινος παρασίτου· Τί ζῷον δοκεῖ σοι εἶναι βλαβερώτατον; ἐκ τῶν ἀγρίων ὁ συκοφάντης, ἐκ τῶν ἡμέρων ὁ κόλαξ, εἶπεν. — Ὁ αὐτὸς φιλόσοφος ἐκ Λακεδαίμονος εἰς Ἀθήνας ἀφικνούμενος καὶ ἐρωτώμενος ὑπό τινος· Πόθεν ἥκεις; ἐκ τοῦ ἀνδρῶνος εἰς τὸν γυναικῶνα, ἀπεκρίνατο. — Τίνος ἦν τὸ τὴν Ἑλλάδα σῶσαι ἐν Σαλαμῖνι; Ἀθηναίων καὶ μάλιστα Θεμιστοκλέους. — Τίνα καρπὸν ἐκ τῶν σου πόνων ἐκομίσω; τὴν τοῦ ποιῆσαι τὰ καθήκοντα συνείδησιν. — Ποῖον οὖν ἄνθρωπον, ὦ Ἑρμῆ, ἐμοὶ ἤγαγες; Ἄνθρωπον δὴ ὅ τι φρονεῖ λέγοντα καὶ πάντων καταγελῶντα· οὗτος Μένιππός ἐστι. — Τί χαλεπώτατόν ἐστιν εὑρεῖν; ἄνδρα ἀκενόδοξον καὶ ἄτυφον. — Τίσι τρόποις οἱ φιλότιμοι τὸν δῆμον ἐδημαγώγουν; κολακείαις ὀλεθρίοις, καὶ θέαις, καὶ ἑστιάσεσι καὶ σιτοδοσίαις, καὶ δὴ καὶ

χρήμασι. — Τίνας κληρονόμους ἔλειπεν Ἀλέξανδρος; ἀδελφόν τε ἀβέλτερον καὶ νήπιον τέκνον.

67ᵉ Exercice.

Suite de l'emploi des adverbes interrogatifs dans les interrogations directes.

Αἰσχίνης ᾐτιᾶτο Δημοσθένην τίνος ἀδικήματος; — Οἱ Ῥωμαῖοι ἀεὶ τὸ βασιλέως ὄνομα ἀγνοεῖς ὡς ἐβδελύχθησαν; — Οἱ ἀπὸ Θάλεω φιλόσοφοι τὰς τοῦ κόσμου ἀρχὰς ἐξηγεῖσθαι πόσοις δόγμασι διαφόροις ἐπειράθησαν; — Εὖ διαπλευσόμεθα πῶς πράξαντες; — Τοὺς πῶς ἔχοντας ἐγχωρίους εὗρον οἱ Αἰγύπτιοι οἱ πρῶτοι τῆς Ἑλλάδος ἀψάμενοι; — Περσεὺς, ὁ τοῖς Ῥωμαίοις ἀντιστῆναι τολμήσας, νικηθεὶς παρέσχεν ἑαυτὸν πῶς δοκεῖς ἀνδρεῖον; — Τὸν μὲν ἄνθρωπον τὴν Εὐρώπην ἐξ ἐσχάτων ἐπ' ἔσχατα πόσον ἤδη χρόνον διαπορεύεσθαι ἂν νομίζεις;



IDIOTISMES.

68ᵉ Exercice.

Emploi de l'article (*Grammaire*, § 577).

Ὁ ποταμὸς Βαῖτις ἐν τῇ χώρᾳ τῇ καλουμένῃ Βαιτικῇ ῥέων, εἰς τὸν μέγαν Ὠκεανὸν εἰσβάλλει οὐ πόῤῥω τῶν Ἡρακλείων στηλῶν. — Ἡ χώρα δοκεῖ διασῶσαι τὰ τῆς χρυσῆς γενεᾶς τερπνά· ἐκεῖ γὰρ χλιαροὶ οἱ χειμῶνες, καὶ οὔποτε πνέουσιν ἐκεῖ οἱ τραχεῖς βορέαι. — Αἱ ψυκτήριαι αὖραι τὸ τοῦ θέρους καῦμα ἐπικουφίζουσι καὶ τὸν ἀέρα κατὰ μέσην τὴν ἡμέραν καταπραΰνουσι. — Ἡ γῆ ἐν τοῖς ἄγκεσι καὶ τοῖς ἐπιπέδοις ἀγροῖς διπλασίους καρποὺς κατ' ἐνιαυτὸν φέρει. — Ταῖς ὁδοῖς παραφύεται δένδρα ἀεὶ θαλερὰ καὶ ἀεὶ ἀνθηρά. — Τὰ ὄρη πρόβασι καλύπτεται λεπτὰ ἔρια παρέχουσιν ἃ πάντα τὰ γνωστὰ ἔθνη διώκει. — Ὁ μὲν χρυσὸς καὶ ὁ ἄργυρος ἐν τῇ Βαιτικῇ περισσεύουσιν· οἱ δὲ ἐγχώριοι αὐτὰ οὐκ ἀντὶ πλούτου ποιοῦνται, χρώμενοί γ' αὐτοῖς πρὸς τὰ εὐτελέστατα. — Αἱ μὲν γυναῖκες τὸ ἔριον ἕλκουσι, τὸν ἄρτον ποιοῦσι, τὰ σῖτα παρασκευάζουσι· καὶ ἔτι πάσας τὰς τῶν οἰκείων ἐσθῆτας ὑφαίνουσί τε καὶ πλύνουσιν· οἱ δὲ ἄνδρες τὴν γῆν γεωργοῦσι, τὰ ποίμνια ἄγουσι, καὶ τὸ ξύλον τε καὶ τὸν σίδηρον ἐργάζονται οἷς μόνον πρὸς τὰ τῇ γεωργίᾳ ἀναγκαῖα ὄργανα χρῶνται. — Ἐθαύμαζον τῆς εὐκαίρου θέσεως τὴν πόλιν ἣ κατὰ μέσην τὴν θάλατταν ἐν νήσῳ κεῖται. Ἡ πλησίον ἀκτή ἐστιν ἡδίστη τῇ τῆς γῆς εὐφορίᾳ, καὶ τοῖς γλυκέσι καρποῖς οὓς φέρει, καὶ τῷ πόλεων καὶ κωμῶν πλήθει, τέλος δὲ τῇ τοῦ ἀέρος εὐκρασίᾳ· τὰ γὰρ ὄρη ἀπὸ τῶν νοτίων ἀνέμων σκεπάζει αὐτὴν, καὶ τὸ βοῤῥεῖον καταψύχει ὃ πνεῖ ἀπὸ τῆς θαλάττης.

69ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 577, *Remarque I*).

Οὐκ ἐδυνάμην τῷ τοιούτῳ θεάματι ὀφθαλμούς μου κορέσαι. — Ποῖον τὸ γέρας οἱ Ῥωμαῖοι πάλαι τοῖς μεγίστοις στρατηγοῖς ἐδίδοσαν; — Πῶς οἱ τοιοῦτοι στρατιῶται καὶ στρατηγοὶ οἱ τοιοῦτοι τὴν Ἑλλάδα καταστρέψαιντ' ἄν; — Οἱ τοιοῦτοι φιλόσοφοι μόνον εἰσὶν ἐπιτήδειοι τὴν φιλοσοφίαν ἀτιμάζειν. — Τὸν χρόνον ἡμεῖς ἐν τοῖς διδασκαλείοις διατρίβομεν περὶ κενῶν ζητοῦντες· οὐ δὲ τοιοῦτος ἦν ὁ τῶν προγόνων τῶν ἡμετέρων βίος, οὔτε τοῖς τοιούτοις τρόποις τὴν τοσαύτην δόξαν ἐκτήσαντο. — Ὁ τηλικοῦτος ἀνὴρ οὐκ ᾐσχύνθη Πρίαμον ἀνίσχυρον ὄντα καὶ ἄνοπλον κατασφά-

ζων. — Τοὺς τοιούτους ἀγῶνας ὧν τοσοῦτον ἐρᾷ ἡ Ἑλλάς, ὡς ἀχρήστους ὄντας ἀποβάλλει ἡ Ῥώμη. — Ποῖον τὸν καρπὸν ἐκ τῆς ἐμοῦ λογιότητος ἐκομισάμην; εἶπεν Ἰσοκράτης· ἆρ' ἐγώ ποτε τῶν λειτουργιῶν καὶ τῶν ἀρχῶν ἔτυχον ἃς ὁ δῆμός τισι ῥήτορσι νέμει τὰ τῆς πόλεως προδιδοῦσιν;

70e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 577, *Remarque II*).

Ἔφη ὁ διδάσκαλος· πειθώμεθα. — Πάντα ματαιότης ἐστὶν, εἶπεν ὁ προφήτης. — Ἀντίοχος ὁ μέγας ὑπὸ τῶν Ῥωμαίων νικηθεὶς ἠναγκάσθη τὸν πόλεμον παραιτεῖσθαι. — Διονύσιος ὁ τύραννος οὐκ ἤνεγκεν ἐπὶ πολὺ τὰς Πλάτωνος νουθεσίας. — Πάντες ἀποθανούμεθα, ἔλεγεν ἐκείνη ἡ γυνὴ ἧς αἱ Γραφαὶ τὴν φρόνησιν ἐπῄνεσαν ἐν τῇ τῶν Βασιλέων βίβλῳ. — Μὴ ἐπὶ τοῖς ἀποτεθνηκόσιν λυπεῖσθε, ὥσπερ οἱ ἐλπίδα μὴ ἔχοντες, εἶπεν ὁ ἀπόστολος. — Πτολεμαῖος ὁ Εὐεργέτης ἀπήχθετο τοῖς Αἰγυπτίοις διὰ τὰς κακίας καὶ τὰ ἀπηνῆ ἔργα. — Πειρώμεθα μὴ ὅμοιοι εἶναι τῷ θεατρικῷ προσωπείῳ οὗ μνημονεύει ὁ μυθογράφος.

71e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 578).

Στρατηγοὶ ἄνανδροι μὲν καὶ ἄπειροι, δεινότεροι δὲ λόγους κολακευτικοὺς λέγειν ἢ στρατὸν διατάσσειν, νῦν τῶν Ἀθηναίων στρατευμάτων ἡγοῦνται. — Βουνοὶ σύσκιοι ἐλαίαις καὶ δάφναις καὶ ἀμπέλοις, καὶ ὑψηλοῖς ὄρεσιν προσερειδόμενοι, ὡς ἕρκος τι ἀμφὶ τὴν πόλιν ποιοῦσι. — Τιμολέων μὲν διέπρεπεν ἀνδρείᾳ λαμπρᾷ καὶ τελείᾳ φρονήσει, ἐν δὲ τῷ αὐτοῦ ἀδελφῷ Τιμοφάνει οὐδὲν ἦν ἀξιέπαινον ἄλλο, εἰ μὴ ὁρμὴ ἄλογος καὶ θηριώδης. — Ἡ Πνὺξ κεκόσμηται θεάτρῳ, καὶ ἐνίοις ναοῖς, καὶ πολλοῖς ἀγάλμασι. — Περὶ τὴν ἀγοράν ἐστι καὶ μυροπωλεῖα καὶ ἀργυροκοπεῖα καὶ κουρεῖα, ἀεὶ σχολαστῶν πληθύοντα· φιλόσοφοι δὲ καὶ ῥήτορες περιΐασι διαλεγόμενοι ἐν στοαῖς πολλαχοῦ τῆς πόλεως ἱδρυμέναις. — Ἆρα γέροντες καὶ παῖδες οἷοί τε ἦσαν τὴν νικῶντος πολεμίου ὀργὴν κατέχειν; — Φασὶν οἱ συγγραφεῖς τὴν τῶν Ἱεροσολύμων ἅλωσιν μεγάλοις τέρασι προσημανθῆναι. — Μάχαι μυριόνεκροι, νῖκαι ἀνάπυστοι, συμφοραὶ οὐ πισταὶ, πολιτειῶν ἀνατροπαὶ τὴν ταύτης τῆς ἑκατονταετηρίδος ἀρχὴν ἐσημείωσαν. — Ἐν βαθέσιν ἄγκεσι φύεται πόα ὡραία πρόβατα τρέφειν ἱκανή· οὐ δὲ πόῤῥω ἐκεῖθεν εὐρέα χωρία ἀνέῳγεν ἀφθόνοις πυροῖς πληθύοντα. — Παρθένοι ὕδωρ φέρουσιν ἐν ἀγγείοις χαλκοῖς, ἄλλαι δὲ μάζας καὶ ἄνθη.

72ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 578, *Remarque I*).

Οἱ πολλοὶ τῶν ποιητῶν τὴν τῆς χρυσῆς γενεᾶς εὐδαιμονίαν ὕμνησαν. — Πολλοὶ μὲν τῶν φιλοσόφων τῆς τῶν δημοσίων διοικήσεως μετέσχον· ἄλλοι δὲ, ἐλάσσονές γε, αὐτῆς ἀπέσχον ἀκριβῶς. — Πάντα τὰ ἁμαρτήματα ἴσα εἶναί φασιν οἱ Στωϊκοί. — Φεύγοντες ἄλλην πατρίδα ἐρχόμεθα ζητῆσαι πόῤῥω τῶν ἀχαρίστων ἡμῶν πολιτῶν. — Ἡ ἄλλη χώρα ἀρδεύεται πολλοῖς ὀχετοῖς χειροποιήτοις. — Λύκος λιμῷ πιεζόμενος κατεῖδε κύνα εὔτροφον· ὁ μὲν λύκος θέλων ἂν προσπέσοι αὐτῷ, ὁ δὲ κύων ἀμύνεσθαι ἦν ἱκανός. — Οἱ κρινόμενοι πᾶσαν τὴν αἰτίαν εἰς τὴν τύχην ἀναφέρουσιν. — Δεῖ τοὺς ῥήτορας ἐναντίον τοῦ Ἀρείου πάγου λέγοντας ὑφαιρεῖσθαι τῶν λόγων πᾶσαν παρεκβολὴν, πᾶν καλλώπισμα. — Οἱ πολλοὶ τοὺς ἀνθρώπους κρίνουσιν οὐ κατὰ τὴν ἀρετὴν, ἀλλὰ κατὰ τὸν πλοῦτον καὶ τὴν δύναμιν. — Πύθης πολλοὺς τῶν ὑπηκόων ἠνάγκαζε νυκτὸς καὶ ἡμέρας μεταλλουργεῖν.

73ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 578, *Remarque II*).

Φιλόσοφοί τινες τῶν παλαιῶν τὴν ψυχὴν ὥριζον ἄμικτόν τι πνεῦμα, ὅπερ οὐδὲν τῷ σώματι κοινωνεῖ, ἄλλοι δὲ ἀέρα τινὰ λεπτότατον, καὶ ἄλλοι πῦρ τι ἐνεργέστατον ἢ ἔτι φλόγα τινὰ ἀπὸ ἡλίου, μερίδιόν τι αἰθέρος, ὕδωρ τι κουφότατον, μίξιν τινὰ πολλῶν στοιχείων, σύστημά τι ἀτόμων πυροειδῶν καὶ σφαιροειδῶν. — Κατὰ τὸν Τιβερίου χρόνον ἐγίνετο περιβόητός τις γαστρόφιλος Ἀπίκιος ὄνομα. — Χρησμός τις ἐμήνυσε Μυκερίνῳ τῷ τῶν Αἰγυπτίων βασιλεῖ βίου μόνον ἓξ ἐνιαυτοὺς αὐτῷ λοιποὺς εἶναι. — Εὐνούχου τινὸς τῷ Ξέρξῃ ἰσχάδας τῆς Ἀττικῆς παραθέντος, ὁ βασιλεὺς οὐκέτι ἄλλας ἐσθίειν ἤθελε. — Φιλίππος παρασίτῳ τινὶ ἐπιτιμῶντος διότι οὐ παύεται αἰτῶν· Ἐγὼ γὰρ ἐπιλανθάνομαι, οὗτος ἀπεκρίνατο.

74ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 578, *Remarque III*).

Τὰ πολλὰ τῶν πρὸς τὰς ἀνατολὰς ἐθνῶν οὐκ ἐσθίουσι κρέως συείου (ou κρέας σύειον). — Ἀλέξανδρος προεπεπόμφει ἱππέων τὴν χώραν κατασκοπησόντων (ou ἱππεῖς τὴν χώραν κατασκοπήσοντας). — Κάτων εἴθιστο ἐκ παιδὸς πίνειν ὕδωρ· καίτοι ἐν ταῖς στρατείαις τούτῳ ἐκεράννυ ὄξους ἢ οἰναρίου (ou ὄξος ἢ οἰνάριον). — Ἡσίοδος ἐκτήσατο δόξαν ἐν εἴδει ποιήματος ἁπλῷ τε καὶ κομψῷ. — Οἱ Καρχηδόνιοι ᾐχμαλωτίκεισαν Ἰταλιωτῶν (ou Ἰταλιώτας) οὓς ὁ χειμὼν ἀπέῤῥιψεν ἐπὶ τὴν Λιβύης ἀκτήν. —

Οἱ Μακεδόνες ᾑρήκασι καὶ ἀνῃρήκασι πόλεων (ou πόλεις) αἵ ποτε σὺν Ἀθηναίοις πρὸς τὰ τῶν Περσῶν στρατεύματα ἐμαχέσαντο.

75e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 579).

Ἄνθρωπος (ou ὁ ἄνθρωπος) πάντων τῶν ζώων κρείσσων, μόνου Θεοῦ (ou τοῦ Θεοῦ) ἐλάσσων ἐστίν. — Θάνατος (ou ὁ θάνατος) ἡμᾶς ἀφαιρεῖ πάντα τὰ τῇδε ἀγαθὰ, τιμὰς, πλοῦτον, δύναμιν, καὶ οὐδὲν εἰς τὸν τάφον ἡμῖν συγκαταβαίνει. — Ἱστορία (ou ἡ ἱστορία) τὰς κακίας ἀποφαίνει, καὶ τὰς πεπλασμένας ἀρετὰς ἐκκαλύπτει. — Πάλαι ῥητορικὴ καὶ φιλοσοφία (ou ἡ ῥητορικὴ καὶ ἡ φιλοσοφία) οὐκ ἦσαν κεχωρισμέναι· καίτοι φιλόσοφος μὲν (ou ὁ μὲν φιλόσοφος) ἐπειρᾶτο ἐλέγχειν, ῥήτωρ δὲ (ou ὁ δὲ ῥήτωρ) πείθειν. — Κόραξιν (ou τοῖς κόραξίν) ἐστιν, ὥσπερ τοῖς γαμψωνύχοις, πτερὰ μακρὰ καὶ ἰσχυρά. — Ἀὴρ (ou ὁ ἀήρ) ἐστι καθαρώτατον καὶ λεπτότατον καὶ διαφανέστατον πάντων τῶν στοιχείων. — Τὰ τῶν Ῥωμαίων στρατεύματα ἀεὶ ἐν τοῖς στρατοπέδοις (ou ἐν στρατοπέδοις) μάλ' εὐτάκτως διάγοντα οὔτε ἐμπορίᾳ οὔτε γεωργίᾳ (ou οὔτε τῇ ἐμπορίᾳ οὔτε τῇ γεωργίᾳ) ἠνώχλει. — Ἰχθῦς (ou οἱ ἰχθῦς) ἔλαχον, ὥσπερ τετράποδα (ou τὰ τετράποδα), ἑρπετὰ (ou τὰ ἑρπετὰ), καὶ ὄρνιθες (ou οἱ ὄρνιθες) ἀμυντήρια καὶ βλαπτήρια ὅπλα. — Ὀργὴ (ou ἡ ὀργὴ) οὐ μόνον τὴν ψυχὴν ταράσσει, ἀλλὰ καὶ τὸ πρόσωπον συγχεῖ· αὕτη ἡ κακία μόνη οὐ δύναται κρύπτεσθαι. — Οὔτε πενία οὔτε γῆρας (ou οὔτε ἡ πενία οὔτε τὸ γῆρας) τῷ σοφῷ εἰσι κακά. — Πόλεμος (ou ὁ πόλεμος) ἀναστάτους ἐποίησε τὰς δυνατωτάτας πόλεις, καὶ τὰς εὐδαιμονεστάτας χώρας ἐξεπόρθησε, καὶ τὰς μάλιστα καθεστηκυίας βασιλείας ἀπώλεσεν. — Οἱ παλαιοὶ ἐνίοτε εἴκασαν Δικαιοσύνην (ou τὴν Δικαιοσύνην) Διῒ πάρεδρον. — Νόμοι χρησιμώτεροί εἰσι πόλεσι τειχῶν (ou οἱ νόμοι χρησιμώτεροί εἰσι ταῖς πόλεσι τῶν τειχῶν)· πολλαὶ γὰρ πόλεις ἄνευ τειχῶν δύνανται ὑπάρχειν, οὐδεμία δὲ ἄνευ νόμων. — Χρόνος (ou ὁ χρόνος) μορφὴν (ou τὴν μορφὴν) φθείρει, καὶ μαραίνει αὐτὴν νόσος (ou ἡ νόσος), ἀρετὴ δὲ (ou ἡ δὲ ἀρετὴ) ἡμῖν συγγηράσκει.

76e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 579, *Remarque I*).

Ἔθνη ἔνια τοὺς ἀποθανόντας ἐν γῇ καλύπτουσιν, ἀσεβὲς εἶναι νομίζοντα ἡλίῳ δεικνύειν αὐτούς. — Ὁ νόμος βήματος εἴργει πάντα πολίτην ὃς δειλὸς καὶ πονηρὸς εἶναι νομίζεται. — Ἅμα ἡμέρᾳ οἱ ἀγροῖκοι εἰς πόλιν εἰσίασιν, παντοῖα σῖτα φέροντες. — Οἱ πολλοὶ τῶν Ἀθηναίων δὶς σιτοῦνται, τὸ μὲν κατὰ μεσημβρίαν, τὸ δὲ πρὸ ἡλίου δυσμῶν. — Οἱ τοὺς

ἀγροὺς ἐργαζόμενοι πολῖται ὄρθρου ἀπίασιν ἐφ' ἵππου, καὶ δείλης εἰς τὸ ἄστυ ἐπανήκουσι τοῖς τῶν δούλων πόνοις ἐπιστατήσαντες. — Οἱ νομάδες ὑπὸ σκηνῇ ζῆν, καὶ κατ' ἐρημίας ἀπείρους πλανᾶσθαι εἰθισμένοι, οὐ δύνανται φέρειν τὴν ἐν ταῖς πόλεσι διατριβήν. — Οἱ Πέρσαι τῇ αὐτῇ ἡμέρᾳ ἐνικήθησαν κατὰ γῆν καὶ θάλασσαν. — Οἱ πενιχροὶ πολῖται εἰς τὰ βαλανεῖα μάλιστα χειμῶνος φοιτῶσιν. — Ὁ δῆμος συνηθροίζετο ἐν θεάτρῳ οὐ μόνον ὥστε τὰς θέας θεᾶσθαι, ἀλλὰ καὶ ὥστε περὶ τῶν τῆς πόλεως βουλεύεσθαι.

77e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 579, *Remarque II*).

Πίστις μόνος φιλίας δεσμός. — Οὐκ ἐν πλούτῳ εὐδαιμονία. — Πλοῦτος οὐδὲν ἄνευ ἀρετῆς. — Ἑστίασις ἄνευ συμποτῶν οὐδεμίαν χάριν ἔχει. — Πρόσωπον ψυχῆς κάτοπτρον. — Ἐπιείκεια βασιλεῖς θεοῖς παραπλησίους ποιεῖ. — Ἀλήθεια μόνον ἐπιμελείας καὶ σπουδῆς ἀνθρώπων ἄξιον. — Συνήθεια δωρεὰ φύσεως. — Ἀληθὴς εὐσέβεια ψυχὴν ὑψοῖ. — Φθόνος ἐλασσώματος ὁμολόγησις. — Ἀφέλεια σημεῖον ἀληθοῦς ἀρετῆς. — Ψυχῆς τροφὴ δικαιοσύνη καὶ ἀλήθεια. — Βίος ὁδὸς πάνυ τραχεῖα καὶ ἀκανθώδης. — Ἐλεημοσύνη οὐδὲν ἄλλο ἢ δικαιοσύνη. — Ἄνδρες μεγάλοι τῶν πόλεων κράτος. — Δικαιοσύνη ἱερὸς ἀνθρωπίνης κοινωνίας δεσμός. — Ἐλπὶς διδασκάλων ἄριστος. — Φρόνησις ἀδείας ποιητική. — Ἀργία πασῶν κακιῶν ἀρχή. — Ἐξ οἰκειότητος γίγνεται ὀλιγωρία.

78e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 580).

1. Ὁ θάνατος τέρμα πάντων τῶν ἡμετέρων κακῶν. — Οὗτος ὁ μέγας ἀνὴρ εἰκότως ὠνομάσθη Ἑλλήνων ἔσχατος. — Ἔστω ἡ δικαιοσύνη πασῶν τῶν ὑμετέρων πράξεων κανών. — Ὁ Μίνως ἐγένετο τῆς Κρήτης νομοθέτης. — Ἡ ἱστορία οὐ μόνον ἐστὶν ἀκριβὴς ἀληθείας μάρτυς, ἀλλὰ καὶ φρονήσεως ἀρχή, βίου καὶ ἠθῶν κανών, κοινὸν τῷ ἀνθρωπίνῳ γένει διδασκαλεῖον ὁμοίως τοῖς ταπεινοῖς καὶ τοῖς ὑψηλοῖς προσβατόν. — Οἱ μεγάλοι τῶν παλαιῶν ἄνδρες ἦσαν ἅμα στρατηγικοὶ καὶ πολιτικοί, καὶ φιλόσοφοι, καὶ ῥήτορες, καὶ ἐνιότε δὴ ποιηταί. — Οἱ φιλόσοφοι καὶ οἱ ποιηταὶ οὐκ ἀεί εἰσιν ἄνδρες πολιτικοὶ τῶν διαπρεπῶν. — Οἱ μεγάλοι βασιλεῖς οὐκ ἀεὶ μεγάλοι ἄνδρες ἐγένοντο· ἔνιοι δὲ καὶ μόνον ἄνδρες τῶν τυχόντων ἐγένοντο.

2. Ἔλεγεν ὁ Διογένης τὸν πλούσιον ἀπαίδευτον εἶναι πρόβατον χρυσόμαλλον. — Οἱ ἄρχοντες πρῶτον εἰς δεκαετηρίδα ᾑροῦντο. — Οἱ πολῖται

οἱ πλείστας ψήφους ἔλαβον ᾑροῦντο ἄρχοντες. — Ἔλεγον οἱ παλαιοὶ τὸν μὲν χαλκὸν εἶναι προσώπου κάτοπτρον, τὸν δὲ οἶνον ψυχῆς. — Οἱ φιλόσοφοι οἱ ἐπικληθέντες κυνικοὶ τὴν εὐπρέπειαν ψεῦδος ἢ ὑπόκρισιν εἶναι ἡγοῦντο. — Αἱ ἀσεβεῖς ἐλπίδες κακοί εἰσι δαίμονες οἳ ἡμᾶς πλανῶσιν. — Οὗτος ὁ μάγος εἰς ἄνθρωπον τὸν θύρας μοχλὸν μετέβαλλεν, ἢ τὸ κόρηθρον, ἢ καὶ τὸ ὕπερον· εἶτα δὲ ἐκείνου ἐπῳδήν τινα ἐπειπόντος, ὁ μοχλὸς αὖθις ἐγίγνετο μοχλὸς, τὸ κόρηθρον, κόρηθρον, τὸ ὕπερον, ὕπερον.

79ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 581).

1. Ἀλέξανδρος (ou ὁ Ἀλέξανδρος) νικήσας Δαρεῖον (ou τὸν Δαρεῖον) ἔπεμψε μὲν τοῖς Ἕλλησι πολυτίμητα λάφυρα, μάλιστα δὲ τοῖς Ἀθηναίοις. — Κόνων (ou ὁ Κόνων) τοὺς Λακεδαιμονίους νικήσας ἐγγὺς Κνίδου (ou τῆς Κνίδου) ἑκατόμβην τοῖς θεοῖς ἐθύσατο. — Κατὰ τὸν Πελοποννησιακὸν πόλεμον Περικλῆς (ou ὁ Περικλῆς) μόνος τὸν τῶν πολιτῶν θυμὸν ἐπέρρωσε, καὶ τῷ λοιμῷ τε καὶ τοῖς πολεμίοις ἐμαχέσατο. — Ἡρακλῆς (ou ὁ Ἡρακλῆς) ἰδὼν Ἡσιόνην (ou τὴν Ἡσιόνην) κήτει προκειμένην ὑπέσχετο σώσειν αὐτὴν εἰ μισθὸν τὰς Λαομέδοντος (ou τοῦ Λαομέδοντος) ἵππους λήψεται. — Ὅμηρος (ou ὁ Ὅμηρος) ἐπικαλεῖ Θήβας (ou τὰς Θήβας) ἐν Αἰγύπτῳ (ou τῇ Αἰγύπτῳ) πόλιν ἑκατόμπυλον. — Ἐν τῇ πόλει Ἀρσινόῃ (ou ἐν πόλει τῇ Ἀρσινόῃ) οἱ Αἰγύπτιοι ἔτρεφον τοὺς ἱεροὺς κροκοδείλους. — Πολλαί εἰσι πόλεις ἐν τῇ νήσῳ Κρήτῃ (ou ἐν τῇ νήσῳ τῇ Κρήτῃ), μέγισται δὲ καὶ ἐνδοξόταταί εἰσι Κνωσὸς (ou ἡ Κνωσὸς), Γόρτυνα (ou ἡ Γόρτυνα), Κυδωνία (ou ἡ Κυδωνία). — Ἀπόλλων (ou ὁ Ἀπόλλων) ᾐτήσατο παρὰ Μοιρῶν (ou τῶν Μοιρῶν) ἵνα, ὅταν Ἄδμητος (ou ὁ Ἄδμητος) μέλλῃ τελευτᾶν, ἀπολυθείη τοῦ θανάτου, ἐὰν ἑκουσίως τὶς ὑπὲρ αὐτοῦ θνήσκειν ἔληται. — Πομπηΐου (ou τοῦ Πομπηΐου) καὶ Καίσαρος (ou τοῦ Καίσαρος) στασιαζόντων Κικέρων (ou ὁ Κικέρων) ἔλεγεν· Οἶδα ὃν φεύγω, ἀλλ' οὐ πρὸς ὅν.

2. Ἡρακλῆς (ou ὁ Ἡρακλῆς) ἔμαθε παρὰ Ἀμφιτρύωνος (ou τοῦ Ἀμφιτρύωνος) ἁρματηλατεῖν, παρὰ Αὐτολύκου (ou τοῦ Αὐτολύκου) παλαίειν, παρὰ Εὐρύτου (ou τοῦ Εὐρύτου) τοξεύειν, παρὰ Κάστορος (ou τοῦ Κάστορος) ὁπλομαχεῖν, παρὰ Λίνου (ou τοῦ Λίνου) κιθαρίζειν. — Μυθολογοῦσιν οἱ ἱερεῖς ὅτι Δῆλος (ou ἡ Δῆλος) πρὸ τῆς Ἀπόλλωνος (ou τοῦ Ἀπόλλωνος) γενέσεως ὑπὸ τοῖς τῆς θαλάττης κύμασι κεκρυμμένη εἴη. — Πελοπόννησος (ou ἡ Πελοπόννησος) ἔοικε τὸ εἶδος πλατάνου φύλλῳ σχεδὸν ἴσῳ μῆκός τε καὶ πλάτος. — Οἱ Γερμανοὶ οἱ παρὰ Ὠκεανὸν (ou τὸν Ὠκεανὸν) ᾤκουν Κίμβροι ὀνομάζονται. — Ἡρακλέους (ou τοῦ

Ἡρακλέους) εἰς Ὄλυμπον (ou τὸν Ὄλυμπον) ἀναβάντος, οἱ παῖδες αὐτοῦ φεύγοντες Εὐρυσθέα (ou τὸν Εὐρυσθέα) ἀφίκοντο εἰς Ἀθήνας (ou τὰς Ἀθήνας), καὶ τῷ τοῦ Ἐλέου βωμῷ ἐπικαθήμενοι ἐπεκαλέσαντο βοηθήσοντας τοὺς Ἀθηναίους. — Ἀλέξανδρος (ou ὁ Ἀλέξανδρος) παρὰ Γρανικὸν (ou τὸν Γρανικὸν) νικήσας ἠξίωσε Λύσιππον (ou τὸν Λύσιππον) τὰς εἰκόνας ἐργάσασθαι πάντων τῶν Μακεδόνων ἱππέων οἳ ἐν ταύτῃ τῇ συμβολῇ ἔπεσον.

80e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 582).

1. Ὁ πρὸς τὸ κακὸν προπετὴς δύναται τῆς φύσεως κρατεῖν ἐνδελεχεῖ σπουδῇ. — Οἱ πλεονεκτικοὶ μόνον πρὸς τὸ κέρδος ἐν πᾶσι πράγμασι προσβλέπουσιν. — Ὁ φιλότιμος οὔτε συγγενεῖς ἔτι οὔτε φίλους γιγνώσκει. — Ὁ συνεχῶς εὐδαίμων οὐκέτι γεύεται τῆς εὐδαιμονίας. — Ὁ πλούσιος μόλις τι τῶν τοῦ πένητος ταλαιπωριῶν ὑπολαμβάνει. — Δυστυχία μόνη, οὐ λόγος τοὺς ἀνοήτους δύναται σωφρονίζειν. — Ὁ δεισιδαίμων, ἐὰν ἴδῃ ὄφιν ἐν τῇ ἑαυτοῦ οἰκίᾳ, εὐθὺς ἱερὸν ἐνταῦθα ἱδρύεται. — Ὁ κλεψίνους ἐν φανερῷ τούτους ἐπαινεῖ οἷς ἐπιβουλεύει. — Ὁ αἰσχροκερδὴς χρυσὸν ἄπλετον συνάγει· τοῦ δὲ ἄρτου ἐν δείπνῳ φείδεται, καὶ ἀργύριον ἀπὸ τοῦ ξένου δανείζεται ὃν παρ' ἑαυτῷ ἐδέξατο. — Πάντας μὲν τοὺς ἀνθρώπους ἀλλήλοις ὁμοίους εἶναι λέγουσιν οἱ κακοὶ, τοὺς δὲ ἀγαθοὺς οὐδὲν ἄλλο ἢ ὑποκριτάς. — Μόνον ταῖς τῷ γένει ἐλευθέραις γυναιξὶν ἐξουσία ἦν χρυσὸν καὶ χλιδῶνας ἐν τῷ δημοσίῳ φέρειν.

2. Ὁ κακολόγος οὐδενὸς μὲν λέγων φείδεται· μάλιστα δὲ τῶν χρηστοτάτων καὶ τῶν εὐδοκιμωτάτων ἅπτεται. — Εἰ ὁ δειλὸς πλεῖ διὰ θαλάσσης, καὶ πρόσω θῖνας ἢ ἀκρωτήρια καθορᾷ, ναυάγιά φησιν εἶναι τινῶν ἐπὶ ταύτης τῆς ἀκτῆς ναυαγησάντων. — Ὁ γαῦρός τε καὶ μετέωρος οὐδενὶ προσέρχεται, οὐδενὸς ἀκούει, οὐδένα προσαγορεύει. — Οἱ κενόδοξοι καὶ ἐπὶ τοῖς ἐλαχίστοις σεμνύνονται. — Μὴ νομίζεις τὸν ἄδικον εἶναί ποτε ὡς ἀληθῶς εὐδαίμονα; — Οἱ σκυθρωποί τε καὶ δύσκολοι οὐδέποτ' οὐδενὶ ἀρέσκονται. — Ἡ τῶν σοφῶν ὁμιλία πασῶν ἡδίστη. — Ὁ νόμος τὸν ἀσθενῆ ἀπὸ τῆς τῶν ἰσχυρῶν βίας φυλάσσει. — Οἱ περίεργοι οὐδέποτ' ὠφελοῦσι, πολλάκις δὲ μέγα βλάπτουσιν. — Ὁ ἑαυτοῦ ἀκρατὴς ταῖς ἀκρατέσιν ἐπιθυμίαις εἰς κακῶν βυθὸν καθέλκεται.

81e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 583).

1. Δεῖ τὴν ψυχὴν πρὸς τὸ ἀΐδιον γεγενημένην φθορίμου τινὸς ἐρᾶν; — Οἱ πολλοὶ οὐκ ἀεὶ διακρίνουσι τὸ φρόνιμον καὶ τὸ εὐλαβὲς τοῦ δειλοῦ, τὸ

ὑπερήφανον ἢ τὸ αὔθαδες τοῦ ἀνδρείου. — Αὐτοὶ οἱ πονηροὶ τὸ δίκαιον καὶ τὸ εὐσεβὲς ἄγασθαι ἀναγκάζονται. — Τὸ σαφὲς καὶ τὸ ἀκριβὲς ἴδιοι τῆς ἡμῶν γλώσσης χαρακτῆρες. — Τὸ κακήγορον εἰς φάρμακον μεταβάλλει οὔτινος ἅπτεται. — Τὸ βάσκανον καὶ τὸ κακόβουλον τοῖς ἀγροίκοις συνεχῶς ἐρίδας πρὸς ἀλλήλους ἐμβάλλει. — Τὸ ἄπιστον οὐδέποτ' οὐδὲν μέγα ἐποίησεν. — Ὡς εὐδαίμων ἐστὶν οὗτος οὗ τὸ πλεονεκτικὸν, καὶ τὸ φιλοκερδὲς, καὶ τὸ φίλαυτον, καὶ τὸ κενόδοξον, καὶ τὸ τρυφερὸν οὐδέποτε τὴν ψυχὴν διέφθειρε.

2. Καλόν ἐστι τῶν ἐχθρῶν τῷ ἐπιεικεῖ καὶ τῷ ἠπίῳ κρατεῖν. — Εἰ βούλει τοὺς ἀνθρώπους τῆς ἀχαριστίας παῦσαι, σπούδαζε, φίλε Τηλέμαχε, ὅπως τά τε αὐτῶν ἤθη ἐπανορθώσεις, καὶ αὐτοῖς τὸ δίκαιον, καὶ τὸ ἀφελὲς, καὶ τὸ θεόφοβον, καὶ τὸ φιλάνθρωπον, καὶ τὸ πιστὸν, καὶ τὸ μέτριον, καὶ τὸ ἀφιλάργυρον ἐμποιήσεις τῇ ψυχῇ. — Ἰδομενεὺς τῷ τυφώδει καὶ τῷ αὐθάδει τοὺς περιχώρους ἀνθρώπους, ἐφ' ἑαυτὸν παρώξυνε. — Τὸ φιλελεύθερον σφοδρότερόν ἐστι παρὰ τοῖς ὀρεινοῖς ἢ παρὰ τοῖς πεδινοῖς.

82e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 583, *Remarque*).

Τὰ πρῶτα ἡ λύρα μόνον ἐκ τεσσάρων χορδῶν συνειστήκει. — Τὸ τρίτον Εὐρυσθεὺς τῷ Ἡρακλεῖ ἐπέταξε τὴν Ἐρυμανθίδα αἶγα ἀποκτεῖναι. — Οὐδεὶς ἄνθρωπος τὰ πάντα εὐδαίμων ἢ δυσδαίμων. — Οὐ δοκεῖ ἡ Ἑλλὰς τὸ ἀρχαιότατον ᾠκῆσθαι. — Ὁ Τυρταῖος τὸ πρῶτον τοῖς μέλεσι τὴν τῶν Λακεδαιμονίων ἀρετὴν ἀνήγειρε. — Τὸ τελευταῖον οἱ Ἀθηναῖοι ἠναγκάσθησαν τὰς συνθήκας δέχεσθαι ἃς τὸ πρῶτον ὑπερηφανῶς ἀπεώσαντο. — Τὸ δεύτερον Μιθριδάτης ὑπισχνεῖτο εἰς τὴν βασιλείαν ἀποκαταστήσειν τοὺς βασιλεῖς τῶν Ῥωμαίων συμμάχους οὓς ἐξέβαλεν.

83e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 584).

1. Τὸ ἀναγιγνώσκειν βιβλία ἡμᾶς ἀπὸ τῆς ἀηδίας τε καὶ ἀργίας φυλάσσει. — Τὸ γιγνώσκειν ἑαυτὸν ἐπιστήμη ἐστὶ τῷ ἀνθρώπῳ ἀναγκαιοτάτη. — Οἱ Θεσσαλοὶ τῷ τρυφᾷν καὶ τῷ εὐωχεῖσθαι ὑπερβαλλόντως χαίρουσι. — Τὸ λυπεῖσθαι καὶ τὸ χαίρειν ὑπερμετρίως τὸν νοῦν ὁμοίως ταράσσει. — Τὸ ζῆν καὶ τὸ θνήσκειν οὐ μὲν ἐφ' ἡμῖν· ἐφ' ἡμῖν δὲ καλῶς ζῆν καὶ καλῶς θνήσκειν. — Τὸ ὁμολογεῖν ἑαυτὸν ἁμαρτεῖν ἢ σφαλῆναι τῷ ἀνθρώπῳ χαλεπόν ἐστιν ὃς ἑαυτὸν πάντων τῶν ἄλλων κρείσσονα εἶναι νομίζει. — Οἱ Αἰγύπτιοι τοὺς Ἕλληνας ἐδίδαξαν τὸ τοὺς νόμους αἰδεῖσθαι καὶ τὰ κοινῇ συμφέροντα φιλεῖν. — Τὸ φιλοπονεῖν τοὺς πρὸς ἑσπέραν οἰκοῦντας

ἀνθρώπους τῶν ἁβρῶν ἐθνῶν τῶν πρὸς ἕω οἰκούντων ὑπερτέρους ἐποίησεν. — Οἱ Λακεδαιμόνιοι πάντων τῶν ἄλλων τῆς Ἑλλάδος ἐθνῶν διέφερον τῷ τὸ γῆρας αἰδεῖσθαι. — Τὸ περὶ τὴν ζωγραφικὴν καὶ τὴν τορευτικὴν σπουδάζειν ὀψὲ εἰς Ῥώμην εἰσέδυ. — Οἱ βάρβαροι τὴν ὁδὸν ἐσημείουν τῷ σφάζειν, καὶ τῷ ληΐζεσθαι, καὶ τῷ καταπιμπράναι, καὶ τῷ πάντα τρόπον ὑβρίζειν.

2. Οἱ φίλοι τῷ Πύῤῥῳ συνέχαιρον ἐπὶ τῷ τοὺς Ῥωμαίους νικῆσαι. — Τὸ σιγᾶν τε καὶ τὸ συννοεῖν τὴν ψυχὴν ἐπικρατύνει καὶ ἀναῤῥώννυσιν. — Ἐκ τοῦ εἰωθέναι ἄρχειν σοβαρόν τι καὶ ὑψηλὸν λαμβάνομεν. — Ῥᾴδιον μὲν τὸ βουλεύεσθαι, χαλεπὸν δὲ τὸ πράττειν. — Δημῶναξ ὁ φιλόσοφος ἐρωτηθεὶς πότε τοῦ φιλοσοφεῖν ἤρξατο· ὁπότε, ἀπεκρίνατο, ἐμαυτὸν γιγνώσκων ἠρξάμην. — Τὸ ποτοῖς ἐζυμωμένοις χρῆσθαι παρὰ πᾶσι σχεδὸν τοῖς ἔθνεσιν ὑπάρχει καὶ ἀρχαιότατόν ἐστι. — Λεοννάτῳ Μακεδόνι πολλαὶ κάμηλοι εἵποντο κομίζουσαι ἀπ' Αἰγύπτου κόνιν νομιζομένην βελτίστην εἶναι πρὸς τὸ γυμνάζεσθαι. — Τίς ἄνθρωπος οὐ τῷ φοβεῖσθαι καὶ τῷ ἐλπίζειν σαλεύεται ;

84ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 585).

1. Ἆρ' οὐκ ἔστιν ὁ μηνύσων μοι ποῦ οἰκεῖ ἡ δυστάλαινα Ἠλέκτρα; — Ὅτι οὐκ ἔστιν ὁ ὑμῖν ἀντιλέξων, νομίζετε πάντας πείθεσθαι; — Ἀεὶ ἔσονται οἱ ἀπατήσοντες γόητες καὶ οἱ ἀπατηθησόμενοι ἀνόητοι. — Ἐπειδὴ Κίμων ἀπέθανε καὶ ὁ Θουκυδίδης ἔφυγεν, οὐκέτι ἦν ἐν Ἀθήναις ὁ τῇ τοῦ Περικλέους δυνάμει ἀντιζυγήσων. — Ὁ Προμηθεὺς ἐπὶ τοῦ Καυκάσου Διὸς προστάγματι ἐδεσμεύθη, καὶ οὐκ ἦν ὁ λύσων. — Καὶ ἂν σφάλλωνται οἱ βασιλεῖς, εἰσὶν ἀεὶ οἱ αὐτοῖς ἀποδείξοντες ὅτι ὀρθῶς λέγουσιν. — Οἱ παλαιοὶ ἐπίστευον ὅτι εἰσὶ κατὰ τὴν τοῦ Ἅδου εἴσοδον τρεῖς δικασταὶ οἱ τοὺς ἀγαθοὺς ἀπὸ τῶν πονηρῶν διαχωρίσοντες καὶ τοὺς μὲν εἰς τὸν σκοτεινὸν Τάρταρον, τοὺς δὲ εἰς τὰ Ἠλύσια πεδία ἀποπέμψοντες.

2. Μετὰ τὴν τοῦ Περσέως ἧσσαν, οὐκέτι ἦν ὁ τολμήσων τοῖς Ῥωμαίοις ἀνθίστασθαι. — Εἰ ἐκ τῆς τοῦ ἀνθρώπου ψυχῆς τὸ φιλόδοξον ἀφανίζοις, νομίζεις ἔσεσθαι ἔτι τοὺς μεγάλα ἔργα ἀποδείξοντας, καὶ πρὸ τῆς πατρίδος τὸν βίον παραβαλουμένους; — Εἰσὶ μὲν οἱ οὔποτε χάριν ὑμῖν τῶν μεγίστων εὐεργετημάτων εἰσόμενοι, ἄλλοι δὲ οἱ πάντα τὸν βίον εὐχαριστήσοντες ὑμῖν τοῦ ἐλαχίστου ὑπουργήματος. — Κύρου τοῦ νεωτέρου ἐν τῇ μάχῃ ἀποθανόντος, οὐκέτι ἦν ὁ τῷ Ἀρταξέρξῃ περὶ τῆς τῶν Περσῶν βασιλείας διαγωνισόμενος. — Παρθένοι, ἆρ' ὑμῶν εἰσὶν αἱ λέξουσαι ἐμοὶ εἰς τίνα χώραν τῷ χειμῶνι ἀπεῤῥίφην; — Οἱ Τρῶες ἤδη τὰς ναῦς ἐνέπρησαν τὰς τὸ τῶν Ἑλλήνων στρατόπεδον περιτειχιζούσας, καὶ οὐκ ἦν ὁ ἀπείρξων αὐτούς.

85e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 586).

1. Ἀλέξανδρος πράως ἔφερε τὴν τῆς μητρὸς Ὀλυμπιάδος δυσκολίαν. — Ἡ θεὸς ἀκίνητος ἱσταμένη ἐπὶ τοῦ αἰγιαλοῦ, τοῦτον τοῖς δάκρυσι κατέβρεχεν. — Ὀδυσσεὺς τοῖς ξένοις διηγήσατο ὅσα αὐτῷ συνέβη ἐν τῷ Πολυφήμου τοῦ Κύκλωπος σπηλαίῳ, καὶ ἐν τῇ τῶν Λαιστρυγόνων χώρᾳ, καὶ ἐν τῇ τῆς φαρμακευτρίας Κίρκης νήσῳ. — Νιόβη, ἡ τολμῶσα ἑαυτὴν τῆς Λητοῦς κρείσσω νομίζειν, τοὺς ἑπτὰ κόρους καὶ τὰς ἑπτὰ κόρας ἀποβαλεῖς. — Οἱ Τύριοι τῇ ὑπερηφανίᾳ ἐφ' ἑαυτοὺς παρώξυναν τὸν βασιλέα Σέσωστριν τὸν ἐν Αἰγύπτῳ βασιλεύοντα. — Ὅτε Τερμώσιρις ἐνδεδυμένος εἴη τὴν ποδήρη καὶ λευκοφανῆ στολὴν καὶ τὴν ἐλεφαντίνην λύραν εἰς χεῖρας λάβοι, αἱ τίγρεις, καὶ οἱ λέοντες, καὶ οἱ ἄρκτοι προσελθόντες αὐτὸν ἔσαινον καὶ τοὺς πόδας αὐτῷ περιέλειχον. — Τὸ τοῦ βίου ὡραιότατον ἐν Ἑλλάδι, ἐν Αἰγύπτῳ, ἐν Περσίδι διήγαγον, τὸν δὲ πλεῖστον χρόνον ἐν Ἑλλάδι διέτριψα. — Τελευτήσαντος τοῦ Σεσώστριος, ἑκάστη μὲν οἰκία ἐνόμιζε τὸν βέλτιστον φίλον, καὶ τὸν προστάτην, καὶ τὸν πατέρα ἀποβαλεῖν· οἱ δὲ γέροντες τὰς ἀσθενεῖς χεῖρας πρὸς τὸν οὐρανὸν ἀνατείνοντες ἀνέκραζον· « Οὔποτε τῇ Αἰγύπτῳ τοιοῦτος ἐγένετο βασιλεύς. »

2. Οὐκέτι μοι ἐξῆν τὴν εἰς Ἰθάκην ἐπάνοδον ἐλπίζειν· ἐν πύργῳ δὲ κατεκλείσθην ἐπὶ τοῦ αἰγιαλοῦ παρὰ Πηλούσιον. — Οἱ Τύριοι τοῖς πλησίον ἔθνεσι φοβεροί εἰσι ταῖς ἀναριθμήτοις ναυσίν. — Τοὺς ἡγεμόνας καταλείψομεν οὔτε ζῶντας οὔτε ἀποθανόντας, ἀλλὰ τοὺς πεσόντας τῶν συμμάχων πάντας θάψομεν. — Ἐπειδὴ τάχιστα τὸν Μέντορα εἶδον, ἤθελον μὲν περιβαλεῖν αὐτόν· ᾐσθόμην δὲ ὅτι οἱ πόδες κινεῖσθαι οὐκ ἐδύναντο, τὰ δὲ γόνατά μοι ὑπεκάμπτετο, καὶ αἱ χεῖρες κενὸν εἴδωλον ἐθήρευον ὃ ἀεὶ διέφευγε. — Φοίνικες, εἰ τοὺς θεοὺς αἰδεῖσθε, ἡμᾶς εἰς τὴν ναῦν δέξασθε· ἴμεν ὑμεῖς ὅποι ἴτε. — Τὰς ἐσθῆτας ἡμῶν ἀποδυσαμένων δοῦλοι τοῖς ἄρθροις πολὺ μύρον ἐπέχεαν λιπαρόν τε καὶ στιλπνόν. — Εἰ ὑπὸ τῶν φίλων βούλει ἀγαπᾶσθαι, δεῖ σε τοὺς φίλους εὖ ποιεῖν· εἰ ἐπιθυμεῖς ὑπὸ τῆς πατρίδος τιμᾶσθαι, δεῖ σε τὴν πατρίδα εὐεργετεῖν. — Φασὶν οἱ Νάξιοι Διόνυσον τραφῆναι παρ' αὐτοῖς, καὶ διὰ τοῦτο τὴν νῆσον τούτῳ τῷ θεῷ φιλτάτην εἶναι. — Μέμνησο τῶν φίλων καὶ παρόντων καὶ ἀπόντων. — Ἐκεῖ ὑπὸ τῶν ἀνθρώπων ἀπολελειμμένος καὶ τῇ τῶν θεῶν μήνιδι ὑποκείμενος τὸν χρόνον διέτριβον τοῖς τόξοις βάλλων τὰς περιστερὰς καὶ τοὺς ἄλλους ὄρνεις οἳ τὴν πέτραν περιΐπταντο.

86ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 587).

1. Κάδμος ὁ Ἀγήνορος ὑπὸ τοῦ πατρὸς ἐπέμφθη εἰς τὴν τῆς Εὐρώπης ζήτησιν. — Τῇ ἐννάτῃ, Ἀρισταῖος εἰς τὸ νέμος ἐπανέρχεται, καὶ, ὢ τοῦ θαύματος, ὁρᾷ μελίσσας ἐκ τῶν τοῦ ταύρου πλευρῶν ἐξορμώσας. — Οἱ τοῦ Χριστοῦ τὸν κόσμον ἐχειρώσαντο. — Δημήτηρ τὸ πλεῖστον τῆς γῆς διέδραμε τὴν ἑαυτῆς Περσοφόνην ἀναζητοῦσα. — Ὅτε οἱ στρατοὶ ἐν τῇ πολεμίᾳ γένοιντο, οὐκέτι αὐτοῖς τὰ ἐπιτήδεια ἡ πόλις ἐπόριζεν. — Οἱ Θηβαῖοι τὰς τῶν Θεσπιέων καὶ τῶν Πλαταιέων πόλεις ἀναστάτους ἐποίησαν αἳ τῆς Βοιωτικῆς συμμαχίας ἀπέστησαν. — Τὰ τῆς τύχης ὀξείας ἔχει τὰς μεταβολάς. — Τὰ περὶ τὸν Δίωνα ἀπηλλοτρίωσε Διονύσιον Πλάτωνος προθύμως ὑπὲρ τοῦ φίλου σπουδάζοντος. — Ὀλυμπιὰς ἡ τοῦ Ἀλεξάνδρου πυθομένη τὸν υἱὸν ἐκ πολλοῦ κεῖσθαι ἄταφον· Ὦ παῖ, ἀνέκραγεν, σὺ μὲν τῶν θείων τιμῶν ἐφίεσο, οὐ δὲ τῶν πᾶσι τοῖς θνητοῖς κοινῶν δύνασαι τυγχάνειν.

2. Πάντα τὰ περὶ τὸν πόλεμον, καὶ ἡ στρατολογία, καὶ ἡ τῶν στρατευμάτων ἡγεμονία μόνον τοῖς ὑπάτοις προσήκει. — Παρὰ πολλοῖς ἔθνεσιν οὐ τῷ ὄντι ὑπάρχει ἡ ἰατρική· μόνον δὲ ἐκ τινῶν δεισιδαιμονημάτων συνέστηκεν. — Οἱ Ἀθηναῖοι τῷ Κίμωνι ἐνεκάλουν ὅτι τὰ τῶν Λακεδαιμονίων πράττοι. — Οἱ Ῥωμαῖοι παρὰ τοῦ Πύῤῥου ἔμαθον στρατόπεδον σύμμετρον περιγράφειν· πρὸ τοῦ γὰρ οἱ στρατιῶται ἐσκήνουν ὡς ἔτυχε. — Μετὰ τὴν ἐν Κάνναις μάχην, ὡς τὰ τῶν Ῥωμαίων ἀνελπίστως ἔχειν ἐδόκει, ἔνιαι πόλεις Ἰταλικαὶ τὰ Ἀννίβα προείλοντο. — Μὴ εἰς τὴν ὑστεραίαν ἀναβάλλεσθε ὃ ἐν αὐτῇ τῇ ἑσπέρᾳ πράττειν δύνασθε. — Τῇ μὲν Ἡρακλῆς ῥᾳδίως ἀπεῤῥίζου τὰς ὑψηλὰς ἐλάτας καὶ τὰς πολυχρονίους δρῦς αἳ ἐκ πολλῶν γενεῶν τῶν ἀνέμων καὶ τῶν θυελλῶν κατεφρόνησαν· τῇ δὲ ἐπειρᾶτο τὸν ὀλέθριον χιτῶνα ἀπὸ τῶν νώτων ἀποσπᾷν, ἀλλὰ μάτην.

87ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 587).

1. Κινέας εἰώθει λέγειν τὸ τοῦ Εὐριπίδου, ὅτι καταλύει ὁ λόγος ὅπερ ὁ τῶν πολεμίων σίδηρος ἐποίησε. — Τί κάλλιον ἢ τὸ τοῦ Ἰησοῦ· « ἀγαπᾶτε ἀλλήλους; » — Ἡ γραφικὴ καὶ ἡ γλυπτικὴ τὰς τούτων τῶν μεγάλων ἀνδρῶν ὄψεις διέσωσαν. — Ἆρ' οὐ θαυμαστὸν τοὺς ἀνθρώπους ποτ' ἂν τὰ τοῦ πολέμου τῶν εἰρήνης προαιρεῖσθαι; — Ὁ Δημοσθένης ὑπὸ τῶν τοῦ Ἀντιπάτρου δορυφόρων διωχθεὶς εἰς τὸν Ποσειδῶνος κατέφυγεν, ἐν τῇ νήσῳ Καλαυρίᾳ. — Τὰ περὶ τὰ ὅρια αἴτια ἦν ὅτι ἀμφότεροι ο δῆμοι πρὸς ἀλλήλους συνεχῶς ἐπολέμουν. — Τῶν τῆς τύχης τῷ σοφῷ οὐ μέλει ὅς

οὐδὲν ἐλπίζει ὅτι μὴ παρ' ἑαυτοῦ. — Ἡ τῶν στρατιωτῶν ἀνδρεία καὶ ἡ τῶν στρατηγῶν ἐμπειρία οὐ δύνανται ἀεὶ τῶν τοῦ πολέμου κρατεῖν.

2. Ξενοφῶν ὁ τοῦ Σωκράτους δοκεῖ ἀκριβῶς ἐν ταῖς ὁμιλίαις οὐ μόνον τὸ δόγμα ἀλλὰ καὶ τὸν τρόπον τοῦ διδασκάλου ἀπεικάσαι. — Αἱ κάμηλοι χρήσιμαί εἰσι μάλιστα πρὸς τὰς διὰ τῆς ἐρήμου καὶ ἀνύδρου συντελουμένας ὁδοιπορίας. — Φασὶν οἱ Ταῦροι ὅτι τῇ Ἰφιγενείᾳ τῇ τοῦ Ἀγαμέμνονος τοὺς Ἕλληνας θύουσιν οἳ εἰς τὴν ἀκτὴν ἐκ τῶν ναυαγιῶν ἐκπίπτουσιν. — Ὁ τοξότης τὸ τόξον τῇ μὲν ἀριστερᾷ κατέχει, τῇ δὲ δεξιᾷ τὴν νευρὰν ἐφ' ἑαυτὸν ἕλκει. — Εἰ καὶ μάλιστα οἱ ἄνθρωποι τὰ τοῦ γήρως ὀδύρονται, οἱ πολλοὶ αὐτῶν τοῦ βίου οὐκ ἐξίστανται ἑκούσιοι καὶ δὴ ποῤῥωτάτω τῆς ἡλικίας ἥκοντες.

88ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 588).

1. Οἱ τῶν Λακεδαιμονίων βασιλεῖς ἐκ τῶν ἀφ' Ἡρακλέους ἐξελέγοντο. — Πάντες οἱ ἀμφὶ τὸν Ἀλέξανδρον χρήματα πλεῖστα παρ' αὐτοῦ ἔλαβον μετὰ τὴν τοῦ Δαρείου ἧσσαν. — Πάντων τῶν ἀμφὶ Φιλοποίμενα ἱππέων ἀποφεύγειν δυνηθέντων, οὗτος ὁ μέγας ἀνὴρ μόνος εἰς τὰς τῶν πολεμίων χεῖρας εἰσέπεσεν. — Οἱ πάλαι ἐπὶ πολὺ τὰς τοῦ ἡλίου καὶ τῆς σελήνης ἐκλείψεις εἰς ὑπερφυεῖς αἰτίας ἀνήνεγκον. — Μὴ κενῷ ἀρετῆς καὶ καλοκαγαθίας προσχήματι ἁλισκώμεθα· οὐ γὰρ τὰ ἔνδον ἀεὶ τοῖς ἐκτὸς ὅμοια. — Χαρίζου τῷ πλησίον, εἰ βούλει τὸν πλησίον σοὶ χαρίζεσθαι. — Ὁ ἄνθρωπος ὁ συννοεῖν μὴ εἰθισμένος μόνα τὰ πρὸ τῶν ὀφθαλμῶν καὶ τρόπον τινὰ ἐν χερσὶν ὄντα ἀποβλέπει. — Ἔστι τὰ ἀμφὶ τὴν Αἴτνην πεδία χαρίεντα ὁρᾶν καὶ εὔγεω.

2. Οἱ μεθ' ἡμᾶς ἴσως ἐπὶ τῇ ἡμῶν ἀμαθείᾳ γελάσονται, ὥσπερ ἡμεῖς ἐπὶ τῇ τῶν πρὸ ἡμῶν εὐηθείᾳ γελῶμεν. — Οὐδεὶς τῶν μάντεων τῶν ἀμφὶ τὸν βασιλέα τοῦτον τὸν ὄνειρον ἑρμηνεύειν ἐδυνήθη. — Οἱ νῦν Ἀθηναῖοι μᾶλλον περὶ τὰς τῶν φιλοσόφων καὶ τῶν σοφιστῶν ἀμφισβητήσεις σπουδάζουσιν ἢ περὶ τὰ τῇ Ἑλλάδι συμφέροντα· οὐχ οὕτω δὴ οἱ πάλαι τὰ πρωτεῖα ἔλαβον. — Πάντες οἱ ἐπὶ τῆς νεὼς τοῖς κύμασι κατεβροχθίσθησαν πλὴν ἐμοῦ καὶ Μέντορος. — Τίς τῶν ἐνταῦθα δύναται ἐλπίζειν ἑαυτὸν τύχῃ χρήσεσθαι πιστοτέρᾳ ἢ τὸν Μάριον καὶ τὸν Πομπήϊον; — Οὐδεὶς τῶν νῦν τὰ τόξα τείνειν δύναιτ' ἂν οἷς οἱ ἥρωες ἐχρῶντο παίζοντες. — Κύρου παυσαμένου τοῦ λόγου οὐδεὶς τῶν ἐκεῖ τὰ δάκρυα κατέχειν ἐδυνήθη.

89ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 588).

1. Τὰ ὄρη δένδροις πεπυκασμένα ἐστὶ τὸ κάλλος θαυμαστοῖς· ἐκ δὲ τῶν κάτω ἀναβλύζουσι πηγαὶ ὥσπερ κρύσταλλος διαυγεῖς, καὶ ἐκ τῶν μεταξὺ ἀναφέρεται αὔρα καθαρὰ καὶ ἡδίστη. — Πρὸ τῆς τοῦ Ἀλεξάνδρου στρατείας τὰ ἔνδον τῆς Ἀσίας σχεδὸν ἦν τοῖς Ἕλλησιν ἄγνωστα. — Πᾶσα ἀρετὴ ἐν τῷ μετρίῳ κεῖται· φεῦγε οὖν τὸ ἄγαν καὶ τὸ ἧττον. — Τὰ τοῦδε τοῦ πολυφήμου ναοῦ ἔξω οὐδὲν εἶχε περίβλεπτον. — Τὸ μὲν τοῦ Παρνασοῦ ἀπόκλιμα τὸ πρὸς τὴν ἑσπέραν οἱ Λοκροὶ κατέχουσι· τὸ δὲ πρὸς τὴν ἕω οἱ Φωκεῖς καὶ οἱ Δωριεῖς κατοικοῦσιν.

2. Οἱ περὶ τὸν Πλάτωνα βαρέως φέροντες τὴν τοῦ Διογένους ὕβριν τοῦτον κακῶς ποιήσαιεν ἄν, εἰ μὴ κατέσχεν αὐτοὺς ὁ διδάσκαλος. — Ἐπὶ μὲν τῶν τῆς σκηνῆς ἔμπροσθεν ἔστιν ἄλσος, ἐπὶ δὲ τῶν ὄπισθεν καθορᾷ ὁ θεατὴς τοὺς μεγάλης τινὸς πόλεως πύργους. — Πασῶν τῶν ἐν τῇ παραλίᾳ πόλεων τοὺς λῃστὰς ἀλέξασθαι μὴ δυναμένων, οἱ οἰκοῦντες ἔφευγον πανδημεὶ εἰς τὰ ἔνδον τῆς γῆς — Οἱ Κρῆτες οἱ σὺν τῷ Τηλεμάχῳ ἕτοιμοι ἦσαν τῷ ἡγεμόνι τοῖς ὅπλοις ἀμύνειν. — Ἐκ πάντων τῶν τοῦ Φειδίου ἀγαλμάτων οὐδέν ἐστιν ἐνδοξότερον ἢ τὸ τοῦ Διὸς τὸ ἐν Ὀλυμπίᾳ.

90ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 588, *Remarques*).

1. Οἱ πάλαι Ῥωμαῖοι φιλογέωργοι ἦσαν. — Ἡ κάτω Αἴγυπτος πάνυ ἐπίπεδος οὖσα τοῖς συχνοῖς τοῦ Νείλου ἀγκῶσι διατέμνεται καὶ πολλοῖς ὀχετοῖς. — Αἱ Θῆβαι ἐπὶ πολὺ τῶν τῆς ἄνω Αἰγύπτου πόλεων ἐπρώτευσαν τῷ τε τῶν ἐνοικούντων πλήθει καὶ τῷ τῶν οἰκοδομημάτων κάλλει. — Κῦρος ὁ νεώτερος εἰς τὴν ἄνω Ἀσίαν ἤλασεν ἐπὶ τὸν ἀδελφὸν στρατεύματι τριάκοντα μυριάδων βαρβάρων καὶ τρισκαιδεκάκις χιλίων Ἑλλήνων. — Σέσωστρις ὁ μέγας τῇ ἀνηκούστῳ εὐτυχίᾳ τυφλωθεὶς τοὺς αἰχμαλώτους βασιλεῖς ἠνάγκασεν ἑαυτοὺς τῷ αὐτοῦ ἅρματι ὑποζυγοῦν. — Φιλοποίμην ὑπὸ τῶν Μεσσηνίων ἐθανατώθη οὓς τὸ πρὶν τὰ μέγιστα εὐεργέτησεν. — Ἡ ἄγαν τῶν Περσῶν βασιλέων χλιδὴ τὸ ἔθνος κατ' ὀλίγον διεθήλυνεν ὃ ἀνδρεῖον ἔφυ. — Ἠξίωσεν ὁ Θρασύβουλος τῇ λήθῃ παραδίδοσθαι τὴν πασῶν τῶν πρὶν στάσεων μνήμην. — Οἱ ἔξωθεν πόλεμοι ἧσσον ἄσπονδοι καὶ ὀλέθριοί εἰσιν τῶν ἔνδοθεν. — Αἱ νῦν οἰκίαι εὐρύτεραί εἰσι καὶ πολυτελέστεραι ἤπερ οἵ ποτε τῶν θεῶν ναοί. — Βασιλεύς τις τῶν Λακεδαιμονίων τῷ Ἀλεξάνδρῳ παραγενόμενος λέοντα καταβάλλοντι μέγαν· Καλῶς γε, εἶπεν, ὦ βασιλεῦ, πρὸς τὸ θηρίον τοῦτο ἠγώνισαι περὶ τῆς βασιλείας. —

Πάντες οἱ φιλόσοφοι ἐπαγγέλλονται τὴν ἀληθῶς σοφίαν μόνοι εἰδέναι καὶ διδάσκειν.

2. Ὁ ἄνθρωπος ὁ ἀποθνήσκειν κατακεκριμένος οὐδὲν μεῖζον ἀγαθὸν δύναται αἰτεῖσθαι ἢ τὸν αὐτίκα θάνατον. — Αἱ ἐξαίφνης μεταβολαὶ σχεδὸν ἅπασαι ἐξ αἰτιῶν ἐγένοντο ἀρχαίων μέν, ἐπὶ πολὺ δὲ λαθουσῶν. — Τῆς ὥρας ἤδη φθινούσης, ὁ Δαρεῖος εἰς τὸ ἑξῆς ἔτος ἀνεβάλετο τὸ τοὺς Ἀθηναίους τιμωρήσασθαι. — Οἱ Αἰθίοπες οἱ τῆς Αἰγύπτου ἐγγὺς ὄντες πολλάκις εἰς τὴν Αἴγυπτον εἰσέβαλον καὶ δὴ πολλοὺς βασιλεῖς αὐτῇ ἐπέθεσαν. — Πῶς τῇ χλιδῇ καὶ ταῖς ἡδοναῖς συζῶντες δῆμοι τοῖς στρατιώταις οἷοί τ' ἂν εἶεν ἀντιστῆναι τοῖς τῇ καθ' ἡμέραν ὁπλομαχίᾳ ἠσκημένοις καὶ πρὸς τοὺς χαλεπωτάτους πόνους εἰθισμένοις; — Πλὴν τῶν μεγάλων θεῶν οἱ ἐθνικοὶ πλῆθός τι ὑποδεεστέρων θεῶν ἐσέβοντο οἳ τὴν γῆν σὺν τοῖς ἀνθρώποις κατῴκουν. — Αἱ πέρυσιν εὐεργεσίαι ἤδη εἰς λήθην ἦλθον. — Ὁ Μίνως τοὺς Ἀθηναίους ἐπὶ θαλάσσης τὸ πάλαι νικήσας φόρον ἐπέθηκεν αὐτοῖς οὗ ὑπὸ τοῦ Θησέως ἠλευθερώθησαν. — Τὰ τοῦ ναοῦ ἔξω θαυμαστῶς ὡς ἀναγεγλυμμένα ἐστί. — Τῶν Ῥωμαίων καὶ τῶν Κελτῶν ἐγγὺς ἀλλήλων στρατοπεδευσάντων τὰ μεταξὺ διέρρει ῥεῦμά τι ἐξ οὗ οἱ ἀμφοτέρων τῶν στρατευμάτων στρατιῶται ὕδρευον.

91ᵉ Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 589).

1. Ὁ θὴρ ὁ καλούμενος κροκόττας (ou ὁ καλούμενος κροκόττας θὴρ) μεμιγμένην ἔχει φύσιν κυνὸς καὶ λύκου. — Οἱ ἐλέφαντες οἱ ἐν ταῖς ὕλαις ἐλευθέρως ζῶντες (ou οἱ ἐν ταῖς ὕλαις ἐλευθέρως ζῶντες ἐλέφαντες) πρὸς ἀλλήλους σφοδρῶς μάχονται. — Ὁ ὄρνις ὁ ἐκ τῆς Φάσιδος (ou ὁ ἐκ τῆς Φάσιδος ὄρνις) ἄφθονος ἤδη κατὰ πᾶσαν τὴν Εὐρώπην. — Τάνταλος ὁ Διὸς (ou ὁ Διὸς Τάνταλος) πλούτῳ καὶ δόξῃ διαφέρων τὴν χώραν Ἀσίας τὴν νῦν ὀνομαζομένην Παφλαγονίαν (ou τὴν νῦν ὀνομαζομένην Παφλαγονίαν Ἀσίας χώραν) κατῴκει. — Ἐν Λακεδαίμονι ὁ παῖς ὁ μέλλων τὴν βασιλείαν διαδέχεσθαι (ou ὁ μέλλων τὴν βασιλείαν παῖς διαδέχεσθαι) οὐχ ἅμα τοῖς ἄλλοις παισὶν ἐτρέφετο, μὴ ἡ συνήθεια τὸ τοῦ ἀξιώματος τοῦ βασιλικοῦ (ou τὸ τοῦ βασιλικοῦ ἀξιώματος) πρόσχημα ἐλασσοῖ. — Ὁ ψυχρὸς καὶ χαλεπὸς ἀὴρ ὁ τῆς Ἀρκαδίας (ou ὁ τῆς Ἀρκαδίας ψυχρὸς καὶ χαλεπὸς ἀὴρ) τὰ μὲν σώματα ἐπιῤῥώννυσι, τὰς δὲ ψυχὰς τραχύνει. — Οἱ νόμοι οἱ τῶν Λακεδαιμονίων (ou οἱ τῶν Λακεδαιμονίων νόμοι) ἀκριβέστατον τῆς τροφῆς τῆς τῶν παίδων (ou τῆς τῶν παίδων τροφῆς) ἐπιμελοῦνται. — Λεύκουλλος ὁ στρατηγὸς ὁ Ῥωμαῖος (ou ὁ Ῥωμαῖος στρατηγὸς), ὃς Μιθριδάτην καὶ Τιγράνην ἐνίκησεν, οὐχ ἧττον τῇ χλιδῇ ἢ ταῖς νίκαις πολύφημος ἦν.

2. Μετὰ τὴν μάχην τὴν ἐν Σαλαμῖνι (ou μετὰ τὴν ἐν Σαλαμῖνι μάχην), Σοφοκλῆς, ἔτι παῖς ὤν, ἀμφὶ τὸ τρόπαιον τὸ ἐκ τῶν Περσικῶν λαφύρων ἐγερθὲν (ou ἀμφὶ τὸ ἐκ τῶν Περσικῶν λαφύρων ἐγερθὲν τρόπαιον) ἐχόρευσεν. — Ἐν τοῖς νόμοις τοῖς Δράκοντος (ou ἐν τοῖς Δράκοντος νόμοις) μία ζημία πᾶσι τοῖς ἁμαρτήμασιν ἦν διωρισμένη, θάνατος. — Φασὶν οἱ Σικελιῶται ἐν τῇ νήσῳ τῇ ἑαυτῶν (ou ἐν τῇ ἑαυτῶν νήσῳ), ἐν τοῖς πεδίοις τοῖς κατὰ τὴν Αἴτνην (ou ἐν τοῖς κατὰ τὴν Αἴτνην πεδίοις) τὴν Κόρην ὑπὸ Πλούτωνος ἁρπαγῆναι. — Ἡ πόλις ἡ Ἐλευσὶς (ou Ἡ Ἐλευσὶς πόλις) πολύφημος οὖσα τοῖς μυστηρίοις τοῖς ἐκεῖ τελουμένοις (ou τοῖς ἐκεῖ τελουμένοις μυστηρίοις) ἐν τῇ παραλίᾳ τῇ τῆς Ἀττικῆς (ou ἐν τῇ τῆς Ἀττικῆς παραλίᾳ) κεῖται. — Ἡ Ἰνδικὴ πολλοῖς ῥείθροις ναυσιπόροις διατέμνεται ἃ τὰς πηγὰς ἔχοντα ἐν τοῖς ὄρεσι τοῖς πρὸς τὰς ἄρκτους κεκλιμένοις (ou ἐν τοῖς πρὸς τὰς ἄρκτους κεκλιμένοις ὄρεσι) διὰ τῆς πεδιάδος καταφέρεται καὶ εἰς τὸν μέγαν ποταμὸν τὸν ὀνομαζόμενον Γάγγην (ou εἰς τὸν ὀνομαζόμενον Γάγγην μέγαν ποταμὸν) εἰσβάλλει.

92e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 589).

Θαυμαστὴ ὡς ἀληθῶς ἡ τῆς χελώνης περὶ τὰ ἔκγονα ἐπιμέλεια, καὶ δὴ πρὸ τῆς αὐτῶν γενέσεως ἄρχεται αὕτη. — Ἐνόμιζον οἱ πάλαι τὸν κόρακα τὸν ἤδη γέροντα καὶ μὴ δυνάμενον τοὺς νεοττοὺς τρέφειν (ou τὸν ἤδη γέροντα καὶ μὴ δυνάμενον τοὺς νεοττοὺς τρέφειν κόρακα) ἑαυτὸν αὐτοῖς προτείνειν τροφήν. — Τὰ μὲν ἄλλα ἔθνη τὰ περὶ τὸν Καύκασον (ou τὰ μὲν ἄλλα περὶ τὸν Καύκασον ἔθνη) λυπρὰ καὶ μικρόχωρα, οἱ δὲ Ἀλβανοὶ καὶ οἱ Ἴβηρες εὐρεῖαν χώραν ἔχουσι καὶ εὐδαίμονα. — Ὁ θειώδης ἀτμὸς ὁ ἐκ τῆς Στυγίας λίμνης (ou ὁ ἐκ τῆς Στυγίας λίμνης θειώδης ἀτμὸς) συνεχῶς διὰ τούτου τοῦ χάσματος ἀναφερόμενος τὸν ἀέρα διέφθειρε, καὶ οἱ ἄνθρωποι οἱ περιοικοῦντες (ou οἱ περιοικοῦντες ἄνθρωποι) οὐκ ἐπαύοντο θύοντες ὥστε τοὺς κάτω θεοὺς εὐμενίζειν.

93e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 589, *Remarque II*).

Αἱ δρῦς, καὶ αἱ ὑψηλαὶ αἴγειροι, καὶ αἱ χλωραὶ πτελέαι αἱ πυκνόφυλλοι, καὶ αἱ πίτυς αἱ μεγάλαι πίπτουσι πολυήχως ὑπὸ τοῖς πελέκεσιν. — Αἱ ἡδοναὶ αἱ τοῦ μετρίου πέραν μᾶλλον τὸν τῶν ἀνθρώπων βίον συντέμνουσιν ἢ τὰ φάρμακα ἂν αὐτὸν παραμηκύνοι. — Τῆς πολυτελοῦς ἀρχιτεκτονικῆς ἀπείρως μὲν οὐκ ἔχουσιν οἱ Κρῆτες· μόνον δὲ πρὸς τοὺς ναοὺς τοὺς τῶν θεῶν χρῶνται αὐτῇ, οὔτε τολμῷεν ἂν ἄνθρωποι οἰκίας ἔχειν ταῖς τῶν

ἀθανάτων θεῶν παραπλησίας. — Πάντες οἱ στῦλοι οἱ τοῦ τῆς Ἀφροδίτης ναοῦ στέμμασι κρεμαστοῖς κεκοσμημένοι εἰσί· πάντα δὲ τὰ πρὸς τὰς θυσίας ἀγγεῖά ἐστι χρυσᾶ, καὶ μύῤῥινον ἄλσος περιπεφύτευται τῷ οἰκοδομήματι.

94e Exercice.

Suite de l'emploi de l'article (*Grammaire*, § 590).

Ἦν τῇ θεῷ ἐκεῖνο τὸ λαμπρὸν κάλλος, ἐκείνη ἡ ὀξεῖα νεότης, ἐκεῖναι αἱ ἁπαλαὶ χάριτες αἳ ἐν αὐτῇ διεφάνησαν ὅτε τοῦ ἀφροῦ ἐξέδυ τοῦ Ὠκεανοῦ.— Οὗτος ὁ σοφὸς γέρων ἡσύχως διῆγε τῶν ἀγαθῶν ἀπολαύων ὅσα οἱ θεοὶ τοῖς χρηστοῖς χαρίζονται. — Ἐκεῖνος ὁ ἄνθρωπος ὃς οὐδέποτε τὸ τῆς ἀληθείας φῶς εἶδε, τὸν βίον διάγει ἐν πολλῷ σκότει. —Τὸ ἐκείνου τοῦ θεοῦ ἅρμα τῶν γαληναίων ὑδάτων ἐπιψαύειν ἐπιπολῆς ἐδόκει. — Οἵδε οἱ ἄνδρες Λοκροί εἰσιν ἐκ τῆς Ἑλλάδος ἀφικόμενοι, καὶ ἔτι τοῦ γένους μεμνημένοι. — Ἡ θεὸς τοῦτον τὸν λόγον ἀνύσασα μετέωρος ἠφανίσθη. — Ἀριστόνους τῷ Σοφρωνύμῳ δείξας ταύτην τὴν οἰκίαν, καὶ ταῦτα τὰ πρόβατα, καὶ τούτους τοὺς ἀγροὺς γονιμωτάτους ἐργασίᾳ ἀκριβεῖ γενομένους· « πάντα τάδε τὰ ἀγαθὰ, εἶπεν, σά ἐστιν· ἡσύχως οὖν ἀπολαυε ὧν ὁ πάππος σου ἐκέκτητο. » — Οὐδέποτε ἐκείνης τῆς εἰρήνης ἐγευσάμην ἣν οἱ σοφοὶ ὡς μόνον ἀγαθὸν ἐπαινοῦσιν.

95e Exercice.

Emploi de l'article avec les adjectifs démonstratifs (*Grammaire*, § 590, *Remarque*).

Ἡ κάλπη ἥδε (ou ἥδε ἡ κάλπη χωρεῖ τὴν τοῦ εὐσεβεστάτου τε τῶν ἀνθρώπων καὶ εὐχαριστοτάτου κόνιν. — Οἱ ὑλόβιοι οὗτοι (ou οὗτοι ὑλόβιοι) ἡμῶν τὰ ὅπλα καὶ τὰς ναῦς ὁρῶντες εἰς τὰς ὕλας κατέφυγον. — Ἐπὶ τῆς ὄχθης ἐκείνης (ou ἐπ' ἐκείνης τῆς ὄχθης) ὄχλος τις νεκρῶν ἀτάφων μάτην ἀπήντων τῷ ἀγηλεεῖ Χάρωνι. — Οἱ ὄμφακες οὗτοι (ou οὗτοι οἱ ὄμφακες) οὐ πέπειροί εἰσιν, εἶπεν ἡ ἀλώπηξ οὐ δυναμένη αὐτῶν θιγεῖν. — Τὰ παραδείγματα ἐκεῖνα (ou ἐκεῖνα τὰ παραδείγματα) οὐ σπάνια ἐν τῇ τῶν Ῥωμαίων ἱστορίᾳ. — Οἱ ἀπελεύθεροι ἐκεῖνοι (ou ἐκεῖνοι οἱ ἀπελεύθεροι) οἱ περὶ τοὺς Ῥωμαίους αὐτοκράτορας ὄντες καὶ πολλάκις τὴν ἀρχὴν ὑπὲρ αὐτῶν διοικοῦντες, ἦσαν φαυλότατον ἐθνῶν κάθαρμα.

96e Exercice.

Pronoms personnels (*Grammaire*, § 591).

1. Οἱ μὲν ἄλλοι ὄφεις ὑπὸ γῆς φωλεύουσιν, αἱ δὲ ἔχιδναι ἑαυτὰς ὑπὸ πετρῶν κρύπτουσι. — Δημόκριτος ἑαυτὸν σοφὸν εἶναι ἐνόμιζεν, ὅτι τῶν ἄλλων ἀνθρώπων ἐγέλα. — Μᾶλλον ἐμαυτὸν πιστεύω τῇ ὑποσχέσει ἀν-

δρὸς ἀγαθοῦ ἢ τοῖς σεμνοτάτοις τῶν πονηρῶν ὅρκοις. — Πάντες μὲν ἡμᾶς αὐτοὺς φιλοῦμεν· ὅμως δὲ σχεδὸν ἀεὶ πράττομεν ἃ δεῖ ὥστε ἡμᾶς ἀθλίους ποιεῖν. — Νέστωρ τῷ τοῦ Πεισιστράτου θανάτῳ ὑπερλυπούμενος ἑαυτὸν βέλει ὃ εἶχεν ἐν χειρὶ διαπείρειν ἐβούλετο. — Ἐγὼ μὲν ἀντὶ βίου ἡδέος καὶ τρυφὰς παρέχοντος, τῷ ὄντι καὶ αὐτίκα θανάτῳ προβάλλω ἐμαυτὸν, ὑμεῖς δὲ ὡσαύτως ὑμᾶς θανάτῳ ταχεῖ προβάλλετε ἀντὶ βίου ἀθλίου καὶ δόξης ματαίας. — Πῶς οἱ ἄνθρωποι τυφλοὶ ὄντες καὶ ἄδικοι καὶ ὠμοὶ καὶ ἀπατηλοὶ τολμῶσι λέγειν ἑαυτοὺς τοῖς θεοῖς ὁμοίους εἶναι;

2. Ἆρα δεῖται βασιλεὺς σωματοφυλάκων; οὐχ ἑαυτὸν τῷ δήμῳ δύναται πιστεῦσαι ὃς ἑαυτὸν σύμπαντα αὐτῷ πιστεύει; — Εἰ καὶ ὑπέμνησα τοὺς Ῥωμαίους πολεμικοῦ μὲν δεῖσθαι βασιλέως, ἐμὲ δὲ οὐδέποτε εἰς πόλεμον ἐλθεῖν, ἐμὲ βασιλέα προείλοντο. — Τί γάρ; Λεωνίδα, οὐκ αἰσχύνῃ σεαυτὸν ἐξισῶν ἐμοὶ τῷ πάσης τῆς Ἀσίας βασιλεύοντι καὶ τὴν γῆν στρατιώταις καὶ τὴν θάλασσαν ναυσὶ καλύπτοντι; — Παραμυθοῦμαι ἐμαυτὸν ἐννοῶν ὅτι σὺν Ὁμήρῳ καὶ Σωκράτει καὶ Πυθαγόρᾳ εἰμὶ, ὧν σὺ, ὦ Λουκιανὲ, οὐ μᾶλλον ἐμοῦ ἐφείσω. — Μὴ τοὺς ἄλλους προδοσίας κατηγορεῖτε· ὑμεῖς γὰρ ὑμᾶς αὐτοὺς καὶ προδεδώκατε καὶ ἀπολωλέκατε ἑκουσίως. — Πτολεμαῖος ὁ Λάγου φιλοδωρότατος ἦν καὶ ἑαυτὸν πλουτίζειν ἐνόμιζεν τοὺς φίλους πλουτίζων. — Παρὰ τοῖς Ἰνδοῖς αἱ γυναῖκες ἑαυτὰς καίουσιν ἐπὶ τοῦ τῶν ἀνδρῶν τάφου. — Πειρῶ πᾶσι μὲν, οὐ δὲ σεαυτῷ μόνῳ ἀρέσκειν.

97e Exercice.

Adjectifs possessifs (*Grammaire*, § 592).

1. Ἡ ὑμετέρα βασιλεία (ou ἡ ὑμῶν βασιλεία) εὐδαιμονεστέρα ἐστὶ καὶ δυνατωτέρα τῆς ἐμῆς (ou τῆς ἐμοῦ)· μᾶλλον δὲ ἀγαπῶ ἣν οἱ θεοί μοι ἀποτάσσουσιν. — Τοῖς ἀθληταῖς ἧσσον συμφέρει τὸ σφέτερον σῶμα (ou τὸ ἑαυτῶν σῶμα) ἀσκῆσαι ἢ τοῖς βασιλεῦσι τὴν σφετέραν ψυχὴν (ou τὴν ἑαυτῶν ψυχὴν) ἐπιῤῥῶσαι. — Ἑκάστη φυλὴ τὰς σφετέρας σκηνὰς (ou τὰς ἑαυτῆς σκηνὰς) εἰς ἄλλον τόπον μεταφέρει τῶν νομῶν ἐκβοσκηθεισῶν. — Παρὰ τοῖς Πέρσαις νενόμισται τῷ βασιλεῖ ἐπαρχίαν διερχομένῳ πάντας τοὺς οἰκοῦντας δῶρα φέρειν ἕκαστον κατὰ τὴν σφετέραν οὐσίαν (ou κατὰ τὴν ἑαυτοῦ οὐσίαν). — Εἰ μὴ δεύτερον οἱ Ἀθηναῖοι τὸν Ἀλκιβιάδην ἐξέβαλον, οὐδέποτ' ἂν ὁ Λύσανδρος εἰς τὴν αὐτῶν πόλιν εἰσῄει. — Αἱ τρυφαὶ τὴν αὐτοῦ εὐφυΐαν διέφθειραν. — Μεγάλα μὲν τὴν σὴν πατρίδα (ou τήν σου πατρίδα) εὐεργέτησας, κάκιστα δὲ τὴν αὐτὴν ἐποίησας. — Οἱ Πέρσαι πολλῷ ἑαυτῶν χείρονες ἐγένοντο ἀπὸ τοῦ Κύρου· ἡ μὲν γὰρ αὐτῶν ἀνδρεία καὶ μεγαλοπρέπεια τεκμήριον ὅτι εὐφυέστατοί εἰσι, τῇ δὲ ἁβρότητι καὶ τῇ ἄγαν χλιδῇ διεφθαρμένοι εἰσίν. — Ὁ Νέρων τὴν μὲν σφετέραν μητέρα, καὶ γυναῖκα, καὶ τὸν σφέτερον παιδαγωγὸν

(ou ἑαυτοῦ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὸν παιδαγωγὸν) ἀνεῖλε, τὴν δὲ σφετέραν πατρίδα (ou τὴν ἑαυτοῦ πατρίδα) κατέκαυσεν.

2. Ὦ φίλοι ἐμοὶ (ou φίλοι μου), ὑμῖν μὲν τὸν ἐμὸν υἱὸν (ou τόν μου υἱὸν) καταλείπω μοι φίλτατον· εἰ δέ με φιλεῖτε, τῆς αὐτοῦ παιδείας ἐπιμελεῖσθε, καὶ τὴν ὀλέθριον κολακείαν ἀπ' αὐτοῦ ἀποτρέψατε.—Αἱ ἡμέτεραι νῆες (ou αἱ ἡμῶν νῆες) μέχρι τῶν Ἡρακλείων στηλῶν πλέουσι, τὰ πάντων τῶν ἐθνῶν χρήματα ζητοῦσαι. — Ἔλεγεν Αἴσωπος ἡμᾶς φέρειν ἕκαστον δύο πήρας, καὶ τὰς μὲν τοῦ πλησίον κακίας εἰς τὴν ἔμπροσθεν, τὰς δὲ ἡμετέρας (ou τὰς δὲ ἡμῶν) εἰς τὴν ὄπισθεν ἐντιθέναι. — Ῥωμαῖοι, ἆρ' οὐ δεδοίκατε μὴ οἱ θεοὶ τῇ ὑμετέρᾳ (ou τῇ ὑμῶν) ἀδικίᾳ καὶ ὠμότητι παροξυνθέντες τὴν ὑμετέραν (ou τὴν ὑμῶν) πόλιν ποτὲ ἀνέλωσιν, αἱ δὲ ὑμέτεραι γυναῖκες οἵ τε ὑμέτεροι παῖδες (ou ὑμῶν δὲ αἱ γυναῖκες οἵ τε παῖδες) εἰς δουλείαν ἄγωνται, καὶ μὴ καὶ ὑμεῖς τῆς τοῦ νικῶντος ἐπιεικείας δεῖσθαι ἀναγκάζησθε; — Ἐσήμηνεν ἡμῖν ὁ θεὸς ὅτι μόνος αὐτὸς τοὺς τῶν ἐθνῶν νικητὰς ἀποφαίνει, καὶ μόνος αὐτὸς ἐκείνοις πρὸς τὴν σφετέραν (ou τὴν ἑαυτοῦ) προαίρεσιν χρῆται. — Ὡς θαυμάσιοί ἐστε ὑπὸ ταῖς ὑμετέραις (ou ταῖς ὑμῶν) σκηναῖς, Ἰακώβου παῖδες. Οἵα τάξις ἐν τῷ ὑμετέρῳ (ou τῷ ὑμῶν) στρατοπέδῳ. — Ἡ μὲν ἐμὴ μοῖρα (ou ἡ μὲν μοῖρά μου) ἐπὶ σοί ἐστιν, ἡ δὲ σὴ (ou ἡ δὲ σοῦ) ἐπὶ τῷ ὑψίστῳ δικαστῇ, παρ' ᾧ ἀμφότεροι παραστησόμεθα.

98ᵉ Exercice.

Suite des adjectifs possessifs.

Ὁ ἀνὴρ ὅδε ἄτοπος ὢν καὶ δύστροπος μᾶλλον ἢ οὐδεὶς ἄλλος τῇ σφετέρᾳ (ou τῇ ἑαυτοῦ) δυσκολίᾳ ἀνιᾶται. — Ὁ Ἀλέξανδρος ἐπειράθη τῇ σφετέρᾳ (ou τῇ ἑαυτοῦ) φιλοπονίᾳ καὶ ἀνδρείᾳ τοὺς περὶ αὐτὸν ἀπὸ τῆς τῶν Περσῶν χλιδῆς καὶ ἁβρότητος ἀποτρέψαι. — Τοὺς μὲν σοφωτάτους τοῖς σοῖς (ou τοῖς σεαυτοῦ) μετρίοις λόγοις φενακίζοις ἄν· ἀλλ' οὐ Κάτωνα ἠδύνω ἀπατᾶν. — Οἱ πλεῖστοι τῶν ἀνθρώπων οὐκ ἐπὶ πολὺ τὸν ἐκ τῶν σφετέρων (ou τῶν ἑαυτῶν) πόνων καρπὸν καρποῦνται. — Ἡμᾶς αὐτοὺς τοῖς ἡμετέροις (ou τοῖς ἡμῶν) πολίταις ὀφείλομεν, οὔτε ἔξεστιν ἡμᾶς ἑκουσίως ἀναχωρήσαντας τὴν τάξιν καταλιπεῖν ἣν ὑπ' αὐτῶν ἐτάχθημεν. — Οὐ μὴν ἐγώ, ὥσπερ σύ, τὴν ἐμὴν αὐτοῦ πατρίδα (ou τὴν ἐμαυτοῦ πατρίδα) κατεδούλωσα· τοὐναντίον δὲ τοῖς Μακεδόσι καὶ ἀθάνατον δόξαν καὶ τὴν ἀρχὴν πάντων τῶν πρὸς τὰς ἀνατολὰς οἰκούντων ἐκτησάμην.— Ἀντώνιος τῇ τοῦ Ὀκταβίου ὀργῇ προῆκε τὸν σφέτερον αὐτοῦ (ou τὸν ἑαυτοῦ) θεῖον Λούκιον Καίσαρα ὥστε παρ' ἐκείνου Κικέρωνα θανατωθησόμενον ἀντιλαβεῖν. — Φεῦ, ἔλεγεν ὁ Μάρκος Αὐρήλιος, εἰ ἐγὼ ἰδιώτης

τις ἐγενόμην, αὐτὸς τὸν ἐμὸν (ou τὸν ἐμαυτοῦ) παῖδα θρέψας τε καὶ παιδεύσας ἄνδρα ἀγαθὸν ἂν καταλίποιμι.

99ᵉ Exercice.

Suite des adjectifs possessifs (*Grammaire*, § 592, *remarques III et IV*).

Οἱ ἡμέτεροι αὐτῶν νόμοι βραχεῖς εἰσὶ καὶ ἁπλοῖ καὶ τοῦ τῶν πολιτῶν ἐσχάτου προσαρμοσθέντες. — Ἡμεῖς δὴ ζωγράφοι τὰ ἄριστα ἔργα τῇ νοήσει ἐκ τῶν ἀρχαίων παραδειγμάτων λαμβάνομεν ἅπερ ἐκ τῶν ἀναγλυφῶν ἔγνωμεν. — Οἱ ὑμέτεροι λόγοι, ἡμῶν κόλακες ὀλέθριοι, βλαβερώτεροί εἰσι πυρὸς καὶ φαρμάκου καὶ σιδήρου. — Τὰς ἡμετέρας αὐτῶν πόλεις καὶ τοὺς ἀγροὺς λείπωμεν, καὶ εἰς τὰς δεινοτάτας ἐρήμους φεύγωμεν, ἵνα τὴν τῶν Ῥωμαίων τυραννίδα διαδιδράσκωμεν. — Τὴν ὑμετέραν πόλιν, Ἀθηναῖοι, ὁμολογῶ ἐν ἐλευθερίοις τέχναις, καὶ μαθήμασιν, καὶ ὅπλοις πρωτεῦσαι. — Αἱ Θῆβαι τὴν σφετέραν αὐτῶν δύναμιν καὶ δόξαν ἀπέβαλον ἅμα τῷ Ἐπαμεινώνδαν ἀποβαλεῖν.

100ᵉ Exercice.

Celui, *celle*, suivis de la préposition *de* (*Grammaire*, § 593).

1. Ἡ μὲν τῶν γυναικῶν φωνὴ ἐν Βοιωτίᾳ γλυκεῖά ἐστι καὶ ἡδεῖα· ἡ δὲ τῶν ἀνδρῶν ἀηδής τε καὶ τραχεῖα καὶ τρόπον τινὰ πρὸς τὴν αὐτῶν φύσιν ἁρμοστή. — Ὁ Θησέως ναὸς ὁ ὑπὸ τοῦ Κίμωνος ἐνίοις ἔτεσι μετὰ τὴν ἐν Σαλαμῖνι μάχην οἰκοδομηθεὶς, οὔτε ἧσσον καλὸς οὔτε ἧσσον πολυτελής ἐστιν ἤπερ οἱ τῶν θεῶν. — Τὰ τοῦ Αἰσχύλου καὶ Σοφοκλέους καὶ Εὐριπίδου ὀνόματα οὐχ ἧσσόν ἐστιν ἔνδοξα τῶν τοῦ Μιλτιάδου καὶ Ἀριστείδου καὶ Θεμιστοκλέους. — Ἀνδρὸς μέν τινος πλουσίου τῶν Θεσσαλῶν ἑκατὸν βοῦς χρυσοκέρως ἐν Δελφοῖς ἀναθέντος, πένητος δέ τινος τῶν Πλαταιέων εἰς τὴν τοῦ βωμοῦ φλόγα ἀλφίτου δράκα βαλόντος, ἔφη ἡ Πυθία τὸ τοῦδε τοῦ ἀνδρὸς ἀνάθημα χαριέστερον εἶναι τοῖς θεοῖς ἢ τὸ τοῦ Θεσσαλοῦ.

2. Οἱ μὲν τῶν Θηβαίων νόμοι ἧσσον γνωστοί εἰσιν ἢ οἱ τῶν Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων· ἔνιοι μέντοι ἐκείνων εἰσὶν ἐπαίνων ἄξιοι. — Ὁ Κοριολανὸς ὃν οὔτε αἱ τῶν Ῥωμαίων εὐπατριδῶν οὔτε τῶν φίλων οὔτε αὐτῆς τῆς γυναικὸς δεήσεις κινεῖν ἠδύναντο, ταῖς τῆς μητρὸς ἐπεκλάσθη. — Τὸ τοῦ Λεωνίδα ὄνομα καὶ τὰ τῶν τριακοσίων αὐτοῦ συστρατριωτῶν οὐκ ἐπιγεγραμμένα ἐστὶ τοῖς σήμασιν ἐπ' αὐτοῖς τεθειμένοις. — Ἡ Θεσσαλικὴ μουσικὴ τῆς Δωρικῆς καὶ τῆς Ἰωνικῆς τὸ μέσον ἔχει. — Ἡ τῶν βασιλέων παίδευσις μᾶλλον ἔτι συμφέρει τῇ τῶν πόλεων εὐδαιμονίᾳ τῆς τῶν ἰδιωτῶν. — Οἱ Μεγαρεῖς εἰ καὶ χωρίον ἔχουσι μᾶλλον ἔτι ἀκαρ-

πον τοῦ τῆς Ἀττικῆς, οἱ πολλοὶ ἐκ τῆς τῶν ἁλῶν ἐμπορίας κεχρηματισμένοι εἰσὶν οὓς ἐν πέτραις ταῖς ἀμφὶ τὸν λιμένα συλλέγουσιν.

101ᵉ Exercice.

Suite de *celui*, *celle*, suivis de la préposition *de* (*Grammaire*, § 593).

1. Τὸ Εὐκλείδου τοῦ φιλοσόφου δόγμα, ἑνὸς ἐκ τῶν Σωκράτους προθυμοτάτων μαθητῶν, τῷ τοῦ Πλάτωνος παραπλήσιον ἦν. — Ἡ τοῦ κέρδους ἐλπὶς εἰς Κόρινθον τοὺς ξένους ἐμπόρους ἄγει, μάλιστα δὲ τοὺς ἐκ Τύρου καὶ Σιδῶνος, τά τε Ἴσθμια ἄπειρόν τι θεατῶν πλῆθος ἐκεῖ συναθροίζει. —Τὴν πολυτέλειαν ἣν πάντες οἱ βασιλεῖς ἐν τοῖς Ὀλυμπίοις ἐπέδειξαν ἡ τοῦ Ἀλκιβιάδου ὑπερέβαλεν ὃς ἑπτὰ ἅρματα εἰς τὸν αὐτὸν δρόμον πέμψας οὕτω τὰ πρῶτα καὶ τὰ δεύτερα καὶ τὰ τρίτα καὶ τὰ τέταρτα ἠνέγκατο. — Οἱ τῶν ἀθλητῶν ἐν σταδίῳ ἀγῶνες πολλάκις οὔτε ἧσσον καρτεροὶ οὔτε ἧσσον ἄγριοί εἰσιν ἤπερ οἱ τῶν στρατιωτῶν κατὰ μάχην· ἐκεῖθεν γὰρ οἱ πολλοὶ εἰς πάντα τὸν βίον πεπηρωμένοι ἐξέρχονται, ἢ καὶ ἐναντίον τῶν θεωμένων θνήσκουσιν.

2. Αἱ τοῦ νοῦ χάριτες τιμιώτεραί εἰσι καὶ μονιμώτεραι τῶν τοῦ προσώπου. — Ὥσπερ τὸ ὕδωρ τοὺς τοῦ σώματος ῥύπους ἐξαφανίζει, οὕτω καὶ τοὺς τῆς ψυχῆς ἐκπλύνειν τοῖς Ἕλλησιν ἐδόκει. — Ὁ Ἰάσων τὴν μὲν τῶν Λακεδαιμονίων δύναμιν τῇ Λευκτρικῇ μάχῃ διεφθαρεῖσαν, τὴν δὲ τῶν Θηβαίων οὔπω πάνυ βέβαιον οὖσαν ἰδὼν, διέγνω τὰ πρῶτα ἐν τῇ Ἑλλάδι λαμβάνειν. — Οἱ τῆς Κωπαΐδος λίμνης ἐν Βοιωτίᾳ ἐγχέλεις ἐδόκουν εἶναι ἅμα ἁβρότεροί τε καὶ παχύτεροι ἤπερ οἱ τῶν ἄλλων τῆς Ἑλλάδος λιμνῶν.

102ᵉ Exercice.

Celui qui, *celle qui* (*Grammaire*, § 594).

1. Ὃς ταῖς κακίαις ἑαυτὸν φαυλότερον παρέχει τῶν δούλων τοῦ ἐσχάτου, σώζειν νομίζει τὴν τάξιν καὶ τὸ ἀξίωμα πολυτελεῖ παρασκευῇ; — Εἰ πάντες οἱ ἄνθρωποι μόνον περὶ ὧν ἴσασι λέγοιεν, πόσοι πάντα τὸν βίον ἀναγκάσθοιντ' ἂν σιγᾶν; — Φίλιππος ὁ Μακεδὼν εἰς τὴν Θεσσαλίαν εἰσβαλὼν οὐ μόνον τοὺς τῶν Φερῶν τυράννους ἐξήλασεν, ἀλλὰ καὶ τοὺς οἳ ἐν ἄλλαις πόλεσι καθεστήκεισαν. — Οἱ Ἕλληνες οὕτω πρὸς τοὺς χρησμοὺς καὶ τοὺς μάντεις καὶ πάντας ἐκείνους εὐπίστως ἔχοντες οἳ τὰ μέλλοντα εἰδέναι ἐπαγγέλλονται τὰς φαρμακευτρίας ἀποστυγοῦσιν ὡς πάντων τῶν κακῶν αἰτίους οὔσας.

2. Πάντες οἳ ταῖς λαμπραῖς πανηγύρεσι παρεγένοντο ἐν αἷς πᾶσα ἡ Ἑλλὰς συναθροίζεται, τῆς τοιαύτης ὄψεως τὸ μεγαλεῖον καὶ σεμνὸν ἐξεπλάγησαν. — Ἐκ τῶν τριπόδων τῶν ταῖς Μούσαις ἐν ἐκείνῳ τῷ τόπῳ

ἀνατεθέντων τοῦτον κατείδομεν ὃν Ἡσίοδος ποιητικόν τινα ἀγῶνα νικήσας ἐν Χαλκίδι Εὐβοίας ἔλαβεν. — Οἳ ἔρχονται Ἀμφιαράῳ χρησόμενοι, οὗ ὁ ναὸς ἐγγὺς τῶν Δελφῶν ἐστὶν, ὀφείλουσιν οἴνου μὲν τρεῖς ἡμέρας, παντὸς δὲ σίτου εἴκοσι τέσσαρας ὥρας ἀπέχεσθαι. — Ὁ Διονύσιος οὐ ταύτην μὲν τὴν φιλοσοφίαν ἀσπάζεται δι' ἧς τῶν ἐπιθυμιῶν κρατεῖν καὶ κατέχειν αὐτὰς ἐδιδάχθημεν, ἐκείνην δὲ ἣ τὸν νοῦν ἀσκοῦσα τοῦ περιβλέπεσθαι ἀφορμὴν παρέχει. — Διονυσίου αἰτοῦντι μὲν Ἀριστίππῳ οὐ δόντος, Πλάτωνι δὲ δοῦναι βουλομένου, ὃς οὐκ ἔλαβεν, Ὁ βασιλεὺς, εἶπεν Αρίστιππος, οὐδέποτ' εἰς πενίαν καταστήσεται· τοῖς μὲν γὰρ οὐ λαμβάνουσι δίδωσιν, τοῖς δὲ αἰτοῦσιν οὔ.

103ᵉ Exercice.

Suite de *celui qui*, *celle qui* (*Grammaire*, § 594).

Ὁ παρ' ἡμῖν περὶ τὰς σωμασκίας ἄγαν σπουδάζων δοκεῖ ἡμῖν καταφρονητός. — Αἱ μὲν πλεῖσται τῶν Ἑλληνικῶν ἐποικιῶν αὐτόνομοι ἦσαν· αἱ δὲ ὑπὸ τῶν Ῥωμαίων ἐν ταῖς καταπεπολεμωμέναις χώραις κατῳκισμέναι ἀεὶ τῆς Ῥώμης ἦσαν ὑπήκοοι. — Συγγραφεύς τις εἰκότως λέγει ὅτι οἱ ὑπὸ βασιλεῖ ζῶντες ἧσσον φθόνῳ καὶ βασκανίᾳ ἀνιῶνται τῶν ἐν πόλει ζώντων πατρόθεν ἀριστοκρατουμένῃ. — Θαυμάζειν ἢ ψέγειν δεῖ ἐκείνας τὰς Λακαίνας γυναῖκας αἳ τοὺς μὲν ἑαυτῶν παῖδας ἀνανδρίας ἁλόντας κτείνουσιν, αὐταὶ δὲ πρὸς τὸν τῆς μάχης χῶρον σπεύσασαι τὸν τοῦ μονογενοῦς υἱοῦ νεκρὸν ταρασσόμεναι ἐπισκοποῦσι καὶ εἰς ἃ ἐπηνέχθη τραύματα ἀποβλέπουσι, τὰ τὸν αὐτοῦ θάνατον ἔντιμον ἢ ἄτιμον ποιοῦντα διακρίνουσαι.

104ᵉ Exercice.

Celui-ci, *celui-là* (*Grammaire*, § 595).

1. Πάντες μὲν οἱ παρόντες θαύματι ἐπλήσσοντο· οὗτος (Ἰησοῦς) δὲ (ou ὁ δὲ ou ὃς δὲ) αὐτοῖς ἐπέστειλε μηδὲν λέγειν. — Οὐ πόῤῥω τῆς Κρότωνος ἕστηκεν ἡ Σύβαρις· αὕτη (ou ἡ) δὲ ἤκμαζε μάλιστα, καὶ πόλεις εἰς εἴκοσι δασμοφόρους εἶχε. — Λύκου ἄρνα διώκοντος οὗτος (ou ὁ ou ὃς) εἰς ναὸν κατέφυγε. — Ζήνων δοῦλον ἐπὶ κλοπῇ ἐμαστίγου· κείνου δὲ (ou τοῦ δὲ ou οὗ δὲ) εἰπόντος, « εἵμαρταί μοι κλέπτειν· » « καὶ δέρεσθαι, » ἀπεκρίνατο ὁ φιλόσοφος. — Ἀννίβα τοὺς Σαγουντίνους εἰς τὰ ἔσχατα καταστήσαντος, οὗτοι (ou οἱ) μᾶλλον εἵλοντο ἀπόλλυσθαι ἢ ἐνδιδόναι. — Ἆρ' ἐκεῖνος (ou ὁ ou ὃς) ὑγιές τι καὶ ὀρθὸν λέγοι ἄν;

2. Ἐν τοῖς Ἠλυσίοις πεδίοις οἱ ἀγαθοὶ βασιλεῖς ᾤκουν· οὗτοι δὴ (ou οἱ δὴ ou οἳ δὴ) εὐδαιμονίᾳ μείζονι ἐχρῶντο τῶν ἄλλων ἀνθρώπων οἳ καὶ τῇδε τὴν ἀρετὴν ἐφίλησάν τε καὶ ἤσκησαν. — Ἐκεῖνος (ou ὁ δὲ ou ὃς

δὲ) τὴν ὄψιν ἄγριος Αἴας ἐστὶν ὁ Τελαμῶνος, Ἀχιλλέως ἀνεψιός. — Ὁ μὲν Θησεὺς τὸν Ποσειδῶνα ἐπεκαλέσατο· οὗτος (ou ὁ ou ὃς) δὲ τῆς ἐκείνου εὐχῆς ἐξήκουσεν. — Ἔλεγεν Ἐρίχθων τοῖς ἑαυτοῦ· σπουδάζωμεν ὅπως τὰ ἐκ φύσεως ἀγαθὰ αὐξήσομεν· ταῦτα γὰρ (ou τὰ γὰρ) μόνα ἐστὶ τιμῆς ἄξια. — Ἀδράστου ὄπισθεν δένδρου ἑαυτὸν ῥίψαντος ὥστε Τηλέμαχον διώκοντα φεύγειν· οὗτος (ou ὁ δὲ ou ὃς) τότε ἀνακράζει· Στρατιῶται, ὁρᾶτε, ἡμετέρα ἐστὶν ἡ νίκη. — Ἆρ' ἐκεῖνοι (ou οἵδε) τοῦ τῶν προτέρων παραδείγματος ὤναντο;

105ᵉ Exercice.

Ce qui, ce que (*Grammaire*, § 596).

Ἐκεῖνο ὃ (ou ὅ) βέλτιστα τῇ φρονήσει συντέθειται καὶ βεβαιότατον τῇ δυνάμει καθέστηκεν, ἀπροσδόκητά τινα ταράσσει πολλάκις καὶ ἐμποδίζει. — Πολλάκις τῇ ὑστεραίᾳ ψέγομεν ἐκεῖνο ὃ (ou ὅ) τῇ προτεραίᾳ ἠγασάμεθα. — Ὁ ἄνθρωπος οὐδὲν προστιθέναι τῇ τοῦ σώματος ἡλικίᾳ καὶ τῷ φυσικῷ μεγέθει δυνάμενος ἑαυτῷ ἐκ τῶν ἔξω προστίθησιν ἐκεῖνα ἃ (ou ἅ) δύναται. — Τιμαγένης μοι ἔλεγεν· τὸ τῶν Ἀθηναίων ἱππικὸν οὕτω λαμπρὸν καὶ ἠσκημένον ὅμως τοῦ τῶν Θηβαίων ἡσσηθήσεται· ὃ δὴ συνέβη. — Οἱ ἄνθρωποι σχεδὸν ἀεὶ χαλεπαίνουσιν ἐκεῖνο ὃ (ou ὅ) σώζει αὐτοὺς καὶ ἐκείνῳ χαίρουσι δι' οὗ ἀπόλλυνται. — Ἐκ τῶν πόλεων ἐκβάλλετε ἐκεῖνα ἃ (ou ἅ) τὰς νόσους καὶ τὰς ἔριδας καὶ τὰς στάσεις καὶ τὴν ἀργίαν καὶ τὴν ἀπονίαν καὶ τὴν τῶν οἴκων ἀταξίαν φέρει. — Μὴ ἐκεῖνο ὃ (ou ὅ) τοὺς ὑπηκόους εἰς πενίαν καθίστησι τοὺς βασιλεῖς πλουτίζοι ἄν; — Πομπήϊος τῇ ἀρχῇ χώρας ἀπείρους προσεκτήσατο· ὃ δὴ μᾶλλον πρὸς τὴν τοῦ Ῥωμαίων μεγέθους ἐπίδειξιν ἢ πρὸς τὴν ἀληθινὴν αὐτῶν δύναμιν ὠφέλησεν.

106ᵉ Exercice.

Suite de *ce qui, ce que* (*Grammaire*, § 596, *Remarques*).

1. Πολλὴν χάριν τούτοις ὀφείλομεν οἳ ἡμῖν παραδεδώκασιν ἃ οἱ μεγάλοι τῶν παρεληλυθότων χρόνων ἄνδρες ἔλεξαν ἢ ἔπραξαν (ou τὰ τοῖς μεγάλοις τῶν παρεληλυθότων χρόνων ἀνδράσι λεχθέντα ἢ πραχθέντα). — Οὐδεὶς φανερῶς λέγειν ἐτόλμα ἃ πάντες καθειμένως ἐψιθύριζον (ou τὰ ὑπὸ πάντων καθειμένως ψιθυριζόμενα). — Πολλάκις συμβαίνει ὅτι ἃ ἐν ἡμῖν ἐπαινεῖται (ou τὰ ἐν ἡμῖν ἐπαινούμενα) μέμψεως μόνον ἄξιά ἐστιν. — Ἅπερ οἱ τῶν Ἑλλήνων συγγραφεῖς ἡμῖν ἱστοροῦσι (ou τὰ ὑπὸ τῶν Ἑλλήνων συγγραφέων ἡμῖν ἱστορούμενα) περὶ τῶν ἐν Δελφοῖς χρημάτων πρὸς τὸν ναὸν ὑπὸ βασιλέων καὶ ἐθνῶν καὶ δὴ ἰδιωτῶν πεμφθέντων, ἔστιν ὡς ἀληθῶς πίστεως μείζω. — Οἱ πρὸς τὸν Ἀχιλλέα ἀπεσταλμένοι

ἥρωες οὐδὲν παρέλιπον ἐκείνων ἃ τὸν Πηλέως παῖδα τῆς μήνιδος καταπαύσοι ἄν (ou οὐδὲν παρέλιπον τῶν τὸν Πηλέως παῖδα τῆς μήνιδος καταπαυσόντων). — Οἱ Ἕλληνες οἱ ἐν ταύτῃ τῇ ἀκτῇ ὄντες ἐπίδοξοί εἰσιν βοηθήσοντές σοι· οὗτοι γὰρ καὶ τὸ Μίνωος τοῦ ἐκ Διὸς ὄνομα διὰ μνήμης ἔχουσι καὶ ἃ σὺ αὐτὸς ἔπραξας (ou τὰ ὑπὸ σεαυτοῦ πραχθέντα) κατὰ τὴν τῆς Τροίας πολιορκίαν ἐν τῇ πᾶσι τοῖς Ἕλλησι κοινῇ ἔριδι. — Ἀννίβας ὥστε τὴν πατρίδα σῶσαι ἔπραξε πάνθ' ἃ πράττειν οἷός τέ ἐστι μέγας τις ἀνὴρ τῶν πραγμάτων ἔμπειρος καὶ μέγας τις πολίτης. — Ἃ τὴν ψυχὴν ἐξ ἑαυτῆς ἐξίστησιν (ou τὰ τὴν ψυχὴν ἐξ ἑαυτῆς ἐξιστάντα) ἐδόκει Ἀριστίππῳ τῷ φιλοσόφῳ ἐναντία εἶναι τῇ εὐδαιμονίᾳ. — Ἃ καὶ Κίμων καὶ Ἀγησίλαος καὶ Φίλιππος ἐβουλεύσαντο (ou τὰ ὑπὸ Κίμωνος καὶ Ἀγησιλάου καὶ Φιλίππου βουλευθέντα) Ἀλέξανδρος μόνος πράττειν ἠδύνατο. — Εἰ τῆς ἱστορίας τὴν τῶν ἠθῶν καὶ τῶν παρὰ τοῖς ἔθνεσι νενομισμένων γνῶσιν ἀφαιρεῖς, ταῦτα δὴ ἀφαιρεῖς δι' ὧν μάλιστα παιδεύει καὶ ἀρέσκει (ou ἀφαιρεῖς τὰ μάλιστα δὴ πρὸς τὸ παιδεύειν καὶ ἀρέσκειν ἐπιτήδεια).

2. Ἐπίδοξοί εἰσιν αὐτοὶ οἱ τῶν Αἰγυπτίων ἱερεῖς οὐ παντελῶς τούτοις πιστεύειν ἃ περὶ τῆς ἀρχαιότητος τῆς ἑαυτῶν χώρας μυθολογοῦσιν (ou οὐ παντελῶς πιστεύειν τοῖς ὑπ' αὐτῶν περὶ τῆς ἀρχαιότητος τῆς ἑαυτῶν χώρας μυθολογουμένοις). — Ὁ Σωκράτης τι συγγεγραμμένον ὑφ' Ἡρακλείτου ἀναγνοὺς τῷ Εὐριπίδῃ τῷ χρήσαντι εἶπεν· « Ἃ μὲν ἐξ ἐκείνου συνενόησα βέλτιστά ἐστι, καὶ τὰ ἄλλα οὕτως ἔχειν νομίζω· ἐκεῖνος δὲ καταβαπτίζεσθαι ἐκεῖ κινδυνεύει ὃς οὐχ οὕτως ἔμπειρός ἐστιν ὡς Δήλιός τις κολυμβητής. — Ξενοφῶν ἐν ἀγρῷ ἔζη περὶ ἄγραν καὶ γεωργίαν διατρίβων καὶ πράττων ἃ ἐν τοῖς ἑαυτοῦ συγγράμμασιν ἐπέταξε (ou τὰ ὑπ' αὐτοῦ ἐν τοῖς συγγράμμασιν ἐπιτεταγμένα). — Διὰ τεσσάρων ἑκατονταετηρίδων οἱ Λακεδαιμόνιοι τὴν Μεσσηνίαν ἐπόρθησαν καὶ πάντα διέφθειραν ἃ φθόριμα ἦν (ou καὶ πάντα τὰ φθόριμα ὄντα διέφθειραν). — Ὥσπερ οἱ ἰδιῶται οὕτω καὶ οἱ λαοὶ χαλεπαίνουσι τοῖς περὶ τούτων ἀμφισβητεῖν τολμῶσιν ἃ αὐτοὶ περὶ τῆς ἑαυτῶν ἀρχῆς μυθολογοῦσιν. — Ἐξ ὧν περὶ τῆς Σπάρτης ἤκουσα, ταύτην τὴν πόλιν ἐπόθουν ἰδεῖν ἣν οἱ τοῦ Λυκούργου νόμοι ἐν τῇ Πελοποννήσῳ παγκρατῆ ἐποίησαν. — Πεῖναν καὶ δίψαν καὶ ταλαιπωρίαν καὶ πάνθ' ἃ ἕκαστον τῶν ἀσθενῶν θνητῶν ἐκφοβεῖ (ou πάντα τὰ ἕκαστον τῶν ἀσθενῶν θνητῶν ἐκφοβοῦντα) οὐκ ἀποδειλιῶσιν οἱ Λακεδαιμόνιοι. — Ἡρόδοτος ἐν τοῖς συγγράμμασιν ἔθετο οὐ μόνον ἅπερ αὐτὸς εἶδεν, ἀλλὰ καὶ ἃ παρὰ τῶν ἀνθρώπων τῶν διὰ τὴν ἡλικίαν καὶ τὴν ἐμπειρίαν φρονίμων καὶ τῶν σοφωτάτων ὁδοιπόρων ἐπύθετο.

107e Exercice.

Attraction de l'adjectif relatif (*Grammaire*, § 597).

1. Ὁ στρατιώτης τῆς δόξης μετέχει ἧς ὁ στρατηγὸς ἐν ταῖς μάχαις κτᾶται. — Πολεμικώτατοί εἰσιν οἱ Σαυνῖται ὧν οἱ Ῥωμαῖοι ἐνίκησαν ἐθνῶν. — Ἀλέξανδρος περὶ ὀνείρατος φροντίζων οὗ καθ' ὕπνον Κρατέρου νοσοῦντος εἶδε, τοῖς θεοῖς θυσίας ὑπὲρ ἐκείνου ἔθυσεν. — Πολλάκις τὴν τῶν καλῶν πράξεων διήγησιν ἀναγιγνώσκοντες ὧν οἱ συγγραφεῖς ἡμῖν παραδεδώκασι τοὺς μεγάλους ἄνδρας τοὺς πράξαντας αὐτὰς ὁρᾷν δοκοῦμεν. — Ὁ ἄνθρωπος τὰ πλεῖστα τῶν ἔξωθεν ἐλάσσων ὢν τῶν ἄλλων ζώων αὖθις γίγνεται κρείσσων οἷς ἐν ἑαυτῷ ἔχει ἀγαθοῖς. — Ἅγνων ὁ ἀμφὶ τὸν Ἀλέξανδρον τοῖς χρυσοῖς ἥλοις ἐσεμνύνετο οἷς περὶ τὴν κρηπῖδα ἐφόρει ὥσπερ ἂν εἴ τις ἵππος τῷ τοῦ ὑποδηματίου κάλλει ἀγάλλοιτο.

2. Οἱ πλεῖστοι ὧν ὁ Λυκοῦργος κατέστησε νόμων διέμενον μὲν ἔτι ὅτε οἱ Ῥωμαῖοι εἰς τὴν Ἑλλάδα εἰσέβαλον, οὐκέτι δὲ ἀκριβῶς ὥσπερ πάλαι διετηροῦντο. — Ἐξ ὧν Ὀλυμπιὰς τῷ Ἀλεξάνδρῳ ἔγραφεν ἐπιστολῶν, ὁρῶμεν αὐτὴν φθονῆσαι ὅτι ἀφειδῶς τοῖς φίλοις ἐδίδου. — Τὰ μὲν ἀγαθὰ προϊέμεθα ἃ προῖκα λαμβάνομεν, φειδόμεθα δὲ ὧν μόλις μόνον κτώμεθα. — Τίνα ὠφέλειαν κομίζονται οἱ θεοὶ τῶν δώρων ὧν παρ' ἡμῶν λαμβάνουσιν; — Τῷ Φιλίππῳ, ἐπεὶ πρὸς τοὺς Ῥωμαίους ἠναγκάζετο χρῆσθαι πάσῃ ᾗ ἀθροίζειν ἐδύνατο δυνάμει, οὐδὲν ἔτι λοιπὸν ἦν, εἰ τὸ πρῶτον ἐνικᾶτο. — Ἡ Ῥώμη χρυσοῦ καὶ ἀργύρου καὶ παντοίων χρημάτων ἐπλήθυεν ὧν πάντα τὰ νικηθέντα ἔθνη ἀφείλετο.

108e Exercice.

Suite de l'attraction de l'adjectif relatif.

1. Εἰώθεισαν οἱ Ῥωμαῖοι εἰς τὴν ἑαυτῶν πόλιν τοὺς τῶν ἄλλων ἐθνῶν θεοὺς εἰσδέχεσθαι καὶ τιμᾶν τοῖς ὀνόμασιν ἐπονομάσαντες οἷς αὐτοὶ τοῖς ἑαυτῶν θεοῖς ἐδίδοσαν. — Πρῶτός ἐστιν ὁ Ἀρχίλοχος ὧν οἴδαμεν ποιητῶν, ὃς τῷ ἰάμβῳ ἐχρήσατο. — Ὁ μὲν Μάλλιος ἐξ οὗ ἔσωσε Καπιτωλίου καταχρημνισθεὶς, ὁ δὲ Θεμιστοκλῆς ἐξ ἧς τῶν ἄλλων πόλεων πρώτης ἐποιήσατο πατρίδος ἐκπεσὼν, φανερὰ ἡμῖν παραδείγματα παρέχουσι τῆς τῶν δήμων ἀστασίας τε καὶ ἀχαριστίας. — Οὗτοι οἱ ἄνθρωποι τὰ δέρματα ὧν τοξεύουσιν ἢ παγιδεύουσι θηρίων περιβεβλημένοι, παντελῶς τῆς χλιδῆς καὶ τῆς τρυφῆς ξένως ἔχουσιν.

2. Ἐν χειμῶνι παγέντος τοῦ πελάγους οἱ παρὰ τὸν Εὔξεινον Πόντον ἁλιεῖς ἐπὶ τῆς πλακὸς τὰς σκηνὰς κατασκευάζοντες δι' ὧν ἐποίησαν ἐν τῇ κρυστάλλῳ στομάτων τοὺς καλάμους καθίασιν. — Ὁ Ἀγησίλαος ταῖς λαμπραῖς ἀρεταῖς καὶ ταῖς πράξεσι πολυχρόνιον δουλείαν τῇ Ἑλλάδι ἠπείλει ἥνπερ

ἡ τῶν Ἀθηνῶν ἅλωσις ἐξέπληξεν. — Ἐν πολλαῖς Ἑλληνίσι πόλεσιν οἱ τῶν παίδων ὧν οἱ πατέρες οὐ τρέφειν ἐβούλοντο, ἐν τόποις ἀποκεχωρισμένοις ἐξετίθεντο καὶ ἐνίοτε δὴ ἐκτείνοντο. — Ἐβούλετο ὁ Ἀλέξανδρος ὥσπερ ὁ Διόνυσος τὴν τῶν νικῶν μνήμην ἀθάνατον διὰ τῶν πολέων ποιεῖν ὧν ἀνὰ πᾶσαν τὴν Ἀσίαν κτίσας τῷ ἑαυτοῦ ὀνόματι Ἀλεξανδρείας ὠνόμασεν. — Οὗτοι οἱ ἄγριοι ἄνθρωποι χαλεπῶς καὶ λιτῶς ἐξ ὧν κακῶς εἰργάζοντο γονίμων ἀρουρῶν ἐτρέφοντο.

109ᵉ Exercice.

On ou *l'on* (*Grammaire*, § 599).

1. Ἔλεξέ τις μοι Ἰσοκράτην πλουσιώτατον γενέσθαι δικολογίας ἀποδιδόμενον τούτοις οἳ οὐχ οἷοί τε ἦσαν αὐτοὶ ὑπὲρ ἑαυτῶν δικαιολογεῖσθαι. — Δύναταί τις τοὺς ἄλλους λανθάνειν ἐπίμεμπτα ποιήσας, ἀλλ' ἑαυτὸν οὐδέποτε. — Ἤγγειλέ τις τῷ Ξενοφῶντι ὅτι ὁ παῖς αὐτοῦ Γρύλλος ὁ ἐν τῷ τῶν Ἀθηναίων ἱππικῷ στρατευόμενος κατὰ τὴν ἐν Μαντινείᾳ μάχην ἐτεθνήκει. — Ἔδειξέ τις ἡμῖν τῆς Νίκης εἰκόνα ἣν οἱ Ἀθηναῖοι Πύλου κατὰ τὸν Πελοποννησιακὸν πόλεμον κρατήσαντες ἐκεῖ κατέλιπον· καὶ ἔλεξέ τις ἡμῖν ὅτι αὕτη ἡ χώρα ὑπὸ τοῦ σοφοῦ Νέστορος ἐβεβασίλευτο. — Ὁ Πλάτων τὴν ἀρετὴν καὶ τὸν χρυσὸν δυοῖν σταθμοῖς παραβάλλει οὓς τις εἰς τὸ τάλαντον τίθησι καὶ ὧν τὸ ἕτερον καταῤῥέπει τοῦ ἑτέρου εὐθὺς ἀναῤῥέποντος. — Φευγέτω τις πᾶσαν λεπτολογίαν ἐξ ἧς οὐδὲν βέβαιον οὐδὲ παιδευτικὸν γίγνοιτ' ἄν. — Ἔστι μέν τις φιλοκερδὴς καὶ κεναυχὴς καὶ φιλότιμος καὶ τρυφερόβιος, νομίζει μέντοι οὐδὲν τῶν δεόντων πρὸς τοὺς ἄλλους ἀνθρώπους καὶ τὴν πατρίδα παραλείπειν.

2. Ὅταν τις ἀξιοῖ τοὺς ἄλλους ἀνθρώπους καὶ διδάσκειν καὶ βελτίους ἑαυτῶν ποιεῖν, δεῖ πρῶτον καλοκαγαθίας καὶ ἀφιλαργυρίας παράδειγμα αὐτὸν γίγνεσθαι. — Ὅταν τις τὰ τῆς πολιτείας μεταβάλλειν καὶ καινοτομῆσαι βούληται, δεῖ αὐτὸν ἧσσον τὰ πράγματα ἢ τὸν καιρὸν σκέψασθαι. — Θαυμάζει τις εἰκότως καὶ δικαίως ὡς εὖ καὶ τεχνικῶς εἰργασμένος ἐστὶν ὁ τύπος εἰς ὃν ἐμβληθείσης τῆς ὕλης ἐξ αὐτῆς γίγνεται πρόσωπόν τι εἰς ἀκριβὲς ἀπεικασμένον ἢ εἶδός τι ἐμμελές. — Μᾶλλον αἱρεῖταί τις τυφλὸς εἶναι ἢ τὰ ἑαυτοῦ ἐλασσώματα εἰδέναι. — Ὅταν τις μεγάλου τινὸς ἐθνῶν νικητοῦ μνημονεύειν βούληται, ἕκαστος τὸν Ἀλέξανδρον ἐν νῷ ἔχει. — Πολλάκις δὴ ἐκπίπτει τις τῆς ἐλευθερίας αὐτὴν ἐκτείνειν ἄγαν βουλόμενος· οὐ γὰρ σώζειν αὐτὴν δύναται ὁ μὴ ὅρους αὐτῆς τίθεσθαι ἐπιστάμενος. — Οὔτε πεινῇ τις οὔτε διψῇ, οὔτε τῶν θερμαντικῶν οὔτε ἀμφιεσμάτων ἀπορεῖ, ὅμως δὲ πένης ἐστὶν, ὅτι οὔτε τιμίας λίθους οὔτε πολυτελῆ βασίλεια ἔχειν δύναται. — Ὅταν τις ὀρθῶς τὰ μέλλοντα τεκμαίρεσθαι

βούληται, δεῖ αὐτὸν τὰ παρεληλυθότα σκέψασθαι. — Εἰ καὶ μυριάκις τις τῇ φήμῃ ἐξηπατήθη, ἀεὶ ὑπ' αὐτῆς φεναχισθήσεται.

110ᵉ Exercice.

Suite de *on* ou *l'on* (*Grammaire*, § 599, *Remarque I*).

Ἐν Σπάρτῃ πᾶς τις (ou ἕκαστός τις) τὸν νόμον καὶ φιλεῖ καὶ αἰδεῖται. — Κατεγέλα πᾶς τις (ou ἕκαστός τις) Ἰσοκράτους ὃς ἠξίου τοὺς τυράννους τε καὶ τοὺς βασιλεῖς τοῖς συγγράμμασιν ἐπανορθοῦν οἷς περὶ τῶν τῆς βασιλείας συγγράψας πᾶσι τοῖς ἄρχουσιν ἔπεμπεν. — Ἠγανάκτησε μὲν πᾶς τις (ou ἕκαστός τις) Τιμοφάνει ἅτε τυραννίδα ἐν Κορίνθῳ καταστήσαντι, ἐμέμψατο δὲ πᾶς τις (ou ἕκαστός τις) τῷ ἀδελφῷ αὐτοῦ Τιμολέοντι τῷ τὴν πατρίδα τοῦ τυράννου τοῦδε ἐλευθερώσαντι. — Πᾶς τις (ou ἕκαστός τις) Ἀθήνησιν οὐδὲν ἢ τοῦ πρὸς τοὺς Θηβαίους πολέμου ἐμνημόνευε. — Παρὰ τοῖς Ἀθηναίοις πᾶς τις (ou ἕκαστός τις) ὀκτὼ καὶ δέκα ἔτη γεγονὼς εἰς τοὺς ἐφήβους τελεῖται καὶ εἰς τὸ στρατιωτικὸν καταγράφεται. — Ἐν ταῖς δημοσίαις ἑορταῖς πᾶς τις (ou ἕκαστός τις) ηὔχετο ὑπὲρ τῆς τῆς πόλεώς τε καὶ τῶν συμμάχων εὐτυχίας καὶ ἐνίοτε ὑπὲρ τῆς τῶν τῆς γῆς καρπῶν σωτηρίας. — Παρὰ τοῖς Ἕλλησι πᾶς τις (ou ἕκαστός τις) οὐ μόνον ἐν τοῖς τῶν θεῶν ναοῖς θυσίας τελεῖ, ἀλλὰ καὶ ἐπὶ βωμῷ πρὸ τῆς οἰκίας ἱδρυμένῳ, ἢ καὶ ἐν κατοικιδίῳ ναϊδίῳ. — Τοῖς μάντεσιν οὐ μόνον περὶ τῶν μελλόντων πᾶς τις (ou ἕκαστός τις) χρῆται, ἀλλὰ καὶ περὶ τοῦ πότερον πράξεις τινὲς ἐκ δικαιοσύνης εἰσὶν ἢ οὔ; — Ὁ τῶν Ἀθηναίων δῆμος δεισιδαιμονέστατος· ἐνταῦθα γὰρ πᾶς τις (ou ἕκαστός τις) τῆς τῶν θεῶν γνώμης σημεῖα ἐν παντὶ χρόνῳ καὶ παντὶ τόπῳ, ἐκ τῶν ἐκλείψεων καὶ τοῦ τῆς βροντῆς πατάγου καὶ δὴ καὶ ἐκ τῶν μάλιστα κατὰ τύχην συμπιπτόντων γνῶναι πέποιθεν.

111ᵉ Exercice.

Suite de *on* ou *l'on* (*Grammaire*, § 599, *Remarque II*).

1. Πολλάκις μέν τις περὶ τῶν τοὺς βασιλεῖς κολακευόντων μνημονεύει, οὐδεὶς (ou οὔτις) δὲ περὶ τῶν τοὺς δήμους κολακευόντων οὐδὲν λέγει. — Οὐδεὶς (ou οὔτις) τῇ ἀρετῇ κακῶς χρῆσθαι δύναται, ὅτι οὐκέτι ἀρετὴ ἂν εἴη, εἴ τις αὐτῇ κακῶς ἐχρῆτο. — Μηδεὶς (ou μήτις) πρὸς ἐμὲ περὶ τούτων τῶν ῥητόρων μνημονευέτω τῶν στοχαζομένων μόνον τοῦ τὰς ἀκοὰς ῥημάτων εὐήχων πληρῶσαι καὶ τὰς περιόδους κομψεῦσαι, καὶ τὰ τῆς λέξεως κῶλα τεχνικῶς ἐξισῶσαι. — Οὐδεὶς (ou οὔτις) κατενόησεν ἐν θαύμασι συνεχέσι πάντα τὸν βίον διάγων. — Μηδεὶς (ou μήτις) νομιζέτω ἀπὸ τυχῆς μόνης ὑψοῦσθαι ἢ ταπεινοῦσθαι τὰς βασιλείας· ὥσπερ γὰρ οἱ

ἰδιῶται, οὕτως οἱ λαοὶ ἐπὶ τὸ πολὺ τῇ μοίρᾳ χρῶνται ᾗς εἰσὶν ἄξιοι. — Οὐδεὶς (ou οὔτις) τὴν τῶν σωφρόνων ἀνδρῶν ἀρετὴν καταφαυλίζειν ἐπιθυμεῖ, τῶν μὴ πειρωμένων σεμνύνεσθαι μετὰ τῆς τῶν πλησίον βλάβης. — Οὐδεὶς (ou οὔτις) δὴ τὸν Ἀλκιβιάδην κρίνειν ἐτόλμησεν, ἕως ὁ στρατὸς ὁ τὰ τοῦ στρατηγοῦ προελόμενος ἐν Ἀθήναις διέτριβε, ὅπως (ou ἵνα) μὴ εἰς στάσιν καταστῇ.

2. Οὐδεὶς (ou οὔτις) ἔτι τοὺς κακοδαίμονας τούτους κολακεύει, ὅτι οὐδεὶς (ou οὔτις) αὐτοὺς ἔτι φοβεῖται· οὐδεὶς (ou οὔτις) ἔτι σπεύδει ταῖς αὐτῶν ἐπιθυμίαις ἀπαντᾷν. — Ἆρ' οὐκ ἔστι θαυμαστὸν ἅπτεσθαι μὲν πικρῶς τοὺς ἀνθρώπους τῆς πρὸς πατέρα καὶ φίλους ἀχαριστίας, οὐδένα (ou οὔτινα) δὲ οὐδὲν τῆς πρὸς τοὺς θεοὺς ἀχαριστίας κατηγορεῖν; — Οὐδεὶς (ou οὔτις) μὲν πάντα αὐτὸς σκοπεῖν δύναται· οὐδένα (ou οὔτινα) δὲ τῷ τυχόντι δεῖ πεποιθέναι. — Οὐδεὶς (ou οὔτις) τοῦ μὲν Κικέρωνος καλλιεπέστερος καὶ λαμπρότερος, τοῦ δὲ Δημοσθένους ἰσχυρότερος καὶ σφοδρότερος δύναται εἶναι. — Μηδεὶς (ou μήτις) τὴν ἀγαθότητα ἐν μαλακίας μήτε τὴν δειλίαν ἐν μετριότητος καὶ σωφροσύνης μέρει τιθέσθω. — Μηδεὶς (ou μήτις) νομιζέτω ζωγράφος εἶναι ὅτι χρώματά τε τρίβειν καὶ γραφεῖα ἑτοιμάζειν δεινός ἐστι. — Οὐδεὶς (ou οὔτις) ἀνὴρ εἶναι τῷ ὄντι μέγας δύναται εἰ μὴ τοὺς ἄλλους ἀνθρώπους φιλεῖ· δι' ὃ πολλοὶ μεγάλοι βασιλεῖς καὶ μεγάλοι στρατηγοὶ οὐ μεγάλοι ἄνδρες ἐγένοντο.

112ᵉ Exercice.

Suite de *on* ou *l'on* (*Grammaire*, § 600).

Φασὶ τὸν ἐλέφαντα ὀῤῥωδεῖν τὴν κριοῦ ὄψιν καὶ τὴν χοίρου βοήν, καὶ λέγουσιν οὕτω τοὺς Ῥωμαίους τοὺς ἐλέφαντας τοὺς σὺν Πύῤῥῳ τῷ τῶν Ἠπειρωτῶν βασιλεῖ ὄντας τρέψασθαι. — Μυθολογοῦσι τὴν Σφίγγα ἀπολέσθαι κατακρημνίσασαν ἑαυτὴν ἀπὸ πέτρας ὅτι Οἰδίπους τὸ αἴνιγμα ἔλυσεν. — Ἴσμεν τοὺς ἐλέφαντας τῶν εὐεργετημάτων καὶ τῶν ὕβρεων αἰσθάνεσθαι. — Ταῖς Λακαίναις παρθένοις οὐχ ἡ αὐτὴ ἢ ταῖς Ἀθηναίαις τροφή· οὐ γὰρ προστάττουσιν ἐκείναις οἴκοι ζῆν καὶ ἐριουργεῖν καὶ οἴνου ἀπέχειν· ἀλλὰ διδάσκουσιν αὐτὰς ὀρχεῖσθαι καὶ παλαίειν καὶ τρέχειν καὶ δισκοβολεῖν καὶ ἀκοντίζειν. — Ποιοῦσι τὴν τῶν συμπάντων ἐκκλησίαν ὥστε περὶ τῆς εἰρήνης καὶ τοῦ πολέμου βουλεύεσθαι, καὶ ἐνίοτε δὴ καλέσαντες τοὺς τῶν συμμάχων πρέσβεις καὶ τοὺς τῶν τῆς Λακεδαιμόνιων βοηθείας δεησομένων. — Δύσβατός ἐστιν ἡ Λακωνική· εἰς γὰρ ταύτην οὔτις εἰσέρχεται εἰ μὴ διὰ λόφων ἀποτόμων καὶ στενῶν εὐφυλάκτων. — Ὑπολαμβάνουσιν ἐν τῷ Ταινάρου ἄντρῳ πρῶτον ὑπερμεγέθη ὄφιν φωλεῦσαι ὃν ὑφ' Ἡρακλέους διατοξευθέντα τὸν Ἅδου κύνα ἐνόμιζον εἶναι, ὅτι τὰ ἐξ αὐτοῦ δήγματα ἐξ ἴσου ἦν θανατοφόρα. — Φασὶ τὸ σπήλαιον τὸ τοῦ Δωδω-

ναίου ναοῦ ἐγγὺς θαυμαστὴν δύναμιν ἔχειν· καὶ γὰρ τὰ αὐτοῦ ὕδατα, καίπερ ψυχρὰ ὄντα, τὰς μὲν ἐμβαπτομένας δᾷδας σβέννυσι, τὰς δὲ σβεσθείσας ἅπτει ἐκ διαστήματός τινος παρατεθειμένας. — Ἀγρεύουσι καὶ ἐν τῷ τοῦ Βυζαντίου λιμένι ἄπειρον πλῆθος ἰχθύων. — Ἀπόῤῥητα δόγματα διδάσκουσιν ἐν τοῖς Ἐλευσινίοις καὶ τοῖς Διονύσου καὶ ἄλλων τινῶν θεῶν μυστηρίοις.

113e Exercice.

Suite de *on* ou *l'on* (*Grammaire*, § 600).

1. Φασὶ μὲν αἶγας κατὰ τὰς τοῦ Παρνασοῦ ὄρους πέτρας πλανωμένας ἀναπνοῇ τινὶ προσπελασάσας ἐξ ἧς λυμαντήριοι ἀτμοὶ ἀνεφέροντο, κινήμασιν ἐξαισίοις καὶ σπασμώδεσι κινηθῆναι· προσλέγουσι δὲ ὅτι ἐπεὶ ποιμένες καὶ τῶν τὰ πλησίον οἰκούντων τινὲς τὰ αὐτὰ ἔπαθον καὶ φωνὰς ἀσυστάτους ἐξήνεγκον, ἐκεῖναι αἱ φωναὶ μαντεύματα εἶναι ἐνομίσθησαν καὶ ὁ ἐξ ἄντρου ἀτμὸς θεῖόν τι πνεῦμα δι' οὗ τὰ μέλλοντα ἐκκαλύπτεται.—Ἱστοροῦσι τὴν τῶν Ἀθηναίων ἐκκλησίαν σχεδὸν ἅπασαν ἀναστῆναι ὀρνίθιόν τι μεταδραμουμένην ὃ Ἀλκιβιάδης ἔτι νέος ὢν καὶ τὸ πρῶτον δημολογῶν ἔλαθεν ἐκ τοῦ κόλπου ἀφείς.

2. Μέμνηνται ἔτι ὅτι Θεμιστοκλῆς καὶ Ἀριστείδης καὶ Περικλῆς σχεδὸν ἀκίνητοι ἐπὶ τοῦ βήματος στάντες καὶ τὰς χεῖρας ἐν τοῖς τρίβωσιν ἔχοντες οὐχ ἧσσον τῇ τοῦ σχήματος σεμνότητι ἢ τῇ τῶν λόγων δεινότητι αἰδῶ παρεῖχον. — Μετὰ τὴν μάχην τῶν Ἀθηναίων τὰ σώματα τούτων οὓς ἀπέβαλον ἀνελομένων, ἐπὶ τῇ πυρᾷ αὐτὰ κατέκαυσαν καὶ τῶν ὀστῶν εἰς τὰς Ἀθήνας ἐκκομισθέντων, τὴν τῶν ἐναγισμάτων ἡμέραν διώρισαν οἷς ἐπιστατεῖν ἔμελλεν εἷς τῶν ἐπισημοτάτων ἀρχόντων. — Ἐπίστευον τὰς ναῦς ξύλου πεποιημένας τοῦ ἐξ Ἴδης ὄρους ἔνθα ὁ Ζεὺς ἐγεγόνει τμηθέντος, οὐκ ἂν καταποντισθῆναι. — Ἀνδρὸς μέν τινος σοφοῦ τῶν Λεσβίων εἰπόντος ἐκεῖνον δυστυχέστατον ἀνθρώπων εἶναι ὅστις οἴεται, οὕτως ἔχειν καὶ ἐκρότησαν αὐτὸν καὶ ἐπείσθησαν τὰ πρῶτα οἴσεσθαι· ἐπεὶ δὲ ἐγὼ ἔλεξα πάντων ἀνθρώπων δυστυχέστατον εἶναι τὸν βασιλέα ὃς εὐδαίμων νομίζει εἶναι τοὺς ἄλλους ἀνθρώπους ἀθλίους καθιστάς, ὡμολόγησαν ὑπ' ἐμοῦ τόν τε Λέσβιον ἡσσηθῆναι καὶ τὸν ἀληθῆ Μίνωος νοῦν εὑρεθῆναι.

114e Exercice.

Suite de *on* ou *l'on* (*Grammaire*, § 601).

1. Ἐνίους τούτων τῶν βασιλέων ἴδοις ἂν δίκας διδόντας οὐχ ἕνεχ' ὧν ἐποίησαν κακῶν, ἀλλ' ὧν οὐκ ἐποίησαν ἀγαθῶν. — Κατίδοις ἂν τοὺς τῶν βασιλέων κακίστους λαμπρότατα πάντων ἐπαινεθῆναι ζῶντας· μᾶλλον γὰρ τοὺς κακοὺς ἢ τοὺς ἀγαθοὺς δεδοίκασιν. — Εἶδες ἂν προερ-

χόμενον Φερεκύδην γέροντα οὐχ οὕτω τῇ ἡλικίᾳ κατατετριμμένον ὡς τῷ τοῦ ἀπολωλότος Ἱππίου πόθῳ. — Ὅτε ἐκέλευσεν ὁ Ἰδομενεὺς τὴν θυγατέρα Ἀντιόπην τοὺς τῶν παρθένων χοροὺς ἄγειν, ἡγήσαιο ἂν αὐτὴν εἶναι τὴν φαιδρὰν Ἀφροδίτην ταῖς Χάρισι παραπεμπομένην. — Ἐν Σπάρτῃ πανταχοῦ ἡρωϊκὰ μνημεῖα εὑρίσκοις ἄν· οὕτω γὰρ τὰ οἰκοδομήματα καὶ τὰ ἄλση ὀνομάζουσι τὰ τοῖς πάλαι ἥρωσιν ἱερά. — Οὐδέποτ' ἂν ἡγήσαιο τοὺς μυρίους Ἕλληνας τοὺς σὺν τῷ νεωτέρῳ Κύρῳ εἰς τὴν Ἀσίαν ἀναβάντας, οὕτως εἰς τὴν πατρίδ' ἂν ἐπανελθεῖν. — Οὐκ ἐν Σπάρτῃ τούτους τοὺς μυρίους τρυφῆς ἐργάτας εὗρες ἂν ὧν αἱ ἄλλαι Ἑλληνίδες πόλεις οὐ δύνανται ἤδη ἀπορεῖν.

2. Πόῤῥωθεν ἤκουσας ἂν τὸν τῶν ὅπλων ψόφον καὶ τὸν τρανὸν τῶν ἵππων χρεμετισμόν. — Πανταχοῦ καὶ ἐν ταῖς ἀγοραῖς καὶ ὑπὸ ταῖς στοαῖς πασῶν τῶν αἱρέσεων φιλοσόφους εὑρίσκοις ἂν περὶ τῆς φιλοσοφίας διαλεγομένους καὶ τὰ ἑαυτῶν δόγματα τοῖς ἀκροαταῖς ἐξηγουμένους. — Νομίζοις ἂν Ὅμηρον μὲν τὴν Ἰλιάδα τῶν Λακεδαιμονίων χάριν συγγράψαι· διδάσκει γὰρ πῶς δεῖ τὸν πόλεμον ποιεῖν· Ἡσίοδον δὲ τὰ Ἔργα καὶ τὰς ἡμέρας τῶν Εἱλωτῶν χάριν· διδάσκει γὰρ πῶς δεῖ τὴν γῆν ἐργάζεσθαι. — Τοὺς ἀνθρώπους ἀθανάτους εἶναι νομίζοις ἄν· οὕτω θαυμάζειν δοκοῦσιν, ὅταν ὁ θάνατος αὐτῶν τινὰ καταλαμβάνῃ. — Οὐκ ἂν ῥᾳδίως ἐννοοῖς τὸν Κικέρωνα καὶ τὸν Βροῦτον τοὺς Ῥωμαίους τοῦ Καίσαρος φονευθέντος τὴν ἐλευθερίαν ἀνακτήσεσθαι ἧς οὐκέτι ἐφρόντιζον. — Ἡ μὲν Δωδώνης ὕλη λίμναις ἐστὶ περιβεβλημένη· τὸ δὲ χωρίον καθόλου γονιμώτατον, καὶ ἐκεῖ πολλὰ ποίμνια κατὰ τοὺς καλοὺς λειμῶνας πλανώμενα ἴδοις ἄν.

115ᵉ Exercice.

Suite de *on* ou *l'on* (*Grammaire*, § 601, *Remarques*).

Ὅταν Ἀντιόπη εἰς τοὺς τῶν θεῶν ναοὺς εἰσίῃ, τὰ ἱερὰ ἐπὶ τῆς κεφαλῆς φέρουσα, δοκεῖ (ou ἔοικεν) αὐτὴ εἶναι θεὸς ὁ ἐν τοῖς ναοῖς οἰκῶν. — Ἐκεῖ τὴν λεπτὴν Αἰγύπτου βύσσον καὶ τὴν Τυρίαν πορφύραν ἰδεῖν ἔστιν θαυμασίῳ χρώματι δὶς βαφθεῖσαν. — Ἔοικεν (ou δοκεῖ) μὲν ἡ πόλις Τύρος οὐχ ἑνός τινος ἔθνους εἶναι, πᾶσι δὲ τοῖς ἔθνεσι κοινὴ πόλις ὑπάρχειν. — Οἱ Βρουττιανοὶ ἐλαφρόποδες ὥσπερ ἔλαφοι καὶ δορκάδες εἰσίν· ἡ γὰρ μάλιστα τέρεινα πόα οὐ δοκεῖ πατεῖσθαι τοῖς αὐτῶν ποσί· αὐτοὺς δὲ ἰδεῖν ἔστιν ἐξαίφνης τοῖς πολεμίοις ἐπιπίπτοντας, καὶ αὖθις οὐχ ἧσσον ταχέως ἀποιχομένους. — Ἐῴκει (ou ἐδόκει) ἡ Τύχη πάσας τὰς τιμὰς τῷ Πομπηΐῳ ἐκ προαιρέσεως περιάψαι. — Ἐῴκει (ou ἐδόκει) αὐτὸς ὁ θεὸς Ἄρης εἶναι τὸν αἱμοχαρῆ στρατὸν ἐπὶ τοῖς τῆς Θρᾴκης ὄρεσιν ἀθροίζων. — Πολλοὺς μὲν εὑρεῖν ἔστιν δυσχεραίνοντας ὡς ἀμνημόνως

ἔχοντας, οὐδένα δὲ ὡς ἀσυνέτως. — Οὐδὲν ἄλλο ἐκεῖ εὑρεῖν ἔστιν ἢ ἀνθρώπους οἳ λόγους πλάσσοντες διατρίβουσι τὸν βίον καὶ περὶ τούτων μόνον σπουδάζουσιν ὧν οὐδὲν αὐτοῖς προσήκει.

116ᵉ Exercice.

Suite de *on* ou *l'on* (*Grammaire*, § 602).

1. Ἐν Ἀχαΐᾳ ἀσκοῦνται οἱ παῖδες λίθους σφενδόνῃ βάλλειν· διὸ καὶ οἱ Ἀχαιοὶ νομίζονται ἄριστοι τῆς Ἑλλάδος σφενδονῆται εἶναι. — Ζεὺς ὀνομάζεται ὁ τῶν θεῶν καὶ ἀνθρώπων πατήρ τε καὶ βασιλεύς. — Τὸ θηρίον ὃ καλεῖται ῥινοκέρως ἀλκῇ μὲν καὶ βίᾳ παραπλήσιον τῷ ἐλέφαντι, τῷ δὲ ὕψει ταπεινότερον. — Ἐγὼ μὲν ψέγομαι τὴν ἡδονὴν φιλῶν· ἡ δὲ ἡδονὴ οὐκ οὖσα ἐναντία τῇ ἀρετῇ ἢ ἀπείρηται; — Πλάτων νέος ὢν οὕτως αἰδήμων ἦν καὶ σώφρων ὡς οὐδέποτε ὤφθη καγχάζων. — Κολάζονται οἱ Ἀρεοπαγῖται ἕνεκα τῶν ἐλαχίστων· ὥστε εἷς ἐξ αὐτῶν χρήμασιν ἐζημιώθη ὀρνίθιον πνίξας εἰς τὸν αὐτοῦ κόλπον καταφυγόν.

2. Ἀπεικάζεται ἡμῖν ὁ Χρόνος τοτὲ μὲν ὡς γέρων ὃς δύναται ἀδεῶς ἀπατᾶσθαι, τοτὲ δὲ ὡς παιδίον ὃ δεῖ ἀεὶ τέρπειν. — Οὐδεμία ἀνάπαυσις δίδοται ἡμῖν· τῶν γὰρ πολεμίων πόῤῥω ὄντων, τάφρους ταφρεύειν, καὶ δένδρα τέμνειν, καὶ τὸ στρατόπεδον καὶ τὰ σκεύη εἰς ἕτερον τόπον μετασκευάζεσθαι ἀναγκαζόμεθα. — Ἰσόκρατες, σὺ δὴ εὐδοκιμεῖς ὅτι μετὰ τὴν τοῦ Σωκράτους τελευτὴν ἐτόλμησας μόνος μελανείμων εἰς τὰς Ἀθηνῶν ἀγυιὰς προελθεῖν, ὅτε φοβηθέντες οἱ μαθηταὶ κρύβδην ἔφευγον. — Τὸ γυμνάσιον Λύκειον ηὐξήθη καὶ ἐκοσμήθη κατὰ μικρόν· γραφαῖς γὰρ οἱ τοῖχοι πεποικιλμένοι εἰσὶ καὶ τὸ Ἀπόλλωνος ἄγαλμα πρὸ τῆς εἰσόδου ἕστηκε. — Θαυμάζομαι μὲν, εἶπεν ὁ Διογένης, ὅτι πένης ὢν καὶ πλάνος, καὶ ἄπατρις, καὶ ἄνοικος, καὶ βίον ἔχων τὸν ἐφήμερον, οὐ μεμψιμοιρῶ· ἐγὼ δὲ καὶ τὴν ἀνδρείαν τῇ τύχῃ, καὶ τὴν φύσιν τοῖς νόμοις, καὶ τὸν λόγον ταῖς ἐπιθυμίαις ἀντιτάσσω.

117ᵉ Exercice.

Suite de *on* ou *l'on* (*Grammaire*, § 602).

Ἐξαιρεῖται μὲν μέρος τι τῶν λαφύρων ὥστε τοὺς τῶν θεῶν ναοὺς κοσμῆσαι καὶ ἀξίοις γέρασι τοὺς ἐν μάχῃ ἀριστεύσαντας τιμῆσαι· τὰ δὲ ἄλλα τοῖς στρατιώταις διανέμεται. — Παρὰ τοῖς Ἀθηναίοις ἡ πόλις εἰς μὲν τὸ εἰκοστὸν ἔτος τρέφει τοὺς παῖδας ὧν οἱ πατέρες ἐν πολέμῳ τετελευτήκασιν ἀνδρείως ἀγωνισάμενοι· εἶτα δὲ πανοπλίᾳ κοσμηθέντες ἐπὶ τὰ σφέτερα αὐτῶν ἀποπέμπονται, καὶ ἐν τοῖς ἀγῶσιν αἱ προεδρίαι αὐτοῖς ἀπονέμονται. — Σήμερον μὲν ἐπαινῇ τῆς εὐφυΐας καὶ τῆς ἀγα-

θότητος καὶ τῆς μεγαλοδωρίας· ἴσως δὲ αὔριον λεχθήσῃ μωρότατος καὶ κάκιστος καὶ φειδωλότατος εἶναι τῶν θνητῶν — Πᾶν ἔτος κατὰ τὰ Διονύσια ἐν Ἀθήναις ἑπτὰ ἢ ὀκτὼ νέα δράματα εἰς σκηνὴν προφέρεται.

118ᵉ Exercice.

Suite de *on* ou *l'on* (*Grammaire*, § 602, *Remarque*).

Ἐπιστεύετο παρὰ τοῖς πάλαι ὁ Ἄτλας (ou ἐπιστεύετο..., τὸν Ἄτλαντα) τὸν οὐρανὸν τοῖς ὤμοις ὑπερείδειν. — Λέγεται ἡ Σκύλλα θαλασσίοις κυσὶ τὰς πλευρὰς περιεζωσμένη ναύτας τοὺς παραπλέοντας ἀπρονοήτους συναρπάσασα (ou λέγεται τὴν Σκύλλαν θαλασσίοις κυσὶ περιεζωσμένην ναύτας τοὺς παραπλέοντας ἀπρονοήτους συναρπάσασαν) καταφαγεῖν αὐτούς. — Ἐλέγετο ὁ Ἥφαιστος (ou ἐλέγετο τὸν Ἥφαιστον) τὰ χαλκεῖα ἐν τῇ Λήμνῳ καταστήσασθαι, διότι ἡ νῆσος ὑπογείων πυρῶν πληθύει ἅπερ ἐνίοτε ἐξ ὄρους τινὸς κορυφῆς ἀναδίδοται. — Ἱστοροῦνται οἱ Μῆδοι τὸ μὲν τοῦ Ὀρφέως σῶμα ἐν Θράκης χώρῳ τινὶ θάψαι, αἱ δὲ ἀμφὶ τὸ μνῆμα ἐκείνου ἀηδόνες εὐμελεστέραν φωνὴν ἢ ἑτέρωθί που ἔχειν (ou ἱστορεῖται τοὺς Μήδους τὸ μὲν τοῦ Ὀρφέως σῶμα ἐν Θράκης χώρῳ τινὶ θάψαι, τὰς δὲ ἀμφὶ τὸ μνῆμα ἐκείνου ἀηδόνας εὐμελεστέραν φωνὴν ἢ ἑτέρωθί που ἔχειν). — Ἐπιστεύοντο πάλαι οἱ δελφῖνες (ou ἐπιστεύετο πάλαι τοὺς δελφῖνας) τῇ μὲν μουσικῇ θέλγεσθαι, μάλιστα δὲ τῆς τῶν ἀνθρώπων ὁμιλίας ἐφίεσθαι. — Πιστεύεται ὑπὸ τῶν πολλῶν Τέρπανδρος ὁ Λέσβιος (ou πιστεύεται... Τέρπανδρον τὸν Λέσβιον) τὴν λύραν ἑπτάχορδον ποιῆσαι πρότερον οὖσαν τετράχορδον. — Ἐλέγετο τότε ὁ Δημοσθένης (ou ἐλέγετο τότε τὸν Δημοσθένην) τοὺς ἑαυτοῦ ἐπιτρόπους δίκῃ νικῆσαι τοὺς αὐτὸν μέρους τῆς κληρονομίας ἀποστερήσαντας καὶ αὐτὸς (ou αὐτὸν) ὑπὲρ αὑτοῦ δικολογῆσαι ἑπτακαίδεια ἔτη γεγονώς (ou γεγονότα). — Λέλεκται ὁ Διογένης καὶ εἰκότως δὴ Σωτράτην εἶναι παραφρονῶν (ou Λέλεκται τὸν Διογένην καὶ εἰκότως δὴ Σωκράτην εἶναι παραφρονοῦντα). — Πιστεύῃ, Ἰδομενεῦ, ἀεὶ τῇ τῶν πλησίον ἐλευθερίᾳ ἐπιβουλεύειν (ou πιστεύεται, Ἰδομενεῦ, σὲ ἀεὶ τῇ τῶν πλησίον ἐλευθερίᾳ ἐπιβουλεύειν) καὶ οὐδὲν ἄλλο ἢ τὸ πολεμεῖν καὶ τὸ καταστρέφεσθαι ἐννοεῖν· καὶ διὰ τοῦτο ἐπὶ σὲ πάντες οἱ παροικοῦντες ἄνθρωποι συνεστήκασι.

119ᵉ Exercice.

L'un.... l'autre, les uns.... les autres (*Grammaire*, § 603).

1. Τῶν Ἑλλήνων στρατηγῶν οἱ μὲν Μιλτιάδῃ, οἱ δὲ Ἱστιαίῳ τῷ Μιλησίῳ συνηγόρευον. — Ἁλουσῶν τῶν Ἀθηνῶν, πᾶσαι αἱ πόλεις τοῖς Λακεδαιμονίοις τρόπον τινὰ ἐδούλευσαν· αἱ μὲν γὰρ τῆς αὐτῶν συμμα-

γίας δεῖσθαι ἠναγκάσθησαν, αἱ δὲ παραδέχεσθαι αὐτήν. — Τῶν νικώντων οἱ μὲν ἀπηγόρευον πολεμοῦντες, οἱ δὲ τῷ Ἀγησιλάῳ τῆς δόξης ἐφθόνουν, οἱ δὲ τέλος τοῖς τοῦ Ἀρταξέρξου ἐπαγγέλμασιν ἐπείθοντο. — Λέσβος ἡ νῆσος συνεχέσιν ὄρεσιν καὶ λόφοις διατέμνεται, τοῖς μὲν ἀμπελοφύτοις, τοῖς δὲ κυπαρίσσους καὶ φηγοὺς καὶ πίτυς ἀφθόνως φέρουσι, τοῖς δὲ μάρμαρον, εὐτελῆ μὲν οὐδὲ τῇ τῆς Πάρου παραβλητὸν, παρέχουσιν. — Εἰσὶν ἐν Ἀττικῇ δοῦλοι ἀμφὶ τοὺς τεσσαρακοντακὶς μυρίους· ὧν οἱ μὲν γεωργοῦσιν, οἱ δὲ τὰ τῷ βίῳ ἀναγκαῖα ἐργάζονται, οἱ δὲ μεταλλουργοῦσιν ἢ λατομοῦσιν, οἱ δὲ καὶ τοῖς δεσπόταις οἴκοι διακονοῦσιν.

2. Ἔλεξέ τις ἡμῖν τῶν ἀθλητῶν τῶν ἐν τῇ παλαίστρᾳ γυμναζομένων τοὺς μὲν παλαίσειν καὶ πυκτεύσειν μέλλοντας οὐδὲν ἄλλο πειρᾶσθαι ἢ τὴν ῥώμην αὐξῆσαι· τοὐναντίον δὲ τοὺς πρὸς τὸ τρέχειν καὶ τὸ ἅλλεσθαι παιδευομένους σπουδάζειν ὅπως ἐλαφρότεροι γενήσονται. — Ὁ Τιμολέων μετὰ τὸν Τιμοφάνους τοῦ ἀδελφοῦ φόνον τοῖς μὲν ψεγόμενος, τοῖς δὲ ἐπαινούμενος, τοῦ βίου ἀπαλλάξαι διέγνω. — Ἐν Ἀθήναις ἀνθρώπους μὲν ἰδεῖν ἔστιν πάνυ κομψοὺς ὡς δὴ Ἀττικοὺς ὄντας, ἄλλους δὲ τῇ τῶν Σπαρτιατῶν λιτότητι χρωμένους· τοὺς μὲν ἐκ τῶν ἐν χρῷ κεκαρμένων προσώπων καὶ λαμπρῶν ἐσθήτων καὶ μύρων οἷς κεχρισμένοι εἰσὶ διαγιγνώσκοις ἄν· οἱ δὲ λευκοφαίῳ τριβωνίῳ, καὶ ὑποδήματι εὐτελεῖ, καὶ μακρῷ πώγωνι καὶ βαδίσματι βραδεῖ διαφέρουσιν· ἡ δὲ τῶν μὲν περιέργεια οὐχ ἧσσον ἐμοὶ γελοῖος τῆς τῶν δὲ εἶναι δοκεῖ.

120ᵉ Exercice.

Suite de *l'un.... l'autre, les uns.... les autres* (*Grammaire*, § 603).

Ἐπεὶ οἱ ἀμφότεροι στρατοὶ ἐν τῷ Μαραθωνίῳ πεδίῳ ἀντιπαρετάχθησαν, οἱ μὲν, καὶ ἐν αὐτοῖς Μιλτιάδης καὶ Ἀριστείδης, τοῖς πολεμίοις αὐτίκα ἐπιτίθεσθαι, οἱ δὲ διὰ τὸ πολὺ διαφέρειν τὰς ἑκατέρων δυνάμεις ἐκφοβηθέντες τὴν τῶν Λακεδαιμονίων βοήθειαν ἀναμένειν ἠξίουν. — Οἱ μὲν τὸ γένος σου καὶ τὴν τῶν προγόνων δόξαν, οἱ δὲ τὴν δύναμιν καὶ τὴν νίκην ἐπαινέτωσαν· ἐγὼ δὲ μόνον τῆς δικαιοσύνης σου καὶ τῆς γενναιότητος καὶ τῆς ἐπεικείας μνησθήσομαι. — Τῶν Εἱλωτῶν οἱ μὲν τὰς βαναυσικὰς τέχνας ἀσκοῦντες ἃς ἑαυτῶν ἀναξίους εἶναι νομίζουσιν οἱ Σπαρτιᾶται, κλίνας, καὶ κλεῖδας, καὶ τραπέζας, καὶ ἕδρας ἐργάζονται ἐν πάσῃ τῇ Ἑλλάδι ἐσπουδασμένας, οἱ δὲ ἐν τῷ ναυτικῷ ὑπηρετοῦσιν, οἱ δὲ καὶ τοῖς ὁπλίταις ἐν τοῖς στρατεύμασιν ἀκολουθοῦσιν. — Οἱ τῶν συγγραφέων σοφώτατοι περὶ τῆς τῶν Εἱλωτῶν δουλείας διχογνωμονοῦσιν, οἱ μὲν ἐπαινοῦντες αὐτὴν, οἱ δὲ ψέγοντες.

121e Exercice.

Suite de *l'un.... l'autre*, *les uns.... les autres* (*Grammaire*, § 603, *Remarques I et II*).

Μέμφονται ὃς μὲν (ou ὁ μέν τις) ἐπὶ τοῖς συνεχοῦς τοῦ πολέμου πόνοις, ὃς δὲ (ou ὁ δέ τις) ἐπὶ τῇ τοῦ μισθοῦ ἐνδείᾳ, ὃς δὲ (ou ὁ δέ τις) ἐπὶ τῇ τῶν ἑκατοντάρχων χαλεπότητι. — Τῶν Σπαρτιατῶν οἱ μὲν (ou οἱ μέν τινες) οὔτε ἀναγιγνώσκειν οὔτε γράφειν ἐπίστανται, οἱ δὲ (ou οἱ δέ τινες) μόλις ἀριθμεῖν, πάντες δὲ τῆς γεωμετρίας καὶ τῆς ἀστρονομίας καὶ πασῶν τῶν ἄλλων ἐπιστημῶν ἀπείρως ἔχουσιν. — Ἔλεγεν ὁ Ἀριστοτέλης τοὺς Ἀθηναίους τὸν πυρὸν καὶ τοὺς νόμους εὑρόντας ᾧ μὲν χρῆσθαι οἷς δὲ οὔ. — Ἐν Ἀραβίᾳ πολλὰ ἔστιν εὑρεῖν καμήλων γένη· αἱ μὲν γὰρ (ou αἱ μὲν γάρ τινες) γάλα παρέχουσι καὶ τοῖς ἐγχωρίοις κρέα εἰς σίτησιν, αἱ δὲ (ou αἱ δέ τινες) πρὸς τὸ νωτοφορεῖν ἀσκοῦνται, αἱ δὲ (ou αἱ δέ τινες) ὁδοιπορίας ταχέως συντελοῦσι καὶ ἔτι δὴ κατὰ τοὺς πολέμους ὠφελοῦσιν. — Οὐκ ἀεὶ ῥᾴδιόν ἐστι τὸν θυμὸν ὧν μὲν (ou τῶν μέν τινων) παροξύνειν, ὧν δὲ (ou τῶν δέ τινων) κατέχειν. — Ὁ Καῖσαρ οὓς μὲν (ou τοὺς μέν τινας) ὑπεμίμνησκεν ὅσα ἤδη δεινὰ καὶ ἐμποδὼν γενόμενα σὺν αὐτῷ ὑπερέβησαν, οἷς δὲ (ou τοῖς δέ τισι) τῶν ἐκ πολλοῦ συστρατευομένων τῆς ἀνδρείας τὸ παράδειγμα πρὸ ὀφθαλμῶν ἐτίθει, τῶν οὔτε διὰ τὸ γῆρας οὔτε διὰ τοὺς πόνους οὔτε διὰ τὰ τραύματα οὐδὲν τοῦ θυμοῦ ὑφεμένων.

122e Exercice.

Suite de *l'un.... l'autre*, *les uns.... les autres* (*Grammaire*, § 603, *Remarque III*).

1. Αἱ Θῆβαι εἰς δύο στάσεις διῄρηντο ὧν τῆς μὲν (ou τῆς ἑτέρας ou μιᾶς μὲν) ἡγεῖτο ὁ Λεωντιάδης λακεδαιμονίζων, τῆς δὲ (ou τῆς ἑτέρας ou δευτέρας δὲ) ὁ Ἰσμηνίας. — Ἡ Μυτιλήνη τοὺς λιμένας ἔχει κειμένους τὸν μὲν (ou τὸν ἕτερον ou ἕνα μὲν) πρὸς βορέαν, τὸν δὲ (ou τὸν ἕτερον δὲ) πρὸς νότον τῆς πόλεως· τὸν μὲν (ou ἕτερον ou ἕνα μὲν) μείζονα καὶ βαθύτερον τοῦ ἑτέρου ἀπὸ τῆς τῶν κυμάτων καὶ ἀνέμων βίας χῶμά τι ἢ μεγάλων πετρῶν πρόβλημα σκεπάζει. — Ἀπὸ τῆς τῶν Ἀθηναίων πόλεως ἔστι δύο μεγάλα τείχη ὧν τὸ μὲν (ou τὸ ἕτερον ou ἓν μὲν) τριάκοντα πέντε σταδίων εἰς τὸν Φαληρὸν λιμένα, τὸ δὲ (ou τὸ ἕτερον δὲ) τεσσαράκοντα σταδίων εἰς τὸν Πειραιᾶ καθήκει. — Ἰφικράτης καὶ Τιμόθεος διὰ μακρᾶς ἐνιαυτῶν διαδοχῆς τὴν πολεμικὴν τῶν Ἀθηναίων δόξαν διέσωσαν· ὁ μὲν (ou ὁ ἕτερος ou εἷς μὲν) μάλιστα τῇ ἐμπειρίᾳ, καὶ τῇ φρονήσει, καὶ τῷ ἀκριβῶς τοὺς στρατιώτας συγκροτεῖν διαφέρων, ὁ δὲ (ou ὁ ἕτερος δὲ) ἐνεργέστερος καὶ καρτερικώτερος καὶ τοῖς πράγμασιν

ἐμμενέστερος καὶ ἐν τοῖς ἐπιχειρήμασιν εὐσταθέστερος· ὁ μὲν (ou ὁ ἕτερος ou εἷς μὲν) εἰς τὴν ἀρχὴν βασιλεῖς τῇ πόλει συμμάχους ἀποκαταστήσας, ὁ δὲ (ou ὁ ἕτερος δὲ) τοὺς Λακεδαιμονίους ἀναγκάσας ἡμῖν τῆς θαλασσοκρατίας εἴκειν.

2. Δύο γέφυραι εἰς νῆσον καλαῖς πλατάνοις κατάσκιον ἄγουσιν εἰς ἣν οἱ τῶν Λακεδαιμονίων νεανίαι γυμνασόμενοι ἔρχονται· πρὸ τῆς μὲν (ou τῆς ἑτέρας ou μιᾶς μὲν) εἰσόδου ἔστι τὸ Ἡρακλέους ἢ Ῥώμης πάντα καταδαμαζούσης ἄγαλμα, πρὸ τῆς δὲ (ou τῆς ἑτέρας δὲ) εἰσόδου ἡ Λυκούργου ἢ Νόμου πάντα τάττοντος εἰκών. — Ὁ μὲν (ou ὁ ἕτερος ou εἷς μὲν) τούτων τῶν νέων Λακεδαιμονίων τὸν ἀνταγωνιστὴν καταπαλαίειν μέλλων ἐξαίφνης ἀνέκραγεν· « Δάκνεις εμὲ ὥσπερ γυνή· » « Οὐδαμῶς, εἶπεν ὁ ἕτερος, ἀλλ' ὥσπερ λέων. » — Ὁ Καῖσαρ τὰ πρῶτα πρὸς τὸν Πομπήϊον καὶ τὸν Κράσσον φιλίαν ἐποιήσατο ἐκ τῆς τοῦ μὲν (ou τοῦ ἑτέρου μὲν) δυνάμεως ὀνίνασθαι, διὰ δὲ τῶν τοῦ δὲ (ou τοῦ ἑτέρου) χρημάτων τοὺς δυσκολωτάτους χρήστας ἀπαλλάσσειν ἐλπίσας.

128e Exercice.

Suite de *l'un.... l'autre, les uns.... les autres* (*Grammaire*, § 603, *Remarque III*).

Πολλάκις τὸν Ἀγησίλαον τῷ Λυσάνδρῳ παρέβαλον ὅτι ἐξ ἴσου τὴν τῆς Σπάρτης δύναμιν ηὔξησαν· ἀλλὰ τίς δύναται τὴν τοῦ μὲν (ou τοῦ ἑτέρου ou ἑνὸς μὲν) σωφροσύνην τῇ τοῦ δὲ (ou ἑτέρου) κενοδοξίᾳ παραβάλλειν; Ὁ μὲν (ou ὁ ἕτερος ou εἷς μὲν) γὰρ τὸν ἑαυτοῦ ἀνδριάντα αὐτὸς εἰς Δελφοὺς ἀνέθηκεν, ὁ δὲ (ou ὁ ἕτερος δὲ) οὐδέποθ' ἕνα ἑαυτῷ ἱδρυθῆναι ἠξίωσεν. — Ποταμίσκος τις Ἑλίσσων ὀνομαζόμενος τὴν Μεγαλόπολιν εἰς δύο μέρη διαιρεῖ· ἐν τῷ μὲν (ou τῷ ἑτέρῳ ou ἑνὶ μὲν) ἐναντίον τοῦ Διὸς ναοῦ περικαλλές τι Ἀπόλλωνος χαλκοῦν ἄγαλμα ἐθαυμάζετο δώδεκα πόδας ὑψηλόν· ἐν τῷ δὲ (ou τῷ ἑτέρῳ δὲ) οἰκοδόμημά τι ἡμῖν ἐπέδειξαν ἐν ᾧ μυρίων πρέσβεων συνεδρία γίγνεται τῶν τοῦ ἔθνους πραγμάτων προνοεῖσθαι τεταγμένων. — Οἱ Ἀθηναῖοι ἐν τῇ τραγῳδίᾳ καὶ τῇ κωμῳδίᾳ προέχουσιν· ἡ μὲν (ou ἡ ἑτέρα ou μία μὲν) τὰς τῶν ἡρώων πράξεις καὶ τὰ περὶ τὴν τῆς Ἑλλάδος μυθώδη ἀρχὴν ὑμνεῖ, ἡ δὲ (ou ἡ ἑτέρα δὲ) ἀνθρώποις τὰ αὐτῶν ἐλασσώματα καὶ τὰς μωρίας γελοίως πρὸ ὀφθαλμῶν τίθησιν· ἡ μὲν (ou ἡ ἑτέρα ou μία μὲν) καθαπτομένη, καὶ κινοῦσα, καὶ ἀναίρουσα τὴν ψυχήν, ἡ δὲ (ou ἡ ἑτέρα δὲ) τέρπουσά τε καὶ παιδεύουσα.

124ᵉ Exercice.

L'un.... l'autre, *les uns.... les autres*, répétés terme à terme (*Grammaire*, § 604).

1. Οἱ φιλόσοφοι περὶ τῆς εὐδαιμονίας διαφέρουσιν ἕτεροι ἕτερόν τι (ou ἄλλοι ἄλλο τι) αὐτὴν εἶναι νομίζοντες. — Αἱ κάλλισται καὶ γενναιόταται πράξεις οὐ παντάπασι μέμψεως ἐκτός εἰσιν· ἔχει γὰρ περὶ τούτων ἄλλος ἄλλην (ou ἕτερος ἑτέραν) τὴν γνώμην. — Φοιϐίδου τὴν τῶν Θηϐῶν ἀκρόπολιν καταλαϐόντος, οἱ τοῖς Σπαρτιάταις ἐναντιωθέντες ἄλλοι εἰς ἄλλην πόλιν φεύγειν ἠναγκάσθησαν. — Πάντες οἱ ἄνθρωποι ἴσως τὸ κάλλος μετέρχονται· ἄλλοι δὲ ἄλλο τοῦτο εἶναι ὑπολαμϐάνουσιν. — Ἔστιν εὑρεῖν καὶ ἐν τοῖς ἐναργέστατα συγγράφουσιν ἅτινα ἄλλοι ἄλλον τρόπον δύνανται ἐξηγεῖσθαι. — Οἱ πλεῖστοι τῶν θνητῶν θυσίας τοῖς θεοῖς ἄλλοι μὲν ἕνεκ' ἄλλων τελοῦσιν· ὀλίγοι δὲ προῖκα εὔχονται. — Οἱ τῶν ἀνδρῶν ἐκπρεπέστατοι ἄλλοι δι' ἄλλων ἐλασσωμάτων τοῖς πολλοῖς παραπλήσιοι γίγνονται πάντες. — Τοὺς ὑποδεεστέρους βαναυσουργοὺς ἄλλους μὲν ἄλλα τινὰ ποιοῦντας διαφέρειν οἷόν τέ ἐστιν· οὐδεὶς δ' αὐτῶν τὸ πᾶν συντιθέναι ἐστὶν ἐπιτήδειος.

2. Ἆρά τις ἀνήρ ἐστι τῇδε παντάπασιν ἀφιλότιμος; οὐ γὰρ εἰκὸς λέγειν ἕκαστον ἡμῶν ἄλλους ἄλλα τινὰ φιλοτιμεῖσθαι; — Τὰ μὲν πλεῖστα τῶν ζώων τῇ φυγῇ ἀποδιδράσκειν ἢ τῇ ῥώμῃ ἀμύνεσθαι δύναται· ἄλλα γὰρ ἄλλοις ὅπλα ὑπάρχει· μόνη δὲ ἡ ὄϊς ταῖς πρὸς πάντων βίαις ἐστὶν ὑποκειμένη. — Οὐδενὶ Ἀθηναίων ἐξῆν ἕνα δοῦλον ἀργὸν ἔχειν· διὸ καὶ οἱ πλούσιοι πολλοὺς δούλους ἔχοντες ἄλλους ἄλλοις ἐργάταις ἐμίσθουν. — Οἱ μὲν ἀνθρώπειοι νόμοι ἄλλοι ἄλλα προαγορεύουσιν· ὁ δὲ θεῖος νόμος πάντων ταῖς ψυχαῖς ἐγκεχαραγμένος τὰ αὐτὰ πᾶσι προστάττει. — Οἱ πλεῖστοι τῶν δήμων ἄλλοι ἄλλας πολιτείας τάξεις προείλοντο, νομίζοντες δὴ πάντες ἑαυτοὺς χρῆσθαι τῇ τελειοτάτῃ. — Ἆρ' οὐκ ἔστι θαυμαστὸν δύο χρηστοὺς καὶ ἁπλοῦς τῆς αὐτῆς πράξεως μάρτυρας ἐκείνην μέντοι ἑκάτερον ἄλλον ἄλλῳ (ou ἕτερον ἑτέρῳ) τρόπῳ ἱστορεῖν;

125ᵉ Exercice.

L'un l'autre (*Grammaire*, § 605).

1. Οἱ Ῥωμαῖοι τὴν Μακεδονίαν ἀσθενεστέραν ποιῆσαι βουλόμενοι, πρῶτον εἰς τέσσαρας τετραρχίας ἄλλας ἀπ' ἄλλων κεχωρισμένας διεμέρισαν αὐτήν. — Τρῶές τε καὶ Ἕλληνες πανταχοῦ ἐν τῷ εὐρεῖ πεδίῳ ἐμάχοντο μεμιγμένοι ἀλλήλοις. — Οἱ βάρϐαροι οἱ τῇ τῶν Ῥωμαίων ἀρχῇ ἄλλοι ἐπ' ἄλλοις προσπεσόντες θείῳ τινὶ χειρὶ κινηθῆναι ἐδόκουν. — Πάντες σαφῶς ἴσασιν ὅτι ἀγροὶ μέν εἰσιν ἄλλοι ἄλλων γονιμώτεροι,

παῖδες δὲ ἄλλοι ἄλλων εὐφυέστεροι, ἔθνη δὲ ἄλλα ἄλλων ἐνεργέστερα καὶ τεχνικώτερα καὶ ἐμμονώτερα καὶ εὐσταθέστερα. — Σῆστος καὶ Ἄβυδος αἱ πόλεις σχεδὸν ἐναντίον ἑτέρα ἑτέρας κεῖνται. — Οὐδὲν μᾶλλον τὴν τῶν Ἀθηναίων δύναμιν ἔβλαψεν ἢ τὸ δέκα στρατηγοὺς τοῖς στρατεύμασιν ἐφιστάναι ἄλλους ἐπ' ἄλλοις ἄρχοντας. — Ἡ Σπάρτη ἀεὶ μὲν ὑπὸ δυοῖν ὁμοῦ βασιλέων ἐβασιλεύετο· ἦν δὲ σπάνιον ἕτερον οὐκ εἶναι ἑτέρου καὶ σοφώτερον καὶ ἐμπειρότερον καὶ διὰ τοῦτο δυνατώτερον. — Ἐκ τῶν μετεώρων τῶν ἀπὸ τῆς οὐρανίας ἁψῖδος ἐκκεκρεμάσθαι δοκούντων, πολλῷ πορρωτέρω ἄλλα ἄλλων ἀπὸ τῆς οἰκουμένης σφαίρας ἀφέστηκεν.

2. Οὐ μόνον οἱ κακοὶ ἄλλοι ἄλλων τὴν ἀτυχίαν οὔτε ἐλεοῦσιν οὔτε οἰκτείρουσιν, ἀλλὰ καὶ ἐφήδονται ἄλλοι ἄλλων τῷ ὀλέθρῳ. — Ἐπὶ ταῖς μεσημβριναῖς τοῦ Εὐξείνου Πόντου ἀκταῖς Ἑλληνίδας ἀποικίας εὑρίσκειν ἔστιν οὐ πόρρω ἄλλας ἄλλων ὑπὸ τῶν Μιλησίων καὶ Μεγαρέων καὶ Ἀθηναίων κατῳκισμένας. — Οἱ Ῥωμαῖοι τὰ ἔθνη πρὸς ἄλληλα διαστασιάζοντες διετέλουν ἅγε ὕστερον καταστρέφεσθαι ἐβούλοντο, πειρώμενοι πρότερον ἄλλα δι' ἄλλων ἀσθενέστερα ποιῆσαι. — Τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην ἑτέραν ἀφ' ἑτέρας διαχωρίζει ὁ Θρᾴκιος Βόσπορος ὃς ἔσθ' ὅπου ὀλίγα μόνον στάδια εὐρύς ἐστιν. — Πολλάκις ὁ δῆμος τὰ τῆς συγκλήτου δόγματα διὰ τοῦτο μόνον ἀποψηφίζεται ὅτι οὐ βούλεται ὁμολογεῖν πολίτας ἄλλους ἄλλων εἶναι σοφωτέρους. — Ἐν τῷ Βοσπόρῳ ναῦς ἐκ πασῶν τῶν Ἑλληνίδων πόλεων ἰδεῖν ἔστιν ἄλλας παρ' ἄλλαις τεταγμένας. — Τῶν Ἀθηναίων οἱ μὲν ἀπὸ γενεᾶς, οἱ δὲ κατ' εἰσποίησιν πολῖταί εἰσιν, ἀλλὰ πάντες ἄλλοι ἄλλοις σχεδὸν ἰσόνομοι. — Οἱ μὲν ἀμφότεροι ἀδελφοὶ ἕτερος ἑτέρου τῇ φωνῇ κινηθέντες τὰ δάκρυα κατέχειν οὐκ ἐδύναντο.

126e Exercice.

Suite de *l'un l'autre* (*Grammaire*, § 606).

1. Τὸ τοῦ Θρᾳκίου Βοσπόρου μέσον ῥίῳ στενοῦται ἐφ' οὗ ἄκρου ναός ἐστιν Ἀθηνᾶς. Ἐκεῖ δὲ δύο ἄνθρωποι, ὁ μὲν ἐν Ἀσίᾳ ὁ δὲ ἐν Εὐρώπῃ ἑστηκότες δύνανται ῥᾳδίως ἀλλήλων ἀκούειν. — Οἱ Σπαρτιᾶταί τε καὶ οἱ Εἵλωται πρὸς ἀλλήλους μάλ' ἀπίστως ἔχοντες μετὰ δέους ἐπώπτευον ἀλλήλους. — Ἀντώνιος καὶ Ὀκτάβιος οὐχ ἅπαξ ἀλλήλοιν φιλίαν ἀΐδιον ὀμόσαντες οὐδέποτ' ἄλλο ἐσπούδασαν ἢ ἀπολλύναι ἀλλήλους. — Παρὰ τὸ δεῖπνον διηγούμεθα ἀλλήλοις ὅ τι ἐν τῇ ἡμέρᾳ ἐπράξαμεν, ἢ ἠκούσαμεν ἀξιόλογον ἢ εἴδομεν. — Ἐν Σπάρτῃ βασιλεῖς καὶ ἄρχοντες καὶ ἰδιῶται ἀλλήλους ἐκλέξαντες ἔρχονται δειπνῆσαι εἰς δειπνητήριά τινα ἐν οἷς πολλαὶ τράπεζαι παρεσκευασμέναι εἰσίν. Οἱ δὲ ἄλλαις τραπέζαις προσκαθήμενοι οὐ μίγνυνται ἀλλήλοις, ἑταιρίαν τινὰ ποιούμενοι

εἰς ἣν οὐδεὶς εἰ μὴ ἐκ πάντων γνώμης δύναται προσδεχθῆναι. — Τῶν Σπαρτιατῶν οἱ νέοι εἰς ὄγδοον καὶ δέκατον τῆς ἡλικίας ἔτος ἐλάσαντες πολλάκις πρὸς ἀλλήλους αἱματοῤῥύτους μάχας ποιοῦνται· ἔστι γὰρ, ἔστιν ἰδεῖν ἀλλήλους λὰξ ἢ πὺξ παίοντας, καὶ ὀδοῦσι καὶ ὄνυξιν ἀποδρύπτοντας μᾶλλον ἀπόλλυσθαι ἢ εἴκειν αἱρουμένους.

2. Οὗτοι οἱ ἄθλιοι παῖδες μάστιξι δερόμενοι παρεκάλουν ἀλλήλους μὴ στενάζειν μηδὲ οἰμώζειν. — Ὦ κακοὶ, οὐ μόνον ἀλλήλους καὶ μισεῖτε, καὶ καταφρονεῖτε ἀλλήλων, ἀλλὰ καὶ ὑμῶν αὐτῶν καταφρονεῖτε. — Ἄνδρες σοφοὶ οἵδε οὐ κενὰ καὶ μάταια προβλήματα προέβαλλον ἀλλήλοις, ἀλλὰ περὶ τοῦ πῶς τῆς ἀρετῆς κεκτῷτό τις καὶ περὶ τοῦ τὴν ἀληθινὴν εὐδαιμονίαν κάλλους διελέγοντο. — Ὁ Λυκοῦργος τοὺς νεανίας εἰς συλλόγους διεῖλεν οἵπερ ἀλλήλους κατασκοποῦντες οὕτω καὶ ἀλλήλους πρὸς τὴν τῶν νόμων αἰδῶ παρεκάλουν. — Οἱ τοῦ Ἀσκληπιοῦ πρόσπολοι τὴν τῶν ἀποῤῥήτων φαρμάκων ἐπιστήμην παρεδίδοσαν ἀλλήλοις ἅπερ παρὰ τοῦ θεοῦ παραλαβεῖν ἔφασκον ὥστε τοὺς νοσοῦντας θεραπεῦσαι. — Εἰ ὑμῶν οἱ σύμμαχοι ἀλλήλοις πολεμεῖν ἕτοιμοί εἰσι, πειρᾶσθε τὴν ἔριν αὐτῶν οὐχ ὅπως θρέψετε ἀλλὰ καταπαύσετε. — Ὁ Ἱππίας εἰς τὸν Ὀδυσσέως υἱὸν ἔτι νέον ὄντα ἐμπίπτει καὶ ἐπιδράσσονται ἀλλήλων καὶ σφίγγουσιν ἀλλήλους.

127ᵉ Exercice.

Suite de *l'un l'autre* (*Grammaire*, § 606, *Remarques*).

Οἱ ἀγαθοὶ ταχέως οἱ ἄλλοι τοὺς ἄλλους (ou ταχέως ἀλλήλους) γιγνώσκουσιν. — Ὁ Τιμοκράτης καὶ ὁ Πρωτεσίλαος, δυοῖν θηρσὶν ὅμοιοι, ἀεὶ ἕτοιμοι ἦσαν ὁ ἕτερος τὸν ἕτερον διασπαράσσειν. — Ὁ Πλάτων τοῖς ποιηταῖς ἐμέμφετο ὅτι τοὺς θεοὺς ἔδειξαν πρὸς ἀλλήλους ἐρίζοντας καὶ ἄλλους ἀπ' ἄλλων τιμωρίαν λαμβάνοντας. — Ἐκ παίδων εἰθισμένοι τῆς ὀδύνης καταφρονεῖν οἱ ἄλλοι τοὺς ἄλλους παρακαλοῦμεν πάντας τοὺς κινδύνους ἀναλαμβάνειν. — Ἡ μὲν μουσικὴ ἡ τὰς ψυχὰς μαλακύνουσα, ἡ δὲ γυμναστικὴ ἡ σκληρύνουσα αὐτὰς καὶ ἐξαγριοῦσα ἡ ἑτέρα τὴν ἑτέραν ἐπανορθοῦσιν — Μὴ πιστεύωμεν οἱ ἄλλοι τοῖς ἄλλοις περὶ τοῦ τῇ πατρίδι ἀμύνειν· ἀλλὰ πάντες τῆς σωτηρίας αὐτῆς κατὰ τὴν δύναμιν ἐπιμελώμεθα. — Κατὰ τοὺς Αἰσώπου χρόνους τῶν βασιλέων αἰνίγματά τινα ἄλλων ἄλλοις ἐπιστελλόντων, ὁ μὴ λύειν αὐτὰ δυνάμενος ἀργύριον συγκείμενον ἀπέτινεν. — Εἰκός ἐστι λέγειν ὅτι Μάριος καὶ Σύλλας εὐθὺς γνόντες ὁ ἕτερος τὸν ἕτερον μισεῖν ἤρξαντο.

128ᵉ Exercice.

L'un et l'autre, l'un ou l'autre, ni l'un ni l'autre (Grammaire, § 607).

1. Ἐπαιδεύθησαν ἀμφότεροι τὸν αὐτὸν τρόπον καὶ ὑπὸ τῶν αὐτῶν διδασκάλων. — Ἀγησίλαος μὲν καὶ Λύσανδρος τοὺς περὶ αὐτοὺς πλουτίσαντες ἀμφότεροι τῇ ἐσχάτῃ πενίᾳ συνέζησαν. Ἀμφότεροι δὲ ὥστε τῆς τῶν στρατευμάτων ἡγεμονίας τυχεῖν τοὺς ἐφόρους αἰσχρῶς ἐκολάκευσαν, καὶ ἐπεὶ τῶν τῆς Σπάρτης συμμάχων οὐκ ἐφείσαντο οὐδέτερος, δίκαιοί εἰσιν ἑκάτερος τῆς Βοιωτίας ἐπαναστάσεως, δι' ἧς οὕτως ἡ τῆς Σπάρτης δύναμις ἠλασσώθη, ἔχειν αἰτίαν. — Λέγεται Ἀλέξανδρος βασιλεύειν ἀρχόμενος κρίσιν θανάτου κρίνων τὴν χεῖρα τῷ ἑτέρῳ ὠτὶ, τοῦ κατηγόρου ἀγορεύοντος, προστιθέναι, ὅπως αὐτὸ τῷ κρινομένῳ καθαρὸν καὶ ἀδιάβλητον διασώσῃ. — Τοῖς μὲν τῆς Σπάρτης βασιλεῦσιν οὔτε κατ' εἰρήνην, οὔτε κατὰ τὸν πόλεμον ἀμφοτέροις ὁμοῦ ἔξεστιν ἀποδημεῖν· δεῖ δὲ μένειν τὸν ἕτερον ὑπὲρ τοῦ τῇ πατρίδι ἀμύνειν.

2. Εἶπέ ποτε ἡ χέλυς τῷ λαγῷ· « Βούλει σὺ πειραθῆναι πότερος πρὸς τὸ τέρμα πρότερος ἀφίξεται ; » — Σοφοκλῆς καὶ Εὐριπίδης μετ' Αἴσχυλον γεγονότες οὐδέτερος τὴν τοῦ πρότερον γενομένου δόξαν ἠφάνισαν. — Μηδετέρα τῶν γυναικῶν τῶνδε εἰσδεχθῇ εἰς τὸν τῆς θεοῦ ναὸν εἰς ἣν ἠσέβησαν. — Τῆς τῶν Καρχηδονίων πόλεως διὰ τὴν Ἀμίλκα καὶ Ἄννωνος φιλοτιμίαν στασιαζούσης, πάντες οἱ πολῖται τὰ τοῦ ἑτέρου αἱρεῖσθαι ἠναγκάζοντο. — Οἱ Σπαρτιᾶται τὴν τοῦ θανάτου εἰκόνα τῇ τοῦ ὕπνου παρέστησαν ὥστε ἐθίζεσθαι ἀμφότερον τοῖς αὐτοῖς ὀφθαλμοῖς ὁρᾶν. — Ἀριστοτέλης μὲν καὶ Πλάτων πολλοὺς ἀκροατὰς ἀμφότεροι ἔσχον· πότερος δὲ μέντοι μᾶλλον ἐπὶ τοὺς κατ' αὐτὸν ἰσχῦσαι δοκεῖ ;

129ᵉ Exercice.

Suite de *l'un et l'autre*, etc. (*Grammaire*, § 607).

1. Μηδέτερος τῶν ἀσεβῶν υἱῶν βασιλεύοι τῶν Θηβῶν ἡσύχως, ἀλλ' ἀμφότεροι τοῦ τυφλοῦ πατρὸς ὃν ἐξήλασαν αἰτοῖεν βοήθειαν. — Ἔφασκεν ὁ ἕτερος ὕπατος Βάρρων ἐκ τοῦ δήμου ὢν τοὺς πατρικίους τὸν πόλεμον παρελκύσαι ὥστε τὸν δῆμον καταδουλῶσαι. — Ἔλεγε Κίμων Ἀθηνῶν καὶ Σπάρτης τῶν ἀμφοτέρων τῆς Ἑλλάδος ὀφθαλμῶν οὐσῶν, οὐκ ἂν διαφθαρῆναι τὴν ἑτέραν πόλιν ἄνευ ὅλου τοῦ σώματος βλάβης. — Ἰφικράτης μὲν καὶ Τιμόθεος δεινοί εἰσι στρατηγοί· οὐδέτερος δὲ οὔτε τῷ Ἀγησιλάῳ οὔτε μὴν τῷ Ἐπαμεινώνδᾳ δύνανται παραβάλλεσθαι. — Φασὶν οἱ Ἀθηναῖοι τὴν τῶν Λακεδαιμονίων πλεονεξίαν καὶ τὸν φθόνον αἰτίαν γενέσθαι πάντων τῶν κακῶν ὅσα τὴν Ἑλλάδα εἴκοσι καὶ ἑπτὰ ἔτη

ἐταλαιπώρησεν· ποτέρα δὲ πόλις πλεονεκτικωτέραν ἑαυτὴν καὶ φιλοτιμοτέραν παρέσχεν ἀπὸ τῶν Μηδικῶν;

2. Ἔνιοι μὲν ὑπὸ τοῦ Σύλλα, ἔνιοι δὲ ὑπὸ τοῦ Καίσαρος τὴν τῶν Ῥωμαίων ἐλευθερίαν ἀναιρεθῆναι λέγουσι· μηδέτερον δ' αἰτιώμεθα τούτου ὅπερ ἄφυκτον ἦν ἐξ οὗ αὐξηθείσης τῆς ἀρχῆς τὰ ἤθη διεφθάρη. — Ἀθηνᾶ καὶ Ποσειδῶν τῶν Ἀθηνῶν προστατοῦσιν· ἀμφότεροι γὰρ ἐκείνην καὶ εἰς τοῦτο δυνάμεως προήγαγον, καὶ κινδυνευούσῃ ἀμύνουσιν ἀμφότεροι. — Κορνηλία, τὸν ἕτερον υἱὸν ἤδη ἀπολέσασα, οὐ μέντοι ἐπειράθη τὸν Γάϊον Γράκχον ἀπὸ τῶν δημοσίων ἀποτρέψαι. — Ἐν τῷ παλαίειν ἀμφότεροι οἱ ἀντίπαλοι πειρῶνται ἑκάτερος τὸν ἕτερον ἀνάραντες βίᾳ ἢ δόλῳ καταβαλεῖν. — Τοῦ ἑτέρου τῶν Ἱππομάχου ἵππων καταπεσόντος, ὁ δεσπότης ἅμα καὶ τῆς τοῦ νικῆσαι ἐν σταδίῳ καὶ τῆς τοῦ βασιλεύειν ἐλπίδος ἐξεκρούσθη. — Μηδέτερος ταύτης τῆς ἀλιτηρίου μάχης ἀρχέσθω· μηδέτερος τὸ ξίφος τῷ τοῦ ἀδελφοῦ αἵματι βάψαι πειράσθω. — Οἴμοι, οὐδέτερός μου ἀκούουσιν, ἑκάτερος δὲ τῇ αὐτῇ ἀγριότητι ἐκφέρεσθαι δοκεῖ.

180ᵉ Exercice.

Tout autre (*Grammaire*, § 608).

1. Οἱ πρὸ ἡμῶν μόνον ἀμφὶ τὸ πολεμεῖν εἶχον καὶ τὸ γεωργεῖν· πᾶν γὰρ ἄλλο αὐτοῖς ἐλευθέρων ἀνδρῶν ἀνάξιόν τι εἶναι ἐδόκει. — Ὁ μὲν Ἰόνιος νόμος πρὸς τὴν τρυφὴν καὶ τὰς ἡδονὰς προτρέπει· πάνυ δὲ ἀλλοῖός ἐστιν ὁ Δώριος ᾧ μόνῳ χρῶνται οἱ Λακεδαιμόνιοι. — Οἱ τῶν νεανιῶν αἰδημονέστατοι καὶ χρηστότατοι πολλάκις ἕτεροι ἑαυτῶν τῇ τῶν κακῶν ὁμιλίᾳ γίγνονται. — Πᾶς τις ἄλλος ἢ Ἀλέξανδρος τοῖς τοῦ Δαρείου ἐπαγγέλμασιν πειρασθεὶς τῷ Παρμενίωνι πεισθείη ἂν βουλεύσαντι. — Οἱ μὲν Ἕλληνες οὐ βεβαίῳ τινὶ ἐπιτηδεύματι χρώμενοι ἄλλοτε ἄλλον τρόπον ἔπραττον· πάνυ δὲ ἑτέρα ἦν ἡ τῶν Ῥωμαίων πολιτεία. — Πάλαι μόνον τοὺς τῆς γῆς καρποὺς τοῖς θεοῖς προσέφερον· πᾶσα γάρ τις ἄλλη προσφορὰ ἦν ἄγνωστος. — Αἱ Ἀθῆναι πλείους μὲν ἔχουσι ναοὺς, πλείους δὲ τελοῦσιν ἑορτὰς ἢ πᾶσά τις ἄλλη τῆς Ἑλλάδος πόλις. — Τῷ ἀρχιερεῖ μόνῳ ἐξῆν εἰς τὸ ἄδυτον εἰσιέναι· πᾶς δέ τις ἄλλος ὅστις εἰς τὸν φοβερὸν τόπον εἰσδῦναι τολμήσῃ, αὐτίκα θανάτῳ ζημιωθείη ἄν.

2. Ἡ μὲν Μακεδονικὴ φάλαγξ μέγα τι ἦν πλαίσιον πανταχόθεν πυκνότατον καὶ δυσκίνητον· πάνυ δὲ ἕτερον ἦν τὸ Ῥωμαϊκὸν τάγμα. — Ἐπαμεινώνδας τὴν Μεσσηνίαν ἀνατειχίζων τὸ τῶν Λακεδαιμονίων φρόνημα ἐταπείνωσε· πᾶν γάρ τι ἄλλο ἧσσον ἀνιάσαι ἂν ἐκείνους. — Πᾶν ἄλλο τι βασίλειον σμικρότατον ἐδόκει τοῖς τὸν πολύφημον Αἰγύπτου λαβύρινθον ἐπισκεψαμένοις οὗ τὴν τοπογραφίαν Ἡρόδοτος καὶ Διόδωρος παρέδωκαν ἡμῖν. — Ὦ φρόνιμε γέρον, ὁμολογῶ με παντί τινι ἄλλῳ

χαλεπᾶναι ἂν ὅστις πρός με τοιαύτῃ τῇ παῤῥησίᾳ χρήσαιτ᾽ ἄν. — Ἔφασκον μὲν οἱ Ἀθηναῖοι τοὺς κούρους καὶ τὰς κόρας ὑπὸ τοῦ Μινωταύρου κατεσθίεσθαι ὅσους εἰς τὴν Κρήτην ἐπέστελλον· πάνυ δὲ ἑτέρα ἦν ἡ τῶν Κρητῶν διήγησις καὶ τῷ ἀληθεῖ μᾶλλον ἐοικυῖα. — Πᾶς μέν τις ἄλλος τὴν βασιλείαν δέξαιτ᾽ ἂν ἣν οἱ Κρῆτες ἐδίδοσαν αὐτῷ· ὁ δὲ Τηλέμαχος ἀπεκρίνατο ὅτι εἴ ποτε βασιλεύσει, μόνον ἐν τῇ Ἰθάκῃ νήσῳ βασιλεύειν θέλει.

181e Exercice.

Même **adjectif (*Grammaire*, § 609).**

1. Ὁ Καῖσαρ ἐν τῷ τῆς γερουσίας βουλευτηρίῳ πρὸ αὐτῆς τῆς Πομπηΐου εἰκόνος ἐφονεύθη. — Εἰ οἱ Τρῶες τὸν Ἕκτορα καὶ τὸν Σαρπήδονα θανόντας θρηνοῦσιν, ὁ δὴ Αἴας καὶ αὐτὸς ὁ Ἀχιλλεὺς ὀδὰξ γῆν ἔλαβον. — Ἐλέγετο Γιλλίας ὁ Ἀκραγαντῖνος αὐτὴ ἡ φιλοδωρία εἶναι. — Ἄνδρες δικασταὶ, οἱ τοῦ Σωκράτους καταδικάσαντες, αὐτὴν τὴν ἀρετὴν ἀπεκηρύξατε. — Ὁ Ἀννίβας ἅτε οὐ βοηθείας παρὰ Καρχηδόνος λαμβάνων αὐταῖς ταῖς νίκαις ἠσθενοῦτο. — Ὁ θεὸς αὐτὴ ἡ ἁγιότης, αὐτὴ ἡ ἀγαθότης, αὐτὴ ἡ δύναμις, αὐτὸς ὁ λόγος ἐστίν. — Τῶν Λακεδαιμονίων ἐπὶ τὰ τῆς Μαντινείας τείχη τὸν παραῤῥέοντα ποταμὸν ἐκτρεψάντων, ἔπεσε μὲν τὰ τείχη, αὐτὴ δὲ ἡ πόλις σχεδὸν ἅπασα ἀνάστατος ἐγένετο. — Ἔστιν ἰδεῖν δεσμοὺς ἐκ τῶν ἐν Τεγέᾳ ναοῦ τοίχων κεκρεμασμένους οἷς κατὰ τὸν ἔσχατον πόλεμον οἱ Λακεδαιμόνιοι ἐδέθησαν τοῖς Τεγεάταις ἐκείνους παρασκευάσαντες αὐτοί. — Πολλοὶ τῶν παλαιῶν τῆς Ἑλλάδος ἡρώων ἔφασαν ἑαυτοὺς ἐξ αὐτοῦ τοῦ Διὸς γεγονότας. — Αὐταὶ αἱ οἰκίαι ἐκ τῶν θεμελίων ἁρπασθεῖσαι, ἐνίοτε μακρὰν τῇ τῆς θυέλλης βίᾳ παραφέρονται.

2. Ἧσσον ἡμῖν τοῦ Αἰνείου μέλει ἢ αὐτοῦ τοῦ τῶν Ῥωμαίων δήμου καὶ ἐκείνων τοῦ γένους καὶ τῆς ἐσομένης εὐκλείας, ἅπερ Οὐεργίλιος μεγαλοπρεπέσιν ἔπεσιν ὕμνησεν. — Αὐτῶν τῶν βουλευτῶν τῶν τὰ Πομπηΐου προελομένων οἱ πλεῖστοι οὐ προθύμως ὑπὲρ τοῦ ἀνδρὸς τοῦδε ἐμάχοντο, ὃς μὲν ἧσσον δεινὸς καὶ φοβερὸς τοῦ Καίσαρος ἐγίγνετο, οὐ δὲ ἧσσον πλεονεκτικός. — Ἔλεγεν ὁ Σωκράτης τὸν Θεμιστοκλέα καὶ αὐτὸν τὸν Περικλῆν οὐχ ὡς ἀληθῶς ῥήτορας γενέσθαι, ὅτι οὐκ ἐσπούδασαν οὐδέτερος τοῖς λόγοις τοὺς πολίτας βελτίους ποιεῖν. — Αὐτὴ ἡ θάλασσα ἡ τὰς ναῦς καταβροχθίζουσα καὶ χώρας διόλου κατακλύζουσα τοῖς ἀνθρώποις χρησίμη ἐστίν. — Πλοῦτος, δύναμις, κάλλος, καὶ αὐτὴ ἡ δόξα, οὐδὲν τὴν τοῦ ἀνθρώπου ψυχὴν ἐκπληροῦν δύναται. — Πᾶσα ἡ τῶν θεῶν σοφία ἐν Ὀδυσσεῖ δοκεῖ ἐνεῖναι· καὶ αὐτή γε ἡ Ἀθηνᾶ οὐ βουλεύοι ἂν βελτίω.

132ᵉ Exercice.

Même adverbe (*Grammaire*, § 610).

1. Οἱ Ἀργεῖοι ἀεὶ τοῖς περιχώροις πολεμοῦντες πολλάκις καὶ ἀντέστησαν τοῖς Λακεδαιμονίοις. — Τιρυνθίους φασὶν εἰς πάντα παίζειν εἰωθότας καὶ περὶ τὰ κυριώτατα οὐχ οἵους τε εἶναι σπουδάζειν. — Οἱ Τροιζήνιοι τὸν Ἱππόλυτον ὡς θεὸν σέβονται· ἔνιοι δὲ καί φασιν ἐκεῖνον οὐχ ὑπὸ τῶν ἵππων ἑλκυσθῆναι, ἀλλ' εἰς τὰ ἄστρα κατασταθῆναι. — Ὁ Ἀσκληπιὸς τολμήσας καὶ νεκροὺς ἀναβιώσασθαι ἐκεραυνώθη τοῦ Πλούτωνος αἰτήσαντος. — Αἱ ἐκ Πέλλης τῆς ἐν Μακεδονίᾳ γυναῖκες πολλοὺς ὄφεις τρέφουσαι καὶ περὶ τὸν τράχηλον πλέκουσιν αὐτούς, περιτραχηλίου δίκην. — Ἔστιν ὑβρίσματά τινα ἃ καὶ οἱ μάλιστα ὑπομενετικοὶ ὄντες φέρειν οὐ δύνανται. — Εἰώθει μὲν Τίτος τὰ λεγόμενα τάχιστα ὑποσημειοῦσθαι· ἔχαιρε δὲ καὶ πρὸς τοὺς ἐπὶ τῶν ἐπιστολῶν ἁμιλλώμενος τῷ ταχυγραφεῖν. — Λέγουσιν οἱ Ἕλληνες τὴν ἐλευθερίαν καὶ ἐπικίνδυνον οὖσαν τῆς λαμπροτάτης δουλείας εἶναι αἱρετωτέραν. — Πολλοὶ ὤφθησαν βασιλεῖς οἳ πρὸς πάντας μάλ' εὔνοι καὶ πρᾶοι ὄντες ὅτ' ἤρξαντο βασιλεύειν, ὕστερον ἀπηνεῖς καὶ ἀνελεεῖς καὶ πρὸς τοὺς τῶν οἰκείων προθυμοτάτους καὶ πρεσβυτάτους, ὥσπερ Ἀλέξανδρος, ἐγένοντο.

2. Τί ἐστιν ἡ δόξα καὶ ἡ λαμπροτάτη, τί ἡ φήμη καὶ ἡ μάλιστα καθεστηκυῖα, τί δὲ ἡ δύναμις καὶ ἡ βεβαιοτάτη; — Οἱ ἑκατόνταρχοι καὶ οἱ ἀνδρειότατοι τραύμασιν τετρωμένοι ἃ ὑπὲρ τῆς πατρίδος ἔλαβον, πολλάκις εἰς Ῥώμην εἰσιόντες δανεισταῖς ἀπαραιτήτοις ἐνετύγχανον. — Ἐν Λακεδαίμονι τὰ γυμναστικὰ καὶ ταῖς παρθένοις ἐπετέτακτο. — Ἄμεινόν ἐστι μακρὸν περίπλουν περιπλεῦσαι ἢ καὶ πόῤῥωθεν τὴν Σκύλλαν καὶ τοὺς βαρυηχεῖς σκοπέλους ἰδεῖν. — Οἱ τῶν Ῥωμαίων καὶ ἥκιστα φιλοκερδεῖς, οἷον Βροῦτός τε καὶ Κάτων, οὐκ ᾐσχύνοντο τὰς ἐπαρχίας ληϊζόμενοι ὡς δὴ ἀεὶ πολεμίας χώρας οὔσας. — Οἱ πολῖται οἱ καὶ μάλιστα πρὸς τὸν Περικλῆν ἐχθρῶς ἔχοντες, ἐπεὶ φανερῶς τῷ μεγάλῳ ἀνδρὶ ἐπιχειρεῖν οὐκ ἐτόλμων, τὸ μῖσος ἐκπιμπλάναι ἐπειρῶντο τοὺς ὑπ' ἐκείνου φιλουμένους καὶ σπουδαζομένους ἀπολλύντες. — Ἦσαν οἳ καὶ ἔφασκον τὸν Ἡρακλέα οὐ τεθνάναι, ἀλλὰ μέχρις ὑπὸ τὴν παγεῖσαν ἄρκτον προβῆναι τοὺς Σκύθας δαμάσοντα. — Φιλοκτήτης, καὶ ἁλούσης τῆς Τροίας, οὐ παντάπασιν ἠμνημόνησε πρὸς τὸν Ὀδυσσέα πολὺν χρόνον ἔχθιστα διακείμενος τῷ θυμῷ.

133ᵉ Exercice.

Pas même (*Grammaire*, § 611).

1. Οἱ Μακεδόνες Φιλώτᾳ κρινομένῳ ὡς τῷ Ἀλεξάνδρῳ ἐπιβουλεύσαντι οὐδ' ἤθελον τὸν τοῦ ἀπολογήσασθαι χρόνον δοῦναι. — Οἱ στρατιῶται

τῷ τοῦ Ἀλεξάνδρου παραδείγματι παρορμηθέντες ἔλεγον ἑαυτοὺς οὐδὲ τῆς δίψης καὶ πείνης αἰσθάνεσθαι. — Πολύφημος ὁ Κύκλωψ τοῖς ἄλλοις Κύκλωψι τοῖς ἐπιβοήσαντι προσδραμοῦσιν οὐδ' εἰπεῖν ἠδύνατο τοῦ ἐκτυφλώσαντος αὐτὸν τοὔνομα. — Ἐνόμιζον οἱ πάλαι οὐδένα θεὸν, οὐδὲ τὸν Δία, οἷόν τε εἶναι τὰ εἱμαρμένα ὑπεκφυγεῖν. — Πιστεύουσιν οἱ τύραννοι οὔτε τοῖς φίλοις οὔτε τοῖς συγγενέσιν, ἀλλ' οὐδὲ τοῖς παισίν. — Ἐκείνη ἡ περιβόητος χρυσῆ πλάτανος ἣν οἱ Πέρσαι οὐ παύονται κομποῦντες οὐδ' ἕνα τέττιγα ὑπὸ τῆς σκιᾶς σκεπάζειν δύναιτ' ἄν. — Οἱ Αἰτωλοὶ οὐδὲ τὰς ἱερωτάτας σπονδὰς αἰδοῦνται. — Οἱ Μεγαρεῖς οἱ κατὰ τοὺς τῶν Μηδικῶν χρόνους εἴκοσι ναῦς ἔχοντες ἐν τῇ Σαλαμινιακῇ μάχῃ, τὸ νῦν οὐδὲ πέντε παρασκευάζειν δύναιντ' ἄν. — Οἱ Ἀχαιοὶ πολὺν χρόνον τῶν πάσῃ τῇ Ἑλλάδι κοινῶν οὐδαμῶς ἥψαντο, οὐδ' ὅτε Ξέρξης αὐτὴν καταδουλώσειν ἤμελλεν.— Ἔφασαν τοὺς ἐῤῥωμενεστάτους ἵππους οὐχ οἵους τε εἶναι οὐδὲ τὸ ἅρμα προάγειν ὃ δὴ Πολυδάμας ὁ ἀθλητὴς ἐξόπισθεν μιᾷ χειρὶ κατεῖχεν.

2. Οὐκ ἐξῆν Ἀθήνησιν οὐδ' ἐν τοῖς χαλεπωτάτοις εἰς τὰς τῆς πόλεως χρείας τοῖς χρήμασι χρῆσθαι τοῖς πρὸς τοὺς πένητας ἀποτεταγμένοις οἵτινες τὰ δικαστῶν ἔπραττον. — Λέγουσιν ἔνιοι συγγραφεῖς Ἡσίοδον καὶ Ὅμηρον πρὸς ἀλλήλους περὶ τῆς ποιητικῆς ἀγωνίσασθαι· ἐκεῖνοι δὲ οἱ δύο μεγάλοι ποιηταὶ οὐδὲ συνεχρόνουν ἀλλήλοις.— Οἱ συνωμόται μετὰ τὴν Καίσαρος τελευτὴν οὐδένα τῶν σὺν αὐτῷ προὔγραψαν, οὐδ' Ἀντώνιον καὶ Λέπιδον οἳ τὰ πρῶτα μάλα περιφόβως ἔσχον. — Ἄνθρωποί τε καὶ ζῶα οὐδ' ἐπὶ πάσης ζῆν δύνανται τῆς οἰκουμένης ἐπιφανείας. — Οἱ Ἀθηναῖοι οὐδὲ τῶν νικησάντων στρατηγῶν ἐφείδοντο οἵτινες οὐκ ἠδυνήθησαν μετὰ μάχην θάπτειν τοὺς νεκρούς. — Τὰ περὶ τῶν Ταντάλου καὶ Σισύφου καὶ Ἰξίονος μυθολογούμενα τοῖς ποιηταῖς οὐδένα ἔτι ἐκφοβεῖ οὐδὲ τὰ παιδία. — Οὐδὲ ὁ Ζεὺς τοὺς Ὀλυμπίους θεοὺς ἀεὶ εἰς ὁμόνοιαν καθιστάναι ἐδύνατο. — Οἱ Ἀχαιοὶ οὐδέποτε ἀπάτῃ καὶ δόλῳ χρῶνται οὐδὲ πρὸς τοὺς πολεμίους.

134e Exercice.

Le même, la même (Grammaire, § 612).

1. Πάσαις ταῖς τῆς Ἀχαΐας πόλεσίν εἰσιν οἱ αὐτοὶ νόμοι, αἱ αὐταί τε ἀρχαί.— Οἱ ἄριστοι τῆς πόλεως τὸ αὐτὸ τῷ βασιλεῖ ἔριον ἠμφιεσμένοι ἦσαν. — Οἱ τῶν Λακεδαιμονίων βασιλεῖς ἀμφότεροι τοῦ αὐτοῦ αἵματος ἦσαν, ἐπεὶ ἀπὸ δυοῖν τοῦ Ἡρακλέους παίδων τὸ γένος εἷλκον. — Οἱ ἐν Ἀθήναις μέτοικοι οὐ τῶν αὐτῶν τοῖς πολίταις ἀπέλαυον. — Ἐν Αἰγύπτῳ ἀνάγκη ἦν τοὺς παῖδας τὰς αὐτὰς τοῖς πατράσι τέχνας ἀσκεῖν. — Εὐριπίδης ἐν τοῖς δράμασιν οὐ τὰ αὐτὰ μυθολογεῖ τοῖς πλείστοις

τῶν ποιητῶν. — Οὐ μὲν δὴ τῷ Κάτωνι ἦν ἡ αὐτὴ καὶ τῷ Κικέρωνι τοῦ λέγειν δεινότης· ἡ δὲ τῶν ἠθῶν σεμνότης αἰτία ἦν διότι πολὺ βάρος εἶχον οἱ ἐκείνου λόγοι. — Δοκοῦσιν οἱ Αἰτωλοὶ οὐ τῇ αὐτῇ τοῖς ἄλλοις Ἕλλησι γλώσσῃ χρῆσθαι· οὕτω δυσχερές ἐστιν αὐτοὺς συνιέναι. — Ἀμετάβλητός ἐστι νόμος τῆς φύσεως τὰ αὐτὰ δὴ ἐκ τῶν αὐτῶν γίγνεσθαι. — Ἀρχόντων Σύλλα καὶ Μαρίου οὐκέτ' ἤδη τὰ τάγματα ἦν τὰ αὐτὰ τοῖς τὴν Ἰταλίαν καταστρεψαμένοις καὶ τὸν Ἀννίβαν καταμαχεσαμένοις. — Κατὰ τὸν αὐτὸν χρόνον Λυκοῦργος ὁ τῶν Ἠδονίων βασιλεὺς τὸν Διόνυσον εἰς Θράκην εἰσελάσαντα ἐξέβαλεν.

2. Ὁ Φωκίων καὶ τῶν στρατευμάτων ἡγούμενος τὸν αὐτὸν ἄρτον ἤσθιε καὶ τὸν αὐτὸν οἶνον ἔπινε τοῖς στρατιώταις. — Οἱ φιλόσοφοι οὐ τὴν αὐτὴν δύναμιν τοῖς σοφισταῖς ἔχουσιν πρὸς τοὺς τῶν Ἀθηναίων νέους. — Πᾶσαι αἱ τέχναι πρὸς μὲν τὸ αὐτὸ τέλος, τρόποις δὲ τοῖς αὐτοῖς οὐ τείνουσιν. — Οἱ Σπαρτιᾶται τοῖς ἀνδράσι τοῖς ἀνδρείᾳ κατὰ πόλεμον ἀριστεύουσιν οὐ τὸ αὐτὸ γέρας ἐδίδοσαν ἢ ἀθληταῖς τοῖς ἐν πανηγύρεσι νικήσασιν. — Οἱ τῶν Ῥωμαίων τεχνῖται καὶ ζωγράφοι καὶ ἀρχιτέκτονες καὶ γλυφεῖς οὐδέποτε ἐπὶ τὸ αὐτὸ τοῖς τῶν Ἑλλήνων τεχνίταις ἀφίκοντο. — — Ἆρ' οὐχ ἡμῖν δοκεῖ γηράσκουσιν οὐκέτι τῷ ἡλίῳ ἡ αὐτὴ αὐγή, οὔτε τῇ φύσει τὸ αὐτὸ κάλλος, οὔτε τοῖς ἀνθρώποις ἡ αὐτὴ ἰσχὺς εἶναι, οὔτε ἡ αὐτὴ σώματος καὶ ψυχῆς ῥώμη ἢ τοῖς πάλαι; — Πᾶσαι ἀμφισβητήσεις ἀπέραντοί εἰσιν διότι οἱ ἀμφιβητοῦντες οὐ τὰ αὐτὰ ἐκ τῶν αὐτῶν ῥημάτων συννοοῦσιν. — Ἀλκαμένει τῷ λαμπροτάτῳ τῶν περὶ Φειδίαν οὐκέτι ἦν ἤδη ἡ αὐτὴ ἢ τῷ διδασκάλῳ καθαριότης τῆς τέχνης. — Ἡ μὲν τῶν Ῥωμαίων ἀρχὴ ἀΐδιος ἔσεσθαι δοκοῦσα ταὐτὰ πάσαις ταῖς ἄλλαις ἔπαθεν· ἡ δὲ Ῥώμη τῶν Χριστιανῶν μητρόπολις γενομένη τὸ αὐτὸ ἀξίωμα διέσωσεν.

135ᵉ Exercice.

Suite de *le même*, *la même* (*Grammaire*, § 612, *Remarque*).

1. Οἱ τεχνῖταί τε καὶ οἱ γεωργοὶ οὐ τῶν αὐτῶν τιμῶν ἀπέλαυον ἐν Αἰγύπτῳ ὧνπερ οἱ ἱερεῖς καὶ οἱ στρατιῶται. — Παρὰ τοῦ Ἰωσήπου τοῦ ἱστορικοῦ ἔγνωμεν ὅτι οἱ Ἀσμωναῖοι τῷ αὐτῷ νόμῳ ᾧπερ οἱ Αἰγύπτιοι χρώμενοι τοῖς βασιλεῦσι τοῖς τετελευτηκόσι κριτήριον προετίθεσαν, τοὺς κακοὺς γενομένους ταφῆς ἀποστερίσκοντες. — Οἱ Ῥωμαῖοι οὐ τὸ αὐτὸ γέρας τῷ πολέμιον κτανόντι ὅπερ τῷ πολίτην ἀπὸ θανάτου σώσαντι ἐδίδοσαν. — Σωκράτης τὰ αὐτὰ κατηγορήθη ἅπερ ἤδη Ἀναξαγόρας καὶ ἄλλοι ἔνδοξοι φιλόσοφοι κατηγορήθησαν. — Πάντες οἱ παῖδες οἱ ἐν τῇ αὐτῇ ἡμέρᾳ ἧπερ ὁ Σέσωστρις γεγονότες, πρὸς τὴν βασίλειον αὐλὴν προσαχθέντες ἅμ' αὐτῷ καὶ ὑπὸ τῶν αὐτῶν διδασκάλων ἐπαιδεύθησαν. — Ὑπο-

λαμβάνουσί τινες συγγραφεῖς τὸν Ὄσιριν ὅν φασιν οἱ Αἰγύπτιοι τοὺς Ἰνδοὺς καταστρέψασθαι τὸν αὐτὸν εἶναι ὅνπερ Διόνυσον τὸν καὶ ὑπὸ τῶν Ἑλλήνων ποιητῶν ὡς ἐθνῶν νικητὴν ὑμνηθέντα.

2. Τῶν Βαβυλῶνος βασιλέων τῇ αὐτῇ τραχύτητι πρὸς τοὺς πολίτας ᾗ πρὸς τοὺς δασμοφόρους χρωμένων, χῶραι τῆς βασιλείας ὅλαι Κύρῳ καὶ τοῖς Μήδοις προσέθεντο. — Ὁ Εὐφράτης σχεδὸν τὸ αὐτὸ ἐν τοῖς εὐρέσι Βαβυλωνίας πεδίοις ἐποίει ὅπερ ὁ Νεῖλος ἐν τοῖς τῆς Αἰγύπτου. — Καμβύσης ὁ τὸν Κῦρον διαδεξάμενος οὐ τὸν αὐτὸν τρόπον ὃν ὁ πατὴρ ἐπεπαίδευτο, τρυφῇ καὶ ἡδοναῖς ἐκ παίδων διεφθαρμένος. — Τοῖς πάλαι Ῥωμαίοις σχεδὸν ἡ αὐτὴ ἠθῶν σκληρότης τε καὶ τραχύτης ἥπερ τοῖς Λακεδαιμονίοις ἐγένετο. — Ἡ σύγκλητος τὴν αὐτὴν σοφίαν ἐν τοῖς ἔνδον ἐπεδείξατο ἥνπερ ἐν τοῖς ἔξω. — Ἡ Ῥώμη οὐδέποτε ταῖς ἴσαις δυνάμεσιν ἐχρήσατο πρὸς τὸ ἐπιχειρῆσαι αἷς πρὸς τὸ ἀμύνεσθαι.

186ᵉ Exercice.

Tel (*Grammaire*, § 613).

1. Οὐδὲν τῷ τοιούτῳ (ou τοιῷδε) βίῳ ἀλλοτριώτερόν ἐστι τῆς τρυφῆς. — Θαυμαστὸν ἦν τοῦ τοιούτου (ou τοιοῦδε) ἔθνους τὸ στρατιωτικόν. — Τοιαύτη (ou τοιάδε ou αὕτη) ἐγένετο ἡ τοῦ Δημοσθένους τελευτὴ ὃς ὑπὲρ τῆς ἐλευθερίας καὶ ἔζησεν καὶ ἀπέθανεν. — Πρὸς τοιαῦτα (ou τοιάδε) στρατεύματα καὶ τοιοῦτο (ou τοιόνδε) ἐπιτήδευμα οἱ Πέρσαι ἀσθενεῖς ἐγένοντο. — Τοιοῦτον (ou τοιόνδε ou τοῦτον) τὸν τρόπον οὐ μόνον τὰ ἰσχυρότατα πολίσματα, ἀλλὰ καὶ αἱ μέγισται βασίλειαι ἀπολώλασιν. — Οὐ τοιοῦτός (ou τοιόσδε) ἐστιν ὁ Τίγρις ὃς μικρὸς ὢν κατ' ἀρχὰς πολλὰ ῥεύματα δέχεται. — Τοιαύτη (ou τοιάδε ou αὕτη) ἦν ἡ μεγάλη λίμνη ἡ Μοῖρις ὀνομαζομένη. — Τοιαύτη (ou τοιάδε) ἐστὶν ἡ τῶν νικητῶν δόξα, σώρευμά τι ἀδιάκριτον προσποιήτων τε ἀρετῶν καὶ λαμπρῶν κακιῶν πρὸς ὃ καὶ σεβαστικῶς ἔχουσιν οἱ πολλοὶ καὶ ἐνίοτε δὴ ἐπτόηνται καὶ οἱ σοφοί. — Πρὸς τὰ τοιαῦτα (ou τοιάδε ou ταῦτα) τὰ ὅπλα ἄχρηστός ἐστιν ἡ ἀνδρεία. — Τοιαύταις (ou τοιαῖσδε ou ταύταις ταῖς) τέχναις ἐκράτησεν σὺν χρόνῳ ὁ φθόνος. — Οἱ Ῥωμαῖοι ὁρῶντες τὰς τῶν Φράγγων γυναῖκας τὰ μὲν νήπια τέκνα αὐτοχειρὶ ἀπαγχούσας εἶτα δὲ ἑαυτὰς παιούσας, τὴν τοιαύτην (ou τοιάνδε ou ταύτην τὴν) ἀπήνειαν ἐξεπλήττοντο. — Ἔνιοι μὲν τῆς τῶν ἄλλων δόξης καταφρονεῖν δοκοῦσι· τοιοῦτοι (ou τοιοίδε) δὲ ἄνθρωποι διὰ τοῦτο μόνον καταφρονοῦσι τῶν πλησίον ὅτι ἐφ' ἑαυτοῖς μέγα φρονοῦσι. — Τοιαῦταί (ou τοιαίδε) εἰσιν αἱ ἀρεταὶ πρὸς ἃς ἐπτόηνται οἱ πλεῖστοι τῶν ἀνθρώπων, κεχρωσμέναι τινὲς κακίαι.

2. Οἱ Αἰγύπτιοι τοιούτοις (ou τοιοῖσδε) τοῖς τέρασιν ἐκπεπληγμένοι τὸν Μωϋσῆν ἐν τοῖς μεγίστοις μάγοις ἐτεθείκεισαν. — Οὐδέποτε τοι-

οὕτο (ou τοιόνδε) τὸ ἀδίκημα ἀζήμιον ἐγένετ' ἄν, ὅτε τοὺς νόμους ἔτι ᾐδοῦντο. — Τοιαύταις (ou τοιαῖσδε ou ταύταις) ταῖς μελέταις οἱ τῶν Ῥωμαίων νέοι οἱ τὰ δημόσια πράττειν μέλλοντες εἰς τοὺς τῆς ἀγορᾶς ἀγῶνας παρεσκευάζοντο. — Τοῖς μὲν ἄλλοις ἔθνεσιν ἔξεστι χρῆσθαι στρατηγήμασι καὶ δόλοις, οἱ δὲ Λακεδαιμόνιοι αἰσχύνοιντ' ἂν τοιούτοις (ou τοιοῖσδε) τοῖς τρόποις νικῶντες (ou νενικηκότες). — Πρὸ Νέρωνος καὶ Κομμόδου καὶ Ἡλιογαβάλου οἱ ἄνθρωποι τοιαύτην (ou τοιάνδε) ἀπήνειαν καὶ τοιαύτας (ou τοιάσδε) μωρίας οὐδ' ὑπενόησαν. — Οἱ Ἀθηναῖοι ἀναριθμήτους ἀνδριάντας τῷ Δημητρίῳ ἔστησαν· τοιαύτης (ou τοιᾶσδε) δὲ τῆς ἀγενείας τὸν δῆμον θαυμάζομεν οὗπερ οἱ πρόγονοι καλῶς ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠμύναντο. — Τοιαῦται (ou τοιαίδε) μὲν οὐκ εἰσὶν αἱ ἀνθρώπου ἐν ἀγρῷ ζῶντος ἡδοναί· ἄλλαι δὲ ὑπάρχουσιν αὐτῷ, καθαρώτεραι δὴ καὶ εὐτελέστεραι. — Καλιγούλας κατὰ τὸ δοκοῦν τοὺς ἐπιφανεστάτους τῶν ἀνδρῶν ἀπέκτεινεν ὥστε Μάριος καὶ αὐτὸς ὁ Σύλλας θαυμάσαιεν ἂν τοιαύτην (ou τοιάνδε) τὴν ἀπήνειαν.

137ᵉ Exercice.

Tel que (*Grammaire*, § 614).

1. Οὐ τοιούτους ἐγέννησεν ἡ Περσὶς ποιητὰς οἵους Ὅμηρον καὶ Αἴσχυλον καὶ Ἀριστοφάνην, οὔτε συγγραφεῖς οἵους Ἡρόδοτον καὶ Θουκυδίδην, οὔτε ῥήτορας οἵους Αἰσχίνην καὶ Δημοσθένην, οὔτε φιλοσόφους οἵους Πλάτωνα καὶ Ἀριστοτέλην, οὔτε στρατηγοὺς οἵους Μιλτιάδην καὶ Θεμιστοκλέα καὶ Λύσανδρον καὶ Ἀγησίλαον καὶ Ἀλέξανδρον. — Ἀνταγωνισταὶ τοιοῦτοι οἷοι (ou ἀνταγωνισταὶ οἷοι) Φλαμίνιος καὶ Βάῤῥων οὐκ ἄξιοι ἦσαν Ἀννίβου. — Καμβύσου τοῖς Αἰθίοψι δῶρα ἀποστείλαντος τοιαῦτα οἷα (ou ἀποστείλαντος οἷα) οἱ Πέρσαι ἐδίδοσαν, πορφύραν δηλαδὴ καὶ ψέλλια χρυσᾶ καὶ ἀρώματα, ἐκεῖνοι τούτων τῶν δώρων κατεγέλασαν. — Τοῖς πλείστοις τῶν ἀνθρώπων ὁ χρόνος ἐστὶ φορτίον οἷον μεῖζον ἢ κατὰ δύναμιν φέρειν. — Τάχιστα δὴ παρελεύσεται οὗτος ὁ βίος· οἰχήσεται γὰρ οἷα χειμερίνη τις ἡμέρα ἐν ᾗ ὁ ὄρθρος καὶ ἡ ἑσπέρα προσέχουσιν ἀλλήλοις. — Οὐ δεῖ πιστεύειν τοιούτους εἶναι τοὺς Σπαρτιάτας οἵους ἡμῖν ἀπεικάζουσιν οἱ τῶν Λακεδαίμονι ἐχθρῶν ἐθνῶν συγγραφεῖς. — Τὰ ἀληθῆ τοὺς πάντας καταθέλγει τοὺς αὐτὰ ὁρῶντας τοιαῦτα οἷά (ou ὁρῶντας οἷά) ἐστιν. — Οἱ ἄνθρωποι οἱ περιπαθῶς ἔχοντες, φύσει, οἷοι παῖδες καὶ νοσοῦντες, κεναῖς ἐλπίσι βουκολοῦνται. — Ὁ μὲν ποιητὴς τὰ πράγματα λέγει τοιαῦτα οἷα (ou λέγει οἷα) ἐννοεῖ, ὁ δὲ συγγραφεὺς διηγεῖται αὐτὰ τοιαῦτα οἷα (ou διηγεῖται οἷα) ἐγένετο. — Τοιοῦτοί εἰσιν οἱ πλεῖστοι τῶν ἀνθρώπων οἵους οἱ καιροὶ ἀποφαίνουσιν.

2. Κλέων ἦν τις τῶν ὀδηγῶν οἵοις ἐντυγχάνομεν ἐν πάσαις ταῖς τῆς

Ἑλλάδος πόλεσιν ὧν τὰ μνημεῖα ἐπάγεται τοὺς ξένους ἰδεῖν ἐπιθυμοῦντας. — Ὁ Πολύγνωτος τὴν Ὀδυσσέως εἰς Ἅδου (ou τὸν Ἅδην) κατάβασιν ἔγραψε τοιαύτην οἵαν (ou ἔγραψεν οἵαν) Ὅμηρος καὶ ἄλλοι ποιηταὶ ἐμυθολόγησαν. — Οὐ τοιαῦτα ἦν τὰ τῶν Περσῶν ἤθη οἷα ἡμῖν ὁ Ξενοφῶν διηγήσατο, ἢ τάχιστά γε διεφθάρη. — Εἰκὸς ἦν τοὺς ἐφόρους φοβεῖσθαι μὴ τοιούτου ἀνδρὸς ὁ θάνατος, οἷος ἦν ὁ Παυσανίας, ταραχήν τινα ἐν πόλει ποιήσῃ. — Οἷος λέων τις Νομαδικὸς μάλα λιμώττων εἰς ἀσθενῶν οἰῶν ποίμνιον εἰσβάλλει, τοιοῦτος ὁ Αἴας καὶ σπαράσσει καὶ σφάζει καὶ ῥεῖ αἵματι. — Ἔφηβος οὗτος ὁ βασιλεὺς ἐκ γιγάντων γεγονώς, τοιούτου οἷος ἐγὼ ἀνταγωνιστοῦ κατεφρόνει. — Τοιαῦταί εἰσιν αἱ ἀνθρώπιναι τιμαὶ οἷαι αἱ ἐκ σάπωνος πομφόλυγες τῷ ἐλαχίστῳ πνεύματι ῥηγνύμεναι. — Ὦ κάθαρμα, εἶπε τύραννός τις τῶν συκοφαντῶν τινί, σὲ ἀποκτείναιμι ἄν, εἰ μὴ μιαρῶν τοιούτων οἷος (ou μιαρῶν οἷος) σὺ εἶ, χρείαν εἶχον οἱ δεσπόζοντες.

128ᵉ Exercice.

Suite de *tel que* (*Grammaire*, § 614, *Remarque*).

1. Οἱ Ἕλληνες τοιαύτην πίστιν τῷ ἐν Δελφοῖς μαντείῳ νέμουσιν ὥστε ἀμφίβολόν τι παρὰ τῆς Πυθίας ῥῆμα πολέμους ὀλεθρίους κινῆσαι καὶ ὅλας βασιλείας ἐκπορθῆσαι. — Τοιαύτη ἦν ἡ τοῦ Ἀγησιλάου φιλοτιμία ὥστε οὐ δυνάμενον βίον ἥσυχον καὶ ἄδοξον τελευτὴν ἀγαπᾶν εἰς τὴν Αἴγυπτον ἐκπλεῦσαι ὀγδοήκοντα ἔτη γεγονότα, τῷ Τάχῳ ἀπὸ τῶν Περσῶν ἀποστάντι βοηθήσοντα. — Ὁ δεισιδαίμων τοιοῦτός ἐστιν οἷος ὅταν γαλῆν ἴδῃ τὴν ὁδὸν διατρέχουσαν, ἐξαίφνης ἑστηκέναι καὶ μὴ πορρωτέρω πορεύεσθαι. — Οἱ παλαιοὶ διὰ τοιαύτης αἰδοῦς τὸ θεῖον ἦγον ὥστε οὐκ ἐξεῖναι παρὰ τὰς ἑορτὰς τῶν πρότερον ἀδικηθέντων δίκην λαμβάνειν. — Οἱ πρὸς τὰς ἀνατολὰς ἄνθρωποι διὰ τοιούτου σεβασμοῦ τοὺς βασιλεῖς εἶχον ὥστε σχεδὸν ὡς θεοὺς τιμῆσαι. — Τοιοῦτοι τὴν κουφότητα ἦσαν οἱ Ἀθηναῖοι ὥστε μικρῷ τινὶ συντυχήματι ἀπὸ τῶν σπουδαιοτάτων πραγμάτων παρατρέπεσθαι. — Τοιαῦταί εἰσιν αἱ πλεῖσται τῶν ἐπιθυμιῶν ὥστε φαίνεσθαι οὐ τολμῶσαι τὸ φῶς ἀποφεύγειν. — Τοιαύτη ἐστὶν ἡ τύχη οἵα ἡμ.. ἐμπαίζειν καὶ ὅταν δὴ μάλιστα πρὸς ἡμᾶς δαψιλεύηται. — Ἀλέξανδρος τὸν Δαρεῖον τοιαύτῃ ταχύτητι ἐδίωξεν ὥστε ἐν ἡμέραις ἕνδεκα ἱππάσασθαι τριακόσια στάδια πρὸς τοῖς τρισχιλίοις. — Οἱ ἄνθρωποι τοιοῦτοί εἰσιν οἷοι οὐ φιλεῖν τὰς κακίας τάς γε οὐδὲν ἄλλο οὔσας ἢ κακίας.

2. Ἰχθῦς τινὲς τοιαύτῃ ταχύτητι κινοῦνται ὥστε ὀφθῆναι ναῦσί τρόπον τινὰ ἀκολουθοῦντες εὐρέα πελάγη διαπερώσαις, καὶ ἐξ ἠπείρου εἰς ἑτέραν ἤπειρον αὐτὰς παραπέμποντες. — Τοσαῦτα χρήματα ἐν αὑτῇ ἐγκεκλεισμένα ἔχει ἡ γῆ ὥστε καὶ μετὰ τοσοῦτον χρόνον τοὺς ἀνθρώπους ἄλλα

καθ' ἡμέραν εὑρίσκειν. — Μέγας τις τῶν ἡμετέρων ῥητόρων φησὶ τοιοῦτον φύσει τὸν ἄνθρωπον οἷον μάλιστα πάντων ἅμα καὶ ὁμιλητικὸν καὶ ἀνομίλητον εἶναι. — Ὁ ἀγροῖκος τοιοῦτός τις οἷος ἀεὶ μεγάλῃ τῇ φωνῇ φθέγγεσθαι ὥστε ὑπὸ πάντων ἀκουσθῆναι. — Τοιοῦτος ἦν ὁ Κράσσος οἷος ἐνίοτε πολλὰ μὲν πρὸς τὴν ἐπίδειξιν δαπανᾶν προετικῶς, δαπανήσας δὲ ὑπὸ μικρολογίας μετανοῆσαι. — Οἱ περὶ Ἀλέξανδρον τοιαύτην χλιδὴν ἐπέδειξαν ὥστε οὐδὲν ἐκείνων τῶν τρυφερῶν σατραπῶν διενεγκεῖν ὧν τέως κατεφρόνησαν. — Οἱ θνητοὶ οἱ ἐν τοῖς Ἠλυσίοις πεδίοις οἰκοῦντες τοιαύτης εἰρήνης καὶ εὐδαιμονίας ἀπολαύουσιν ὥστε μάλιστ' ἂν ἀχθεσθῆναι, εἰ ἠναγκάζοντο ἐπὶ γῆν πρὸς τοὺς ἀνθρώπους ἐπανελθεῖν. — Ἡ τύχη τοιαύτῃ ταχύτητι παρέρχεται ὥστε τοὺς πάλαι εἰκάσαι αὐτὴν ἑτέρῳ ποδὶ ἐπὶ τροχοῦ βεβηκυῖαν. — Τοιαύτη ἐστὶν ἡ εὐεργεσία οἵα οὐ δεῖσθαι τῆς εὐχαριστίας· αὐτὴ γὰρ ἑαυτῇ μισθὸς ὑπάρχει.

129e Exercice.

Tel répété (*Grammaire*, § 615).

1. Οἷος (ou ὁποῖος) ὁ τῶν ζώων βίος, τοιοῦτος (ou τοιόσδε) καὶ ὁ τῶν φυτῶν. — Οἷα (ou ὁποῖα) τὰ τῆς ἠγριωμένης θαλάσσης κύματα, τοιαῦταί (ou τοιαίδε) εἰσιν αἱ ἐπιθυμίαι αἱ τὰς τῶν ἀνθρώπων ψυχὰς ταράσσουσαι. — Οἷα (ou ὁποῖα) τὰ ἤθη, τοιοῦτοι (ou τοιοίδε) καὶ οἱ λόγοι εἰσὶ τῶν ἀνθρώπων. — Οἵα (ou ὁποία) ψυχὴ ἐν σώματι, τοιοῦτος (ou τοιόσδε) στρατηγὸς ἐν στρατεύματι. — Οἷος (ou ὁποῖος) ὁ κεραυνὸς ὁ τὸν ἀέρα καθαίρων, τοιαύτη (ou τοιάδε) ἡ κόλασις ἡ τὰς ψυχὰς καθαίρουσα. — Οἷαί (ou ὁποῖαί) εἰσιν αἱ μέλισσαι ἐκ πάντων τῶν ἀνθέων πρὸς τὴν τοῦ μέλιτος ἐργασίαν λῃζόμεναι, τοιοῦτοι (ou τοιοίδε) οἱ τὸν νοῦν φιλόσπουδοι, ἔνθα καὶ ἔνθα ἐκ πάντων τῶν συγγραφέων λαμβάνοντες ὅσα βέλτιστα ἔχουσιν. — Οἵα (ou ὁποία) ἦν ἡ φωτεινὴ κίων ἡ νυκτὸς τοῖς Ἑβραίοις διὰ τῆς ἐρήμου ἡγουμένη, τοιαύτη (ou τοιάδε) ἐστὶν ἡμῖν ἡ ἀλήθεια. — Οἷος (ou ὁποῖος) ἵππος τρέχων, κύων ἰχνεύων, ἀράχνη ὑφαίνουσα, ἄμπελος βότρυν φέρουσα, τοιοῦτος (ou τοιόσδε) καὶ ὁ ἀγαθὸς ἀνὴρ ποιῶν τὸ προσῆκον. — Οἷός (ou ὁποῖός) ἐστιν ὁ καπνὸς εἰς τὸν ἀέρα διασκεδαννύμενος, τοιαῦτα (ou τοιάδε) ἦν τὰ εἴδωλα ἅπερ ἐμοῦ πλησιάζοντος ᾤχετο.

2. Οἷος (ou ὁποῖος) ἡμῖν δοκεῖ εἶναι μυρμήκων ὄχλος, τοιαῦτα (ou τοιάδε) τοῖς ἀθανάτοις θεοῖς τὰ ἡμῶν στρατεύματα τὰ πολυανθρωπότατα. — Οἷος (ou ὁποῖος) ἄνθρωπος ὁ τὰ χρήματα ἐκ γενεᾶς παραληφθέντα ὑπερβαλλούσαις δαπάναις διασκορπίσας, τοιαύτη (ou τοιάδε) ἡ ψυχή ἐστιν ἡ τοῖς δώροις οἷς παρὰ τοῦ θεοῦ ἔλαβε κακῶς χρησαμένη. — Οἷα (ou ὁποῖα) τὰ ὄρνιθος πτερά, τοιαύτη (ou τοιάδε) ἡ ἐλπὶς ἥ με πολλῷ

πέραν τοῦ παρόντος φέρουσα. — Οἷος (ou ὁποῖος) δεσμώτης ἐστὶν ἐν στενῷ δεσμωτηρίῳ εἰργόμενος, τοιοῦτος (ou τοιόσδε) βασιλεὺς ὅστις οὐδέποτε μὲν πορεύεται εἰ μὴ δορυφορούμενος, τοῖς δὲ πολίταις οὐ τολμᾷ πιστεύειν. — Οἷοί (ou ὁποῖοί) εἰσιν ἡμῖν οἱ τιμιώτατοι χλιδῶνες καὶ πολυτελέστατοι ἀδάμαντες, τοιαῦτα (ou τοιάδε) τούτοις τοῖς πενιχροῖς ἔθνεσιν ἄγματά τινα ὑάλου ἢ σπάραγμά τι κοκκίνου ἱματίου. — Οἵα (ou ὁποία) ἐστὶν ἡ τῶν μεγίστων ποταμῶν ἀρχὴ ὧν τὴν πηγὴν μόλις γιγνώσκομεν, τοιαύτη (ou τοιάδε) ἡ τῶν δυνατωτάτων βασιλειῶν. — Οἷά (ou ὁποῖά) ἐστι τὰ τῶν ἑρπετῶν ἰοβόλα ἅτινα ὑπὸ πόᾳ κρυφθέντα ἡμᾶς καιρίως πλήσσει λαθόντα, τοιοῦτοι (ou τοιοίδε) οἱ διάβολοί τε ἄνθρωποι καὶ οἱ συκοφάνται. — Οἷοί (ou ὁποῖοί) εἰσιν οἵτινες ὄρνιθες ἀφ' ἡμῶν ἐπιγιγνομένου χειμῶνος ἀφίπτανται, τοιοῦτοι (ou τοιοίδε) οἱ ψευδεῖς τῶν φίλων οἳ ἡμᾶς προσπιπτούσης ἀτυχίας καταλείπουσιν.

140e Exercice.

Tel, un tel, tel ou tel (*Grammaire*, § 616).

1. Μὴ νομίσητε τὴν τῶν ἀνθρώπων εὐδαιμονίαν ἀπὸ τοῦ καὶ τοῦ δόγματος, μήτε τὴν τῶν πόλεων εὐτυχίαν ἀπὸ τοῦ καὶ τοῦ πολιτείας εἴδους ἠρτῆσθαι. — Οὐκ ἀρκεῖ τὸν τεχνίτην τὸ καὶ τὸ ἀνθρωπίνου σώματος μέρος εὖ γράφειν. — Πάντα τὸ ὅλον εἰπεῖν τὰ ἔθνη ἐνόμισαν τὰ καὶ τὰ χρώματα ὀδύνης ἢ χαρᾶς εἶναι σημεῖα. — Ὁ νόμος οὐχ ἕνεκα μὲν τοῦ δεῖνος ἢ (ou καὶ) τοῦ δεῖνος πεποίηται· πᾶσι δέ ἐστιν ὁ αὐτός. — Εἰ τὸ καὶ τὸ τῶν δεόντων παραλείπομεν, τελευτῶντες παραλείψομεν πάντα. — Τὰ μὲν πλεῖστα ζῶα πεποίηται ὥστε ἐν τῇ καὶ τῇ χώρᾳ ζῆν· μόνος δὲ ὁ ἄνθρωπος ἐν πάσαις ταῖς τῆς οἰκουμένης ζῆν δύναται. — Δεῖ τοὺς ἀθλητὰς τούς γε περὶ τοῦ πεντάθλου ἀγωνιζομένους οὐ μόνον ἐν τῷ καὶ τῷ γυμνάσματι προέχειν, ἀλλὰ καὶ τρεῖς ἀγῶνας ἑξῆς νικῆσαι. — Ἴσως ἔθνη μέν τινα τῶν Ῥωμαίων τῷ καὶ τῷ τῶν πολεμικῶν διέφερον· οὐδὲν δὲ ἀνδρείᾳ καὶ εὐταξίᾳ ὑπερέβαλεν αὐτούς.

2. Οὐκέτι μὲν τὸ δεῖνα ἢ (ou καὶ) τὸ δεῖνα ἔθνος εἰς τὴν τῶν Ῥωμαίων ἀρχὴν εἰσέβαλλε, πάντες δὲ οἱ βάρβαροι πανταχόθεν ἐπὶ ταύτας τὰς χώρας οὐ φυλασσομένας εἰσέπιπτον. — Οὐ μὲν ἀρκεῖ λέγειν· Οἱ δεῖνες ἢ (ou καὶ) οἱ δεῖνές μοι τοῦτ' ἔλεξαν· τοῦτο οἱ δεῖνες ἢ (ou καὶ) οἱ δεῖνές μοι ἐπιμαρτυροῦσιν· δεῖ δὲ ἐλέγχειν ἃ ἐμοῦ κατηγορεῖς. — Οἱ Ἀθηναῖοι οὔτε πόλεμον οὔτ' εἰρήνην ἕνεκα μὲν τῆς καὶ τῆς αἰτίας ποιοῦνται, τὸ δὲ πλεῖστον τῇ τοῦ δεῖνος ἢ (ou καὶ) δεῖνος ῥήτορος δεινότητι προαγόμενοι. — Τὸν βίον ἀπευθύνετε μὴ κατὰ τὰ τῷ δεῖνι ἢ (ou καὶ) δεῖνι φιλοσόφῳ δοκοῦντα, ἀλλὰ καθ' ἃ καλῶς ἔχειν συνοίδατε. — Οὐ δὴ τὸ ὑποκριτὰς καὶ χοροὺς διδάσκειν τε καὶ ἄγειν τῷ δεῖνι ἢ (ou καὶ) τῷ δεῖνι ἐπέτρε-

πετο· πολλάκις γὰρ ἐκ τῆς τοῦ διδάσκοντος ἐμπειρίας τὸ τοῦ δράματος κατόρθωμα ἤρτητο. — Κυβερνήτης μὲν φρόνιμος τὸ καὶ τὸ ἱστίον ἀναπετάννυσιν ὅπως ἂν πνέῃ ὁ ἄνεμος· γεωργὸς δὲ χρηστὸς τὸ καὶ τὸ σπέρμα σπεῖρει κατὰ τὴν τῆς γῆς φύσιν.

141e Exercice.

Suite de *tel*, *un tel*, *tel ou tel* (*Grammaire*, § 616, *Remarques*).

Οἱ κύνες τῇ φωνῇ σημαίνουσιν ὅτι τὸν δεῖνα θῆρα διώκουσιν. — Οἱ μὲν Ἕλληνες, μάλιστα δὲ οἱ Ἀθηναῖοι τῷ δεῖνι δαίμονι καὶ τὰ ἐλαχίστου ἄξια πράγματα ἀναφέρουσιν. — Ὁ ἀνὴρ μὴ τῆς καὶ τῆς ἐπιθυμίας κρατεῖν δυνάμενος, στρατιώτῃ ὅμοιός ἐστιν ὃς ἐναντίον τοῦ δεῖνος πολεμίου φεύγοι ἄν, πρὸς πάντας τοὺς ἄλλους ἀνδρεῖος ὤν. — Μὴ νομίσητε ἀδιάφορον εἶναι τὰ καὶ τὰ λέγειν ἐναντίον τῶν παίδων. — Ὁ δεῖνα παῖς θανάτῳ παρὰ τοῖς Ἀθηναίοις ἐζημιώθη ὡς χρυσοῦν πέταλον ἐκ τοῦ τῆς Ἀρτέμιδος στεφάνου ἀνελών. — Τὸν μὲν δεῖνα λέγεις οὔτε πίστιν οὔτ' ἀρετὴν ἔχειν· τῆς δὲ αὐτοῦ φιλίας ἀντιποιῇ ὅτι πλούσιός ἐστι. — Σύλλας τὸν δεῖνα προὔγραφεν οὐχ ὅτι φοβερὸς ἦν ἀλλ' ὅτι πλούσιος.

142e Exercice.

Suite de *tel*, *un tel*, *tel ou tel* (*Grammaire*, § 616, *Remarques*).

1. Εἰσὶ μέν τινες οἳ ἐπιθυμητικῶς τὰς δημοσίας λειτουργίας μετέρχονται, ἄλλοι δὲ οἳ μόνον τῇ σχολῇ καὶ τῇ ἡδείᾳ τοῦ ἰδιωτικοῦ βίου ἀπραγίᾳ ἥδονται. — Εἰσί τινες οἳ ἀεὶ διὰ στόματος τὴν πίστιν ἔχοντες μόνον σπουδάζουσιν ὅπως τοὺς ἄλλους ἀπατήσουσιν. — Εἰσί τινες οἳ τοὺς μεγάλους τῶν πάλαι χρόνων ἄνδρας γιγνώσκοντες οὐδὲ τὰ ὀνόματα τῶν μεγάλων πολιτῶν ἴσασιν δι' ὧν ἡ πατρὶς αὐτῶν ἐπιφανὴς ἐγένετο. — Εἰσί τινες ῥύακες πυρὸς οἳ τὸ νῦν ἀπεσβηκότες ἴσως ποτὲ ἀναφλεχθήσονται. — Εἰσί τινες πόλεις πάλαι ἀκμάζουσαι ὧν νῦν καὶ τὸ χωρίον ὅ τι ἐστὶν ἀγνοοῦμεν. — Εἰσί τινες ἐπὶ τῇ καχεξίᾳ ὀδυρόμενοι οἳ πολλάκις τὴν ὑγίειαν τῇ ἀκρασίᾳ ἑαυτῶν διέφθειραν. — Εἰσί τινες οἳ μόνον παρόντες τὸν μαινόμενον ὄχλον κατηρεμίζουσι καὶ καταπραΰνουσιν. — Ἔστιν οἷς μὲν πάντα εὐτυχῶς ἀποβαίνει, ἄλλοις δὲ κατὰ πάντα ἡ τύχη δοκεῖ ὡς ἐπίτηδες ἐναντιοῦσθαι. — Εἰσί τινες οἳ σήμερον μὲν τῆς σου ψήφου δέονται, αὔριον δέ σε οὐ γνώσονται, στρατηγοὶ ἢ ὕπατοι ἀποδεδειγμένοι.

2. Εἰσί τινες στρατείας διατιθέμενοι, καὶ στρατεύματα παρατάσσοντες, καὶ πόλεις κατὰ κράτος αἱροῦντες οἳ οὔποτε ὅπλισμα ἐνεδύσαντο οὔτε τὸν ἐκ στρατοπέδου πολεμίου καπνὸν κατεῖδον. — Εἰσί τινες τῶν ἵππων, οἷον ὁ πολύφημος Βουκέφαλος, οἳ πρὸς τὴν τῆς σκιᾶς ἑαυτῶν ὄψιν ἐθίζεσθαι οὐ

δύνανται. — Τῶν Ἀράβων φυλαί εἰσιν αἳ γεωργοῦσι καὶ σχεδὸν τὸν αὐτὸν βίον ζῶσι τοῖς ἄλλοις τὴν Συρίαν κατοικοῦσιν. — Ἔστι τινὰ τῶν σαρκοφάγων θηρία ἅπερ ὅλας ἡμέρας ἀκίνητα μένει τὴν λείαν παρατηροῦντα. — Εἰσί τινες σήμερον τῶν θεῶν καταγελῶντες οἳ αὔριον τῆς ὀργῆς αὐτῶν αἰσθήσονται καὶ τῆς ἐπιεικείας δεήσονται ὑφειμένοι. — Εἰσί τινες τῶν Ἑλλήνων ἢ Λατίνων συγγραφέων οἳ ἐπεὶ ἐπὶ πολὺ ἐνομίσθησαν οὐ σώζεσθαι, κατὰ τὴν πεντεκαιδεκάτην καὶ ἑκκαιδεκάτην ἑκατονταετίαν ἀνευρέθησαν. — Εἰσὶν οἳ ἐπὶ τοῖς προγόνοις σεμνυνόμενοι ἀτιμοῦσιν αὐτούς. — Εἰσὶ λιμένες εἰς οὓς πάλαι αἱ πάντων τῶν ἐθνῶν ναῦς προσωρμίζοντο, νῦν δὲ σχεδὸν παντελῶς τῇ ψάμμῳ κεχωσμένοι καὶ μόλις ἔνια ἁλιέων σκαφίδια εὐτελῆ δεχόμενοι.

143ᵉ Exercice.

Quel exclamatif (*Grammaire*, § 617).

1. Οἷός ἐστιν ἀρχιτέκτων ὁ οἰκοδόμημα οἰκοδομήσας οὕτω κατὰ τὰ πάντα μέρη τέλειον. — Οἵαν ὄψιν ἡ γῆ πάσῃ τῇ ἥβῃ λάμπουσα τοῖς πρῶτον ἐνοικοῦσι παρέσχεν. — Οἴμοι, ἐξ ὅσου μὲν κινδύνου αὐτὸν ῥύεσθαι ἠδυνήθην, εἰς ὅσον δὲ αὖθις πίπτειν μέλλει. — Οἷος πατήρ ἐστιν καὶ φιλόστοργος καὶ σπουδαῖος ὃς οὕτως ἡμῖν πάντα τὰ ἐπιτήδεια ἐχορήγησεν. — Οἵαν τοῦ θεοῦ ἔννοιαν ἔχουσιν οἱ φιλόσοφοι οἵτινες βασιλεῖ αὐτὸν εἰκάζουσιν ἐν τοῖς ἀβάτοις τῶν βασιλείων οἰκήμασι καθειργμένῳ καὶ ὑποδεεστέροις ὑπουργοῖς τὴν ἀρχὴν διοικεῖν ἐπιτρέποντι. — Οἵοις τεχνήμασιν οἱ κακοὶ τοὺς βελτίστους βασιλεῖς περιέρχονται. — Οἷαι θύελλαι τὰ ἄπειρα πελάγη κινοῦσιν ὅπου οὐδὲν τῶν ἀνέμων τὴν βίαν ἐμποδίζει. — Ὅσοις κακοῖς προβάλλει ἡμᾶς τὸ μακρὸν γῆρας. — Οἵαν χαρὰν Πομπήϊος ἐκ τῶν τριῶν θριάμβων καὶ τῶν τριῶν ὑπατειῶν καὶ τῆς τῶν καλῶν πράξεων δόξης λάβοι ἄν, εἰ ᾔδει ἑαυτὸν ἐν ἀκτῇ ἐρήμῳ τῆς Αἰγύπτου δολοφονηθέντα ἀποθανεῖσθαι.

2. Οἷος γένοιτο ἂν τῷ Πριάμῳ βίος, εἰ ᾔδει ἐκ νέων ὅσα κακὰ πάσχειν ἔμελλε γέρων. — Οἷαι ἀπειλαὶ τὸν ἄνδρα ἐκπλήσσοιεν ἂν τὸν θάνατον μὴ φοβούμενον. — Οἵους γονεῖς ἡμᾶς ἀφεῖλεν ἡ ἀνηλεὴς τύχη. — Οἷοι τεχνῖται ἦσαν ἐκεῖνος ὁ Φειδίας, ἐκεῖνός τε ὁ Πολύγνωτος, οἳ δὴ δοκοῦσι τὴν τέχνην εὐθὺς εἰς τὸ ἄκρον προαγαγεῖν. — Οἷοι ἄνδρες ἦσαν οἱ Αἰγύπτιοι ἐκεῖνοι ὧν τὰ μνημεῖα καὶ μετὰ τοσοῦτον χρόνον ἔτι νῦν διαμένει. — Ὅσην μὲν φρόνησιν καὶ σοφίαν ἐν τῷ βουλεύεσθαι, ὅσην δὲ ἐν τῷ μάχεσθαι ἀνδρείαν καὶ τόλμαν ἐπεδείκνυ ὁ Ῥωμαίων δῆμος. — Οἵοις πόνοις, οἵαις μερίμναις, οἵοις ἔργοις ἀνελευθέροις τε καὶ ἀνάνδροις οἱ ἄνθρωποι ἃς ὀνομάζουσι τιμὰς ὠνοῦνται. — Οἵᾳ ἐλευθερίᾳ χρῶνται οἱ μέγα δυνάμενοι ὧν πάντα τὰ ἔργα καὶ πάντα τὰ κινήματα οἱ πολλοὶ κατασκοποῦσιν.

144e Exercice.

Suite de *quel* exclamatif.

1. Ὅσης σπουδῆς δεῖται ὁ ἄνθρωπος ὥστε τὸ σῶμα ἀπὸ τῆς ψυχῆς διαγιγνώσκειν. — Οἷοι κρότοι ἐγένοντο ὅτε Αὔγουστος εἰς τὸ θέατρον πάλιν ἦλθε μετὰ μακρὰν νόσον. — Οἵα ἐστὶν αὕτη ἡ θεοσέβεια δι' ἧς οἱ ἀθενέστατοι καὶ τὰς δεινοτάτας βασάνους δύνανται ὑπομένειν καὶ τῆς τῶν δημίων ὠμότητος καταφρονεῖν. — Οἵα μεταβολὴ γίγνεται ἐν ταῖς κάλλιστα πολιτευομέναις πόλεσιν, ἐπειδὴ τάχιστα τὸ τρυφερὸν καὶ τὸ φιλόπλουτον ἀντὶ τῆς ἁπλότητος εἰσέβη. — Ὅση ἀγωνίᾳ οἱ πλεῖστοι τῶν ἀνθρώπων συνεῖεν ἄν, εἰ τὰ εἰς τὸ ὕστερον εἱμαρμένα αὐτοῖς προορᾶν ἠδύναντο. — Ὅσην ἀθυμίαν καὶ μικροψυχίαν ὁ Κικέρων φυγὰς παρεδήλου ὁ μέντοι ἀληθῆ ἀνδρείαν κατὰ τὴν ὑπατείαν ἐπιδειξάμενος. — Οἵαν μεγαλοφροσύνην καὶ φιλοπατρίαν τοῖς Ἕλλησιν εἰκός ἐστιν ἐμποιῆσαι δράματα τοιαῦτα οἷόν εἰσιν οἱ τοῦ Αἰσχύλου Πέρσαι.

2. Μεθ' οἵου πάθους, οἵας φροντίδος τῷ Ὀδυσσεῖ καὶ κινδύνοις κινδυνεύοντι καὶ χειμαζομένῳ ἀκολουθοῦμεν, ὅτε ἐν τῇ θαλάσσῃ καταχειμάζουσιν Ἀφροδίτη τε καὶ Ποσειδῶν χολωθέντες. — Εἰς ὅσην ἀθυμίαν ἡ μὲν τῶν οἰωνῶν πτῆσις τά τε ἐν τοῖς τῶν ἱερείων σπλάγχνοις φαινόμενα σημεῖα, ἢ ἄλλα τινὰ ἐκ τύχης προσπίπτοντα τοὺς ἐμπειροτάτους στρατιώτας ἐνέβαλλε τοὺς τῷ θανάτῳ ἐν τοσαύταις μάχαις ἀπαντήσαντας. — Μεθ' ὅσης χάριτος καὶ κομψότητος ὁ Λουκιανὸς τοὺς σοφιστὰς καὶ τοὺς φιλοσόφους χλευάζει ἢ μᾶλλον οἳ τοιοῦτοι εἶναι ἐπηγγέλλοντο. — Οἷος ποιητής ἐστιν ὁ τῶν ποιητῶν πατὴρ ὠνομασμένος διότι ἐξ αὐτοῦ πᾶσα ποίησις γεγένηται.

145e Exercice.

Suite de *quel* exclamatif (*Grammaire*, § 617, *Remarque I*).

Ὡς εὐδαίμων ὁ βίος τοῦ ἀνδρὸς τοῦ ἀφιλοτίμου. — Ὡς ζηλωτὴ ἡ τῶν νέων ἀφροντισία. — Ὡς παράδοξα οἱ πρῶτοι ὁδοιπορήσαντες περὶ τῶν χωρῶν διηγοῦντο ἃς ἐπεσκέψαντο. — Ὡς εἰς κομψὰς καὶ ποικίλας μορφὰς τὴν φαυλοτάτην καὶ εὐτελεστάτην ὕλην ὁ ἄνθρωπος ἠπίστατο μεταμορφοῦν. — Ὡς θαυμασίᾳ τάξει ὁ ἥλιος καὶ τὰ ἕτερα ἄστρα περιστρέφονται. — Ὡς θαυμασίᾳ δαψιλείᾳ ἡ γῆ τῶν πόνων χάριν ἡμῖν ἀποδίδωσιν. — Ὡς παράδοξος ἡ τύχη δι' ἧς τὸ μόνον ἀντίγραφον ὅπερ διασέσωσται τῆς Αὐγούστου διαθήκης, τῆς πάλαι ἐν Ῥώμῃ ἐπὶ τῷ ἐκείνου μνήματι ἐγγεγραμμένης, ἐν Ἀγκύρᾳ ὑπὸ τῶν ἐκ Κελτῶν τῶν ἡμετέρων προγόνων γεγονότων ἀνευρέθη. — Ὡς ταπεινωτικὴ δουλεία ἡ ὑπὸ ταῖς ἡμετέραις ἐπιθυμίαις. — Ὡς ταχείαις μεταβολαῖς ἡ ἀρχὴ ἀπὸ μὲν τῶν

Βαβυλωνίων εἰς τοὺς Πέρσας, ἀπὸ δὲ τῶν Περσῶν εἰς τοὺς Μακεδόνας καὶ ἀπὸ Μακεδόνων εἰς τοὺς Ῥωμαίους μετέπεσεν. — Ὡς ψυχεινὰς σκιάς, καὶ ἡδέα ἄγκη καὶ διαυγεῖς πηγὰς αὕτη ἡ τῆς Θεσσαλίας χώρα παρέχει. — Ὡς τερπνῶν ἡδονῶν ἀποστεροῦνται οἱ ἄνθρωποι οἱ τῆς μουσικῆς καὶ τῆς ποιητικῆς ἐμπείρως ἔχοντες. — Ὡς ἀησσήτου ἀδιατρεψίας τῷ Μαρίῳ ἐδέησεν ὥστε εἰς τὰ ἐν τῇ πόλει πρωτεῖα ἐλάσαι. — Ὡς δεινὰς βασάνους οἱ τῶν νομοθετῶν πλεῖστοι εὑρήκασι πρὸς τὸ τοὺς ἀδικοῦντας κολάζειν· ὥστε ἐδόκει ὁ νόμος ἀγριώτερος εἶναι τῶν δίκας διδόντων.

146e Exercice.

Suite de *quel* exclamatif (*Grammaire*, § 617, *Remarque I*).

Ὡς σχετλία ἡ τῶν νικηθέντων παρὰ τοῖς πάλαι τύχη· οὐδὲν γὰρ βέλτιον παρὰ τῆς τῶν νικησάντων ἐπιεικείας ἐλπίζειν ἦν ἢ τὴν δουλείαν. — Ὡς μέγα θάμβος ἐκ τῶν τῆς γῆς ἀνατροπῶν τῶν ἐν ἀρχῇ τοῦ κόσμου γενομένων οἱ θνητοὶ ἐν ταῖς ψυχαῖς ἐφύλαξαν· ὥστε τὸ δέος τοὺς πρώτους θεοὺς ἐποίησεν. — Ὡς λαμπρὰ ἀστέρων πομπὴ τῇ τῶν νυκτῶν δεσποίνῃ ἐν τῇ ὁδῷ ἀκολουθεῖ. — Ὡς περιέργοις στρέβλαις ἐχρῶντο οἱ Ῥωμαῖοι ὥστε τοὺς δούλους τοὺς ἀλιτήματος κρινομένους ἐκβιάζεσθαι τὸ ἀληθὲς ὁμολογῆσαι. — Ὡς εὐπρεπέσιν ὀνόμασιν οἱ ἄνθρωποι τυφλοὶ δὴ ὄντες καὶ ἀπατηλοὶ τὰς μιαρωτάτας κακίας ἐκόσμησαν. — Ὡς θαυμασίᾳ λαμπρότητι ἀπέστιλψαν οἱ Ἑλληνικοὶ λόγοι εἰς τὴν Αἴγυπτον ὑπὸ τῶν Πτολεμαίων μετενεχθέντες. Ὡς δὴ ἀμήχανον πλῆθος ποιητῶν τε καὶ φιλοσόφων τότε ἐπεφάνησαν. — Ὡς ἀνεξαντλήτους τοὺς πόρους ταῦτα τὰ ἔθνη ἐκ τῆς θαλάσσης ἔχει τῆς τὴν ἀκτὴν προσκλυζούσης καὶ οὐ μόνον διὰ τῆς ἁλιείας σῖτον ἄφθονον ποριζούσης αὐτοῖς ἀλλὰ καὶ ἐκ τῶν πασῶν τῆς οἰκουμένης χωρῶν τοὺς καρποὺς προσφερούσης.

147e Exercice.

Suite de *quel* exclamatif (*Grammaire*, § 617, *Remarque II*).

Φθινούσης ἤδη τῆς τῶν Ῥωμαίων ἐλευθερίας οἱ ἀρχὴν παραγγέλλοντες ἐδαπάνων ἄπιστα ὅσα ὥστε τὰς ψήφους ὠνήσασθαι. — Αἱ Ἀθῆναι προσόδους πλείστας ὅσας ἐλάμβανον ἐκ τῶν ὑποτεταγμένων πόλεών τε καὶ νήσων. — Ἤσθετο Ἀννίβας ἀγχινοίᾳ θαυμασίᾳ ὅσῃ ᾗπερ ἡ Ῥώμη ἦν τρωτή. — Οἱ Ῥωμαῖοι τοὺς Σαυνίτας μετὰ πολλοὺς πολέμους μακροὺς τε καὶ ἰσχυροὺς μόγις ἐχειρώσαντο. — Ἡ χελιδὼν νεοττιὰν θαυμασίως ὡς στερεὰν πηλῷ καὶ ἀμμοκονίᾳ ποιεῖται. — Αἱ τοῦ Ἐπαμεινώνδα νῖκαι τοῖς Ἀθηναίοις φθόνον ὅσον ἀγεννῆ ἐνεποίουν. — Τὰ μὲν ἀλλότρια ἁμαρτήματα ἀμέτρως ὡς αὐξάνομεν, τὰ δὲ ἡμέτερα θαυμασίως ὡς ἐλασσοῦμεν. — Ἡ χώρα ἡ πρὸς τὸ τούτου τοῦ ποταμοῦ στόμα κειμένη λιμνώδης μὲν

καὶ εὔγεως, νοσώδης δὲ ὑπερφυῶς ὡς. — Ὁ Καῖσαρ τὰ τῶν ἡμετέρων προγόνων ἤθη μετ' ἀκριβείας ἐκπρεποῦς ὅσης διηγήσατο. — Πάντες οἱ περὶ Δαρεῖον ἀπέθανον πρὸ τοῦ βασίλεως μετ' ἀνδρείας θαυμαστῆς ὅσης μαχόμενοι. — Ἀλεξάνδρῳ εἰς Βαβυλῶνα εἰσιόντι ὄχλος ἀμήχανος ὅσος ἀπήντησεν τὸν νέον δεσπότην γιγνώσκειν ἐπιθυμούντων. — Οἱ Ἀθηναῖοι τῷ τεχνικῷ τοῦ Γοργίου λόγῳ ὑπερφυῶς ὡς ἥδοντο.

148ᵉ Exercice.

Quel interrogatif (*Grammaire*, § 618).

1. Ποίαις μηχαναῖς ἐκεῖνοι οἱ ἄνθρωποι ἠδυνήθησαν φέρειν καὶ ἀλλήλαις ἐπιτιθέναι ταύτας τὰς ὑπερμεγέθεις πέτρας; — Ποία ἀόρατος δύναμις τὰς θυέλλας ἐξ αἰφνιδίου κινεῖ καὶ καταστέλλει; — Περὶ τίνα χρόνον ὁ Σέσωστρις ταύτας τὰς χώρας ἐχειρώσατο δι' οὗ εἰς μακρὸν τὸ κλέος διῆλθεν; — Τίνες τῆς Εὐρώπης χῶραι δοκοῦσιν ᾠκῆσθαι πρῶται; — Τίνες ἔνδοξοι πόλεις κατ' ἐκείνους τοὺς παλαιοὺς χρόνους ᾠκισμέναι εἰσίν; — Ποία δὴ δύναμις πάντα τὰ ἔθνη τῇ αὐτῇ πίστει ζευγνύναι ἠδυνήθη; — Τίνος τεχνίτου ἐστὶν ὁ χαλκοῦς ταῦρος ὃν πρὸ τῆς εἰσόδου τοῦ Ἀπόλλωνος ἐν Δελφοῖς ναοῦ ἰδεῖν ἔστι; — Ποῖος ἄνθρωπος ἴδοι ἂν ἀτάρακτος τὴν Πυθίας ἐπὶ τοῦ τρίποδος ἀναβεβηκυίας μανίαν; — Ποίαν δίοδον ὁ πόντος ὁ ὑπὸ τῶν Ἑλλήνων Εὔξεινος ὀνομασθεὶς πρὸς τοὺς ἄλλους πόντους ἔχει; — Ὦ Ῥωμαῖοι, ποίων στρατευμάτων ἡγήσατο οὗτος ὁ ἀνὴρ ὃν μεγίσταις τιμαῖς τιμᾶτε; Τίνα μὲν ἔθνη ἐνίκησε; τίσι δὲ ἐπαρχίαις τὴν ὑμῶν ἀρχὴν ηὔξησεν;

2. Τίς οὖν ἐστὶν ὁ ἥρως ὁ βραδέως βαδίζων λόγχῃ ἐπερειδόμενος; Ἀχιλλεὺς δὴ τὸ σφυρὸν τετρωμένος ὑπὸ τοῦ δειλοῦ Ἀλεξάνδρου. — Τίνος ἕνεκα οἱ πλεῖστοι τῶν ἀνθρώπων εἰς τοὺς κινδύνους σφᾶς ἐμβάλλουσιν, εἰ μὴ πρὸς ἑαυτοὺς τρέψοντες τοὺς τῶν ἄλλων ὀφθαλμούς; — Τίς ἐστιν ὁ τούτων τῶν ἀστείων μύθων ποιητὴς οὓς οἱ πάντων τῶν ἐθνῶν λογοποιοὶ ἄλλοι ἐπ' ἄλλοις διηγήσαντο; — Διὰ τί τὰ θηρία ἀγριώτερα μέν ἐστιν ἐν Λιβύῃ, ἰσχυρότερα δὲ ἐν Εὐρώπῃ, καὶ τὰ εἴδη ποικιλώτερα ἐν Ἀσίᾳ, καὶ διὰ τί τὰ ἐν ὄρεσι ζῶντα ὠμότερά ἐστι τῶν ἐν πεδίοις; — Τί ἔπραττον οἱ νεκροὶ οἱ μὴ ταφῆς λαχόντες καὶ οὐχ ὑπὸ Χάρωνος εἰς τὸ σκάφος εἰσδεχθέντες; — Τίς συγγραφεὺς ἐπαινετέος ἐστὶν ὡς πρῶτος τὰ πράγματα ἀλλήλοις συνάψας ἅτινα πᾶσι τοῖς τῆς οἰκουμένης ἔθνεσι προσήκει; — Ποίου ἔτους μὲν, καὶ ἐν τίνι πόλει ἐγένετο ὁ Ἡρόδοτος; τίνας δὲ χώρας ἐπεσκέψατο; τίνι Ὀλυμπιάδι τὴν διήγησιν ἀνέγνω ἐν πανηγύρει ὅπου πᾶσα ἡ Ἑλλὰς ἠθροίσθη; εἰς τίνα δὲ τῆς μεγάλης Ἑλλάδος πόλιν ἐλθὼν ἐτελεύτησεν;

149ᵉ Exercice.

Quel.... que, quelque.... que (*Grammaire*, § 619.)

1. Πᾶσαι αἱ τῆς Ἑλλάδος πόλεις, αἵτινεσοῦν εἰσὶ, τὴν ἰδίαν ἔχουσιν ἱστορίαν. — Ὁποσηοῦν ἐστὶν ἡ τῆς Κτησίου λέξεως χάρις, οὐδαμῶς τῇ Ἡροδότου εἰκάζοιτ' ἄν. — Ὁ μὲν πολιτικὸς ἀνὴρ, εἶπεν ὁ Σωκράτης, ὁ περὶ τὴν τῶν πολιτῶν εὐδαιμονίαν διατρίβων, ὁ δὲ γεωργὸς ὁ τὴν γῆν γονιμωτέραν ποιῶν, πάντες δὲ ὅλως οἱ ἄνθρωποι, ὁποῖοί τινες ἂν ὦσιν, οἱ τὰ προσήκοντα ἀκριβῶς πράττοντες, τοῖς θεοῖς κάλλιστα λατρεύουσιν. — Ὁ Σωκράτης τὸ θεῖον μάλ' αἰδούμενος, ἐφ' ᾡτινιοῦν ὀνόματι αὐτό τις ἐπεκάλει, ᾔει θῦσαι ἐν τοῖς ναοῖς. — Ἐφ' ὁποσηοῦν ἀκριβείᾳ φιλοτιμοῦνται οἱ συγγραφεῖς, χαλεπώτατόν ἐστι τοὺς ἀληθεστάτους οὐκ ἐνίοτε τῆς ἀληθείας λαθόντας ἀποκλῖναι. — Εἰσί τινες οἳ οὐδέποτε νομίζουσιν ἱκανὸν μισθὸν λαβεῖν, ὧν εὐεργετήκασιν, ὁποσωνοῦν τιμῶν ἔτυχον. — Ὁποσηνοῦν περὶ τῆς ἀληθείας σπουδὴν πάντες οἱ ἄνθρωποι ἐπαγγέλλονται, οἱ πλεῖστοι ἀποστυγοῦσιν αὐτὴν, ἐπειδὴ τάχιστα τὰ αὐτῶν ἐλασσώματα καὶ τὰς πονηρίας πρὸ ὀφθαλμῶν αὐτοῖς τίθησιν.

2. Οἱ Ῥωμαῖοι πάντων τῶν βασιλέων, ὁποῖοί τινες ἦσαν, καταφρονοῦντες, τοῦ τῶν πολιτῶν ταπεινοτάτου ἐλάσσονας εἶναι αὐτοὺς ἐνόμιζον. — Διδάσκει ἡμᾶς ὁ Ζήνων οὐκ εἶναι οὔτε βάρβαρον, οὔτε Ἕλληνα, οὔτε Σκύθην ἐναντίον τοῦ θεοῦ, πάντας δὲ τοὺς ἀνθρώπους, οἵτινες ἂν ὦσι τὸ γένος, ἰσοτίμους αὐτῷ δοκεῖν. — Οἱ ἄνθρωποι τοῖς ὅπλοις πάντων τῶν ζώων ἁτινοῦν ἐστὶν οἷοί τέ εἰσιν ἐφικνεῖσθαι. — Ὁποσαοῦν αὐτῷ χαρίζεσθαι δοκεῖ ἡ τύχη, οὐδέποτ' ὁ σοφὸς πεισθήσεται ἑαυτὸν ἐπὶ γῆς τῆσδε εὑρεῖν ἂν ὅθεν ἀληθῶς χαρήσεται. — Ὁποσωνοῦν ἀρετῶν ἔλαχεν ὁ Σεβῆρος, οὐ μέγας ἐγένετο βασιλεὺς, διότι τῆς πασῶν μεγίστης, τῆς ἐπιεικείας, ἐδεῖτο. — Τοῦ τῶν Καισάρων γένους διεφθαρμένου, πᾶσι τοῖς φιλοτίμοις, οἵτινεσοῦν ἦσαν, τοῖς οὕτω πλουσίοις οὖσιν ὥστε δύο ἢ τρία τάγματα ὠνήσασθαι, τῆς βασιλείας ἀντιποιεῖσθαι ἐξουσία ἐγένετο. — Ὁποσηνοῦν ἐπιῤῥέπειαν πρὸς τὸ ἀγαθὸν ἔχομεν, αὕτη οὐκ ἀξία ἐστὶν ἀρετὴ ὀνομάζεσθαι, εἰ μὴ ἐμμενῶς ἐν τῇ ἡμετέρᾳ καρδίᾳ βεβαίωται καὶ παντάπασιν ἐῤῥίζωται.

150ᵉ Exercice.

Suite de *quel.... que, quelque.... que.*

1. Ὁποσησοῦν φιλανθρωπίας βασιλεὺς ἔλαχεν, ἆρα σαφῶς οἶδεν ὅτι οὐδέπω αἷμα ἐκχεύσεται; — Εἰς ἡντιναοῦν πόλιν ἦλθεν ὁ Πολύγνωτος, ὥσπερ θριαμβεύοντα αὐτὸν ὑπεδέχοντο. — Αἵτινεσοῦν στάσεις ἐν τῷ ἀνθρωπείῳ γένει εἰσὶν, φανερός ἐστιν ὁ ἄνθρωπος τῆς τῶν ἀνθρώπων ὁμιλίας ἐφιέμενος. — Ὁποσηνοῦν ῥοπὴν ἡ τύχη εἰς τὴν τῶν βασιλειῶν αὔξησιν ἢ

κατάπτωσιν δοκεῖ ἔχειν, ὁμολογητέον, ὥσπερ τοὺς ἰδιώτας, οὕτω τοὺς δήμους αὐτοὺς αἰτίους τῶν συμβάντων ἑαυτοῖς γίγνεσθαι. — Ἡ Ῥώμη τὸν συμμαχικὸν πόλεμον κατέλυσε τὴν πολιτείαν πρῶτον διδοῦσα τοῖς μὲν Ἰταλικοῖς ἔθνεσιν ἃ πιστὰ ἑαυτὰ παρέσχον, ἔπειτα δὲ πάσαις ταῖς κωμοπόλεσιν αἵτινεσοῦν ἦσαν. — Μεθ' ὁποσησοῦν ἐπιμελείας πάντα ἐν τῷ βουλεύεσθαι συσκευάζωμεν, ἀεὶ ὁ καιρὸς ἀπροσδόκητόν τι φέρει. — Ὁποσηνοῦν ἐμπειρίαν τῶν τῆς τύχης ἀπατῶν ἔχωμεν, ὅμως ἔτι τὴν πονηρίαν αὐτῆς καὶ τὰς μεταβολὰς θαυμάζομεν καὶ ἐκπλήσσομεθα.

2. Ὁποσηοῦν πάλαι ἦν ἡ πολίτου τινὸς ἀρετὴ, οἱ ἡμέτεροι πρόγονοι οὐ πάντα τὰ πράγματα ἑνὶ ἐπέτρεπον. — Ὁποίαν τινὰ ἀρχὴν ἄρχεις, καὶ ἥντινα προσαγόρευσιν προσαγορεύῃ, καὶ ὁποσουσοῦν ἀγροὺς ἐκτήσω, καὶ ὁποσαοῦν ἐθησαύρισας, μέμνησο πάντα ἑνὶ θανάτῳ καθαιρεθήσεσθαι, πάντα ἑνὶ τύμβῳ συγκλεισθήσεσθαι. — Ὁ ἄνθρωπος ὁ τὴν γνώμην προκατειλημμένος οὐκ ἀκούει σου, ὅ τι καὶ λέγεις· κωφός ἐστι· τὸ γὰρ χωρίον πεπλήρωται, οὐκέτι δὲ λοιπόν τι ἐστὶ τῇ ἀληθείᾳ. — Ἐν τῷ δευτέρῳ πρὸς τοὺς Καρχηδονίους πολέμῳ, τοῦ ταμιείου κενωθέντος, πάντες οἱ πολῖται, οἵτινεσοῦν ἦσαν, μισθὸν παραιτούμενοι τέλεσιν ἰδίοις ἐστρατεύσαντο, τῶν πλουσιωτέρων τοὺς πενεστέρους ὠφελούντων. — Ὁποσαοῦν ἦν τὰ τῶν Σεβαστῶν μύση, οὗτοι εἰς τοὺς θέους ὑπὸ τῶν διαδεχομένων καὶ ἐνίοτε δὴ τὸν βίον αὐτοὺς ἀφελόντων εἰσετίθεντο.

151[e] Exercice.

Quelque adverbe (*Grammaire*, § 620).

1. Ὁ Κικέρων, εἰ καὶ εὐφὴς ἦν θαυμασίως ὡς, οὐχ οἷός τε ἦν τὰ πρωτεῖα ἐν τῇ πόλει ἔχειν. — Ὁ Τιβήριος τοῦ Αὐγούστου ὑποπτικώτερος ὢν, τὴν τοῦ δήμου δύναμιν, εἰ καὶ ἐλαχίστη ἦν, ἔτι συνέστειλεν, τὴν τοὺς ἄρχοντας αἱρεῖσθαι ἐξουσίαν τῇ συγκλήτῳ προσνέμων. — Οἱ πραιτωριανοὶ, εἰ καὶ ἐπὶ τῷ τοῦ Νέρωνος θανάτῳ ἐδυσχέραινον, ὅμως Γάλβαν ὃν εἵλετο ἡ σύγκλητος προσηγόρευσαν Σεβαστόν. — Βέλτιόν ἐστι, κἂν τις ἀσθενὴς ὑπάρχῃ, κινδυνεύειν δυστυχῶς πολεμοῦντα, ἢ χρημάτων τὴν εἰρήνην ὠνήσασθαι. — Ὁ βαρβιτιστὴς, κἂν δεινότατος ᾖ, ἐνίοτε τῆς χορδῆς ἁμαρτήσεται. — Πόλις, κἂν πλουσιωτάτη ᾖ, τάχα ἐν ἀπορίᾳ γίγνοιτο ἂν, εἰ παύοιτο φιλοπονοῦσα. — Κἂν λαμπροῖς ἐπαίνοις τὴν τούτων τῶν στρατηγῶν, τούτων τῶν θριαμβευτῶν δόξαν κοσμῆτε, τί ἄλλο ἢ τὴν τῆς οἰκουμένης εἰρήνην τῇ ἀμέτρῳ πλεονεξίᾳ ταράσσουσιν ; — Εἰ εἰς τοὺς ἐπιφανεστάτους οἴκους εἰσέρχεσθε, καὶ εἰς τὰ πολυτελῆ βασιλεῖα εἴσιτε, τὰ ἔνδον φαῦλά ἐστι, κἂν τὰ ἐκτὸς λαμπρὰ γίγνηται.

2. Πᾶσα ἀνθρωπίνη δύναμις, κἂν ἄκρατος ᾖ, τῇ γε τοῦ θεοῦ δυνάμει ἐστὶν ὑποτεταγμένη. — Τὰ τῶν ἀνθρώπων ἤθη ἔτι ἀλλήλοις τῶν προσ-

ώπων ἀνομοιότερα, εἰ καὶ ἐκεῖνά γε ἀνομοιότατά ἐστιν. — Εἰ καὶ κακῶς ἔπραττον τὰ ἔθνη τὰ ὑπὸ τῶν βαρβάρων νικηθέντας, οὐ κάκιον δὴ ἔπραττον τῶν Ῥωμαίων πολιτῶν ἀπολωλυίας ἤδη τῆς ἀρχῆς. — Εἰ καὶ μέτριοι ἦσαν οἱ βασιλεῖς, οἷον Ἀντωνῖνος καὶ Τραϊανὸς καὶ Μάρκος Αὐρήλιος, οὐδὲν τῆς ἐξουσίας ἀφεῖντο ἣν Αὔγουστος ἠρέμα μετὰ τὴν ἐν Ἀκτίῳ μάχην περιεποιήσατο. — Οὐκ ἐᾷ ὁ θεὸς ἄνθρωπον, κἂν μέγας καὶ δυνατὸς ὑπάρχῃ, χρῆσθαι, ὡς αὐτῷ δοκεῖ, οὔτε τῇ ἑαυτοῦ οὐσίᾳ, οὔτε τοῖς πράγμασιν, οὔτε τῇ ὑγιείᾳ, οὔτε τῷ βίῳ.

152ᵉ Exercice.

Suite de *quelque* adverbe.

1. Ἵππος μὲν, κἂν καλὸς ᾖ, οὐ τῷ κάλλει σεμνύνεται· κύων δὲ, κἂν ἐλαφρὸς ᾖ, οὐ τοὺς ἄλλους κύνας περιορᾷ τοὺς αὐτοῦ βραδυτέρους. — Τιβήριος καὶ Σεβῆρος, εἰ καὶ μάλιστα τῆς ἑαυτῶν δυνάμεως ἀντείχοντο, ὅμως σχετλίως ὁ μὲν Σηϊανῷ ὁ δὲ Πλαυτιανῷ ὑπήκουσαν. — Ἡ παρὰ τοῖς Ἕλλησιν τέχνη, εἰ καὶ βασιλεύοντος Ἀλεξάνδρου ἦν ἔτι λαμπροτάτη, ἤρχετο ἤδη παρακμάζειν. — Αἱ πόλεις εἰ καὶ ταῖς τέχναις καὶ τοῖς μνήμασιν ἀκμάζουσιν, οἱ ταλαίπωροι οἰκηταὶ διὰ ὕβρεως καὶ δόλου καὶ βίας καὶ ἀπιστίας μεγίσταις λύπαις σύνεισιν. — Εἰ καὶ καταφρονητὸς ἦν Κλέων ὁ δημαγωγὸς, πολὺν χρόνον ἐν Ἀθήναις παγκρατὴς ἐγένετο. — Τὸ δικαστήριον τὸ ἐν Ἀρείῳ πάγῳ, εἰ καὶ μάλιστα ἤδη συνέσταλται ἡ ἐξουσία αὐτοῦ, ἔτι νῦν χρηστότατον καὶ ἐντιμότατόν ἐστι τῶν ἐν Ἀθήναις δικαστηρίων· ὥστε καὶ ἄρτι ἑωράθη τῶν μὲν στρατιωτῶν τὴν προθυμίαν δωρεαῖς αὐξάνον, γέρα δὲ ἰδιώταις ἀπονέμον, εἰ καὶ ἄδοξοι ἦσαν, οἳ ἀκριβῶς πάντα τὰ τῇ ἑαυτῶν τάξει προσήκοντα ἔπραξαν.

2. Ἐκ πολλοῦ ἤδη οἱ τῆς Θρᾴκης καὶ τῆς Φρυγίας θεοὶ εἰς Ἀττικὴν εἰσβαλόντες ἐκεῖ διέμειναν, εἰ καὶ πικροῖς σκώμμασιν οἱ κωμῳδοποιοὶ αὐτοὺς ἐν τῷ θεάτρῳ διώκουσιν. — Σωκράτης, εἰ καὶ πένης ἦν, οὐδέποτ' οὐδένα μισθὸν παρ' ὧν ἐπαίδευεν ἔλαβεν, οὐδέποτε δὲ παρὰ τῶν ἀκροατῶν δωρεὰς ἐδέξατο. — Πολιτείᾳ δὴ, κἂν βελτίστη ὑπάρχῃ, ἔνεστιν ἀεὶ κακὰ τοῖς ἀνθρώποις ἐμπεφυκότα. — Ἡ τῶν Ἠλείων γνώμη, τῶν τοὺς Φωκεῖς παντάπασιν διαφθαρῆναι καὶ τοὺς ἐκείνων παῖδας ἐκ πέτρας ἀπορριφθῆναι ἀξιούντων, εἰ καὶ ἀπηνὴς ἦν, τοῖς νόμοις ἦν ἁρμόζουσα τοῖς εἰς τοὺς ἱεροσύλους γεγραμμένοις.

153e Exercice.

Adjectifs et adverbes de quantité avec un nom de chose qui se mesure (*Grammaire*, § 622).

1. Κατὰ τὸν τοῦ θερισμοῦ καὶ τρυγητοῦ χρόνον ἕκαστος τῆς Ἀττικῆς δῆμος ἑορτὰς ποιεῖ ἐν αἷς ἔλασσον μὲν πολυτελείας, πλεῖον δὲ ἱλαρότητος ἢ ἐν ταῖς τῆς μητροπόλεως φαίνεται. — Οἱ τῶν Μακεδόνων ἱππεῖς οἱ τὸν Δαρεῖον διώκοντες πολὺν χρυσὸν καὶ ἄργυρον ἐν τῷ τῶν Περσῶν στρατοπέδῳ εὗρον ἔνθα καὶ ἔνθα ἐῤῥιμμένον. — Χρηστὸς δεσπότης μετὰ σπουδῆς μισθοὺς δίδωσι πᾶσι τοῖς δούλοις τοῖς κἂν ὀλίγον προθυμίας καὶ πίστεως παρέχουσιν. — Οἱ Ἀθηναῖοι τὸ ἔκπαλαι πολλάκις ὀλίγον τι ἁλὸς τῇ τῶν οἰῶν τροφῇ ἐμίγνυσαν ἵνα πλεῖον γάλακτος πορίζοιεν. — Ὁ πυρὸς ὁ ἐκ τῆς Βοιωτίας συγκεκομισμένος μᾶλλόν ἐστι τρόφιμος τοῦ ἐκ τῆς Ἀττικῆς· διὸ καὶ κατιδεῖν ἔστι τοὺς Βοιωτίους ἀθλητὰς τοὺς ἐν Ἀττικῇ διατρίβοντας πολλῷ πλεῖον πυροῦ σιτουμένους ἤπερ ἐν τῇ ἑαυτῶν χώρᾳ. — Ἡ τῆς ἀμπέλου κλάδευσις πλείστης ἐπιμελείας παρὰ τῶν θεραπευόντων δεῖται. — Αἱ ἄμπελοι ἃς μακροτομοῦσι πλεῖον μὲν καρποῦ φέρουσι, θᾶσσον δὲ μαραίνονται. — Ὅσον ὑγροῦ συμπίνουσιν ἡ κριθὴ καὶ οἱ κύαμοι ταῖς ἀμπέλοις ἐν μέσῳ παραπεφυτευμένα, ἵνα μὴ ἐκεῖναι εἰς κλήματα περισσὰ μάτην βλαστάνωσιν.

2. Οἱ καρποὶ οἱ ἐν τοῖς θερμοῖς οἰκήμασι φυόμενοι ἔλασσον ἔχουσι χυμοῦ τῶν ἐν τῷ αἰθρίῳ γιγνομένων. — Πολλάκις μικρόν τι σκέψεως τοῖς μεγίστοις κακοῖς ἀπαντήσειεν ἄν. — Ἴστε πόσον ἐπιμελείας καὶ χρόνου οἱ τῶν Ῥωμαίων ἐπιφανέστατοι ἐπὶ τοῖς τῆς πολέως ταχθέντες καὶ εἰς τὴν γεωργίαν ἀνήλισκον. — Οὐχ ἅλις διαστήματός ἐστι μεταξὺ τούτων τῶν ἐλαιῶν· τῶν γὰρ ῥιζῶν μακρὰν ἐκτεινομένων, βλάπτουσιν ἀλλήλας. — Ἐν τοῖς ἀγροῖς τοῖς ἥκιστα πρὸς τὸ σῖτον φέρειν ἐπιτηδείοις ἐν μέσῳ τῶν λιβανωτίδων καὶ τῶν σπάρτων, οἱ Ἀττικοὶ γεωργοὶ πολλὰ μελισσῶν σμήνη καθίστασαν, τοσοῦτον καὶ δὴ πλεῖον ἐκεῖθεν λαμβάνοντες κέρδους ἤπερ ἐκ τῶν γονιμωτάτων ἀρουρῶν. — Τὰς ἀμπέλους μόνον δι' ἐνιαυτοῦ τετάρτου ἐπικοπρίζουσιν, ἢ καὶ ἐλασσονάκις· πιασμοῦ γὰρ τὸ ἄγαν ἐκείνας κατακαύσαι ἄν. — Φησὶ Θεόφραστος τοὺς σικύους πολλῷ πλέον γλυκύτητος ἔχειν, τῶν κόκκων ἐν γάλακτι δύο ἡμέρας μεμαλαγμένων. — Ὁ μὲν φιλότιμος, φθίνοντος ἤδη τοῦ βίου, ἐνίοτε ἅλις τιμῶν ἔχοι ἄν, ὁ δὲ φιλάργυρος οὐδέποτε χρημάτων ἔχει ἅλις. — Ἐνίοις ἀνθρώποις πολλῷ μὲν πλεῖον προνοίας ἐστὶ, οὐχ ἅλις δὲ τόλμης. — Τὰ τῆς Ἀττικῆς ὅρια πανταχόθεν ὀχυρώμασι φυλάσσεται· ἆρ' οὐ θαυμαστόν ἐστι τοὺς Ἕλληνας τοσοῦτον ἀπιστίας πρὸς ἀλλήλους ἔχειν; — Ἀμφισβητεῖται εἰ Διογένης ὡς ἀληθῶς ἐνάρετος ἐγένετο· πολλῷ γε λίαν περιεργίας ἦν ἐν τῇ αὐτοῦ ἀρετῇ.

154e Exercice.

Suite des adjectifs et adverbes de quantité avec un nom de chose qui se mesure (*Grammaire*, § 623).

1. Ἴσως Αὔγουστος ἐκ πάντων τῶν αὐτοκρατόρων τὴν μὲν πόλιν πλείστῃ πολυτελείᾳ ἐκόσμησεν, αὐτὸς δὲ πλείστῃ λιτότητι συνέζησεν. — Ἔνια μὲν φυτὰ ὀλίγου, ἄλλα δὲ πολλοῦ ἡλίου δεῖται· ἄλλα τοὐναντίον οὐδέποθ' ἱκανὸν ὑγρὸν ἔχει. — Ὁ τοῦ Καίσαρος βίος οὐδὲν ἄλλο ἐγένετο ἢ σάλος ἐνδελεχής· πόσον γὰρ ἤδη χρόνον τὸν ὕστατον τῶν Πομπηϊανῶν στρατὸν ἀπολέσας αὐτὸς ἀπώλετο; — Κατὰ τὸν Σικελικὸν πόλεμον οἱ Ἀθηναῖοι πρῶτον μὲν μείζονι κουφότητι καὶ προπετείᾳ, εἶτα δὲ μείζονι βραδύτητι καὶ ἀπορίᾳ ἥμαρτον. — Ἡ τῶν Γερμανῶν τροφὴ ἦν γάλα καὶ τυρὸς, καὶ οἰῶν καὶ θηρίων κρέας, ὀλίγος δὲ σῖτος. — Οἱ Γερμανοὶ εὐσεβέστατοι· οὐδὲν γὰρ ἔθνος τοῖς θεοῖς μετὰ πλείονος αἰδοῦς ὑπακούει. — Ταῦτα τὰ ἔθνη ἐλαχίστῳ μὲν σιδήρῳ καὶ λίθῳ πρὸς τὴν τῶν οἰκιῶν κατασκευὴν, ξύλῳ δὲ μικροῦ δεῖν μόνῳ χρῆται. — Εἰ καὶ ἀόριστος ἦν ἡ τῶν Περσῶν βασιλέων ἐξουσία, ἡ βασιλεία αὐτῶν ἐπαναστάσεσιν συνεχῶς ἐταράσσετο· τοῖς δὲ τῶν Μακεδόνων βασιλεῦσι καίπερ οὐ τοσαύτην δύναμιν ἔχουσι μᾶλλον ἐπείθοντο. — Εἰσί τινες οἳ τῶν σπουδαιοτάτων ἀμελοῦντες περὶ τὰ φαυλότατα πολλὴν ἐπιμέλειαν ποιοῦνται.

2. Ἐκ πόσου διαστήματος ὁ ἥλιος ἀπέχει οὗτος ὁ ἡμᾶς καὶ τῇ αὐγῇ φωτίζων καὶ ταῖς ἀκτῖσι θερμαίνων καὶ πανταχοῦ ἐπὶ γῆς τὸν βίον καὶ τὴν εὐθηνίαν διαδιδούς. — Οἱ μὲν Ἕλληνες τὴν Τροίαν ἐν δέκα ἔτεσιν εἷλον· ἐν δὲ ἐλάσσονι χρόνῳ ὁ Ἀλέξανδρος πᾶσαν τὴν Ἀσίαν χειρωσάμενος εἰς τὴν Ἰνδικὴν εἰσίκετο. — Δῆλον μὲν ὅτι πᾶσαι αἱ περὶ τὴν τῶν Ἑλλήνων καὶ τῶν Ῥωμαίων ἱστορίαν ζητήσεις πολλοῦ λόγου ἄξιαί εἰσιν· ὅμως δὲ ἐμοὶ δοκοῦσιν αἱ τὴν περὶ ἡμῶν ἱστορίαν καὶ τὰς πρώτας ἀρχὰς καὶ τὴν τῆς δυνάμεως αὔξησιν ἔτι πλείονος ἄξιαι εἶναι. — Εἰ καὶ μέμφονται τῷ Ἰσοκράτει τῆς μείζονος πρὸς τὸν Φίλιππον θεραπείας, ἀλλ' ὅσῃ λύπῃ ἐβαρύνθη ἐκ τῆς ἐν Χαιρωνείᾳ ἥττης. — Οἱ ταύτην τὴν χώραν οἰκοῦντες οὐχ ἱκανὸν σίδηρον πρὸς τὰς τοῦ βίου χρείας ἔχοντες, πρὸς τὰ ὅπλα μόνον χρῶνται, αὐτῷ, ὧν βραχεῖα μέν ἐστιν ἡ αἰχμὴ, ὀξυτάτη δέ. — Παρὰ τοῖς Γερμανοῖς τὰ κτερίσματα καὶ δὴ τῶν ἐπιφανεστάτων ἀνδρῶν πολλῇ εὐτελείᾳ ποιεῖται· οὐδὲν γὰρ ἄλλο τῇ πυρᾷ αὐτῶν ἢ τὰ ὅπλα καὶ ἐνίοτε τὸν πολεμιστήριον ἵππον ἐπιτιθεῖσιν.

155e Exercice.

Adjectifs et adverbes de quantité avec un nom singulier de chose qu'on peut dire grande (*Grammaire*, § 624).

1. Οἱ βάρβαροι καὶ οἱ μεγίστην ἀνδρείαν καὶ ἐμπειρίαν ἔχοντες οὐ ῥαδίως τῶν εὐτάκτων στρατῶν περιγίγνονται τῶν ἑνὶ ἡγεμόνι ὑπακουόντων. — Ὁ Τάκιτος τοὺς ἐπιόντας τῇ τῶν Ῥωμαίων ἀρχῇ κινδύνους προϊδὼν ἔλεγεν οὐ μείζω χάριν παρὰ τῶν θεῶν ἐκείνους λαβεῖν ἂν τῆς τῶν βαρβάρων πρὸς ἀλλήλους στάσεως. — Ἐπεὶ μείων πόνος τῷ ἀναγιγνώσκειν πρόσεστιν ἢ τῷ συγγράφειν, ἀγαθόν ἐστιν ἐξ ἑτέρου δι' ἑτέρου ἀναλωφῆσαι. — Οἱ δῆμοι οἱ τὰ ὅπλα μετ' ἐλαχίστης ταχύτητος λαμβάνοντες καὶ αὐτοὶ τὸν πόλεμον μετὰ μεγίστης καρτερίας ποιοῦσι, καὶ σχεδὸν ἀεὶ τελευτῶντες περιγίγνονται. — Διονύσιος ὁ νεώτερος ὁ πρότερον τὴν ἐλαχίστην ἀντίῤῥησιν χαλεπῶς φέρων, ἐχλευάζετο πρὸς τὸ τοῦ βίου τέλος ὑπὸ τῶν Κορινθίων παιδίσκων. — Ὁ Κροῖσος παρὰ τῶν πρέσβεων ἀκούσας πηλίκην πίστιν οἱ Σάμιοι ἐν τῇ τοῦ Αἰσώπου φρονήσει εἶχον, τοῦτον τὸν στρεβλὸν δοῦλον ἐπεθύμησεν ἰδεῖν ὃς ἐτόλμησε τοὺς Σαμίους παραπείθειν βασιλεῖ δυνατῷ, οἷος ἐκεῖνος ἦν, μὴ ὑπακοῦσαι.

2. Χαλεπόν ἐστι τοὺς συγγραφεῖς, καὶ τοὺς μετριοφρονεστάτους ὄντας, οὐ λαβεῖν μικρόν τι ὄγκου, ὅταν τὰ ἑαυτῶν συγγράμματα ὑπὸ πάντων ἀναγιγνωσκόμενα καὶ ἐπαινούμενα αἰσθάνωνται. — Οἱ Γερμανοὶ οὐ μόνον ἐπὶ ταῖς οὐσίαις καὶ τοῖς ποιμνίοις καὶ τοῖς δούλοις καὶ ταῖς γυναιξὶ καὶ τοῖς παισὶν, ἀλλὰ καὶ ἐπὶ τῇ ἑαυτῶν ἐλευθερίᾳ ἐκύβευον· οὐδὲν γὰρ ἔθνος τῆς κυβείας ἐρασθῆναι δοκεῖ μετὰ τηλικαύτης μανίας. — Ὅσον θαῦμα κινεῖ ἡ τῶν Αἰγυπτιακῶν μνημάτων ὄψις τὸν νοῦν πρὸς τὰς πρώτας τῶν ἀνθρώπων γενεὰς μεταφερόντων. — Οἱ ἄνθρωποι πολλῷ μὲν μείζονα χρόνον περὶ τὰ ἀλλότρια, οὐχ ἱκανὸν δὲ περὶ τὰ ἑαυτῶν διατρίβουσιν. — Πάντες οἱ συγγραφεῖς ἐπιμαρτυροῦσιν ὅσον ἐκ τῆς τοῦ Γερμανικοῦ τελευτῆς πένθος ἐγένετο οὐ μόνον ἐν τῇ Ἰταλίᾳ, ἀλλὰ καὶ ἐν ταῖς χώραις ταῖς πορρωτάτω οὔσαις.

156e Exercice.

Adjectifs et adverbes de quantité avec les noms pluriels de choses qui se comptent (*Grammaire*, § 625).

1. Ὅσοι ἐργάται ἐν τοῖς κασσιτέρου μετάλλοις κατὰ τὴν Βρεταννίαν ἐργάζονται· ὀλίγοι μέντοι ἐπὶ μακρὸν γῆρας ἐλαύνουσι, τῶν πολλῶν ἐν ἀκμῇ ἡλικίας ἐκ τύχης ἢ ἐξ ἀσθενώσεως θνησκόντων. — Ἐν τούτῳ τῷ ἔτει πολλαὶ ἐγένοντο ναυαγίαι· οὐδέποτε γὰρ νῆες τοσαῦται τῇ ἀκτῇ ἡμῶν προσέῤῥαξαν· οὐδέποτε τοσοῦτοι οἶκοί τινα τῶν οἰκείων ἐπένθησαν. — Αἱ μὲν χῶραι αἱ ἐπ' ἐσχάτοις ἄρκτου καὶ νότου κείμεναι τὰ ἐλάχιστα ζῶα

γεννῶσιν· πλείω δὲ θηρία ἄγρια καὶ πελώριά ἐστιν ἐν τῇ Λιβύῃ ἤπερ ἐν ἑτέρῳ ᾡτινιοῦν τῆς οἰκουμένης μέρει. — Οἱ Σκηπίωνες ἐν Ἰβηρίᾳ ἐνικήθησαν καὶ ἀπέθανον, ἐπεὶ περισσοὺς ξένους εἰς τὴν τοῦ Ῥωμαϊκοῦ στρατεύματος τάξιν ἐδέξαντο. — Χαλεπὸν ἂν εἴη εἰπεῖν ἐκ πόσων ἐθνῶν τὸ στράτευμα συνειστήκει ᾧ Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐφώρμησεν. — Ἆρ' οὐχ ἱκανὰ μὲν στρατεύματα, Ἀλέξανδρε, ἐνίκησας; ἱκανὰ δὲ ἔθνη ἐχειρώσω; Τί οὖν βούλει ἔτι ἡμᾶς εἰς τὴν Ἰνδικὴν καὶ ἐπ' ἔσχατα γῆς ἀγαγεῖν;

2. Ἱκανοὶ μὲν συγγραφεῖς τὸ ἐξ ὅπλων κλέος ἐδόξασαν καὶ τὸν ἐν στρατοπέδοις βίον διηγήσαντο· ἐξέστω δέ μοι ᾄδειν τοὺς περὶ τὴν γεωργίαν πόνους καὶ τὴν τοῦ ἀγροίκου βίου εὐδαιμονίαν. — Τοῦτ' αἴτιον ἀσθενείας ἐστὶ τὸ περισσοὺς μὲν ἡγεμόνας ἐν στρατοῖς εἶναι, οὐχ ἱκανοὺς δὲ στρατιώτας. — Ὅσας νῆας καὶ ὅσους δὴ στόλους ἐν τῷ πρώτῳ πρὸς τοὺς Καρχηδονίους πολέμῳ οἱ Ῥωμαῖοι τοῖς χειμῶσιν ὅλους ἀπέβαλον. — Πάντων τῶν τῆς Ἑλλάδος βασιλέων Ἀγαμέμνων πλείστας νῆας ἤγαγεν πρὸς τὴν τῆς Τροίας πολιορκίαν. — Οὐ μὲν οἱ τοῖς θεοῖς τὰ πλεῖστα θύοντες, οἱ δὲ μετὰ μεγίστης θρησκείας καὶ ἀφελείας εὐχόμενοι χαριέστατοί εἰσιν αὐτοῖς. — Τοῖς Μακεδόσιν εἰς τὸ τῶν Περσῶν στρατόπεδον προσελθοῦσι πρῶτον ἐμποδὼν ἐγένοντο πολλαὶ ἅμαξαι γυναικῶν καὶ παίδων πλήρεις, ἔνθα καὶ ἔνθα διεσκεδασμέναι, καὶ τῶν ἡγεμόνων ἐρημωθεῖσαι. — Εἰ τῷ Φιλίππῳ οὐ τοσοῦτοι πολέμιοι ἐν Ἑλλάδι ἐγένοντο, πλείονα δὴ χρόνον τοῖς Ῥωμαίοις ἀντιστῆναι ἐδυνήθη ἄν· ἐλάσσονα μὲν γὰρ δύναμιν, πλείους δὲ στρατιώτας ὡς ἀληθῶς εἶχε τοῦ Ἀντιόχου.

157e Exercice.

Suite des adjectifs et adverbes de quantité avec les noms pluriels de choses qui se comptent.

Οἱ ἔσχατοι τῆς τῶν Ῥωμαίων ἀρχῆς χρόνοι ὀλίγα μὲν ἀνδρείας καὶ καρτερίας παραδείγματα παρέχουσιν, οἷα Παῖτός τε καὶ Θρασέας ἀπέλιπον ἡμῖν, πόσα δὲ τοὐναντίον ταπεινότητος καὶ αἰσχρᾶς κολακείας; — Ἦν χαλεπὸν τοσούτων ταγμάτων κατ' εἰρήνην τρεφομένων οὐκ ἀταξίαν τε καὶ στάσεις γενέσθαι ἐξ ἀργίας. — Οὐ μὲν ἀρκεῖ τὴν μνήμην πλείοσιν ἢ ἐλάσσοσιν ῥήμασι γέμειν· οὐδὲν δὲ δεῖ ἡμᾶς μανθάνειν εἰ μὴ παντάπασιν συνιέντας. — Πόσα μὲν ἔτη ἀπὸ τῆς Τροίας ἁλώσεως ἐξῆλθεν μέχρι τοῦ πρώτου πρὸς τοὺς Μήδους πολέμου ἴσμεν· ἐλάχιστα δὲ ἐκ τῶν ἐν τῷ μεταξὺ χρόνῳ συμβάντων. — Ἐκ δὴ τῆς Θρᾴκης καὶ τῆς Κελτικῆς καὶ τῆς Γερμανίας οἱ Ῥωμαῖοι τοὺς ἀθλητὰς ἐλάμβανον, εἰ μὴ τοὺς πλείστους ἀλλά γε τοὺς ἀνδρειοτάτους καὶ εὐδοκιμωτάτους. — Ἐν ταῖς Ἑλληνίσι πόλεσι, καὶ ταῖς ἐλαχίστους δούλους ἐχούσαις, οὗτοι τῷ πλήθει τῶν ἐλευθέρων ἀνδρῶν προεῖχον.

158ᵉ Exercice.

Adverbes de quantité avec les adjectifs et les adverbes (*Grammaire*, § 626).

1. Ἐν κινδύνῳ οὕτως ἐπικειμένῳ πᾶσα βουλὴ περισσή. — Ὡς χαλεπόν ἐστι τοὺς ἀνθρώπους οἷοί εἰσιν ἀπεικάσαι, καὶ κεχαρισμένως ἐπὶ τῆς σκηνῆς τὰ πάντων ἐλασσώματα ἀποφῆναι. — Ἆρ' οὐ θαυμαστόν ἐστιν ἰδεῖν πῶς τῶν παίδων τινὲς ταὐτὰ ῥᾳδίως συννοοῦσιν ἅπερ ἕτεροι χαλεπῶς καὶ μετὰ πλείστου πόνου; — Οὐ μάλα ἡδὺ ἐξαπατᾶσθαι ὑφ' ὧν ἠλπίζομεν ἀπατᾷν αὐτοί· ὅμως δὲ τοῦτο ἱκανῶς (ou ἅλις) εἰωθός ἐστι. — Λέξις μὲν περισσῶς (ou ἄγαν) ὑψηλὴ πολλάκις ἀνενεργής, περισσῶς (ou ἄγαν) δὲ κεκολασμένη λέξις ψυχρά, κεκοσμημένη δὲ περισσῶς (ou ἄγαν) ταχὺ ἐνοχλεῖ. — Τὰ ἔθνη τὰ περὶ τὴν ἐμπορίαν σπουδάζοντά ἐστιν ὡς ἐπὶ τὸ πολὺ ἥκιστα φιλοπόλεμα. — Ἴσως μὲν περισσῶς (ou ἄγαν) φανερὰ καὶ ἄγροικος κολακεία ἀνδράσιν τισὶν ἀστείοις ἀπήρεσε, μάλα (ou σφόδρα) δὲ σπανίως τοῖς δήμοις ἢ τοῖς βασιλεῦσιν.

2. Οἱ τὴν Περσίδα οἰκοῦντες ἀεὶ μᾶλλον πολεμικοὶ (ou mieux πολεμικώτεροι) καὶ ἧσσον ἁβροὶ τῶν τὰς ἑτέρας τῆς βασιλείας χώρας οἰκούντων ἐγένοντο. — Ἐν τῇ Ἀττικῇ οἱ ἀγροὶ ἀπ' ἀλλήλων φράγμασιν ἢ καὶ αἱμασιαῖς οὐ μάλα ὑψηλαῖς κεχωρισμένοι εἰσίν. — Ἔστιν εὑρεῖν ἐν τοῖς ἐγγὺς τῶν Ἀθηνῶν τόποις ἐλαιόφυτα, τὸν ἀριθμὸν ἱκανά, τῆς Ἀθηνᾶς ὄντα καὶ ὧν πᾶσα ἡ ἀναφορὰ μόνον τῇ τῆσδε τῆς θεοῦ θεραπείᾳ καθιέρωται. — Ἐξ ἴσου ἁμαρτάνει καὶ ὁ περισσῶς (ou ἄγαν) μακρὰν παρατείνων περὶ ὧν πάντες ἴσασιν καὶ ὁ ἄγαν ταχέως (ou ταχύτερον) διερχόμενος περὶ ὧν διηγεῖσθαι ἄξιον ἂν εἴη. — Οὐδὲν μᾶλλον σαφῆ (ou mieux σαφεστέραν) ἐποίησε τὴν τῶν Ἑλλήνων νοῦ λεπτότητα ἢ τὰ τοῖς φιλοσόφοις αὐτῶν περὶ τῆς τῶν στοιχείων γενέσεως καὶ δυνάμεως δόξαντα. — Ὡς ῥᾳδίως σφάλλονται οἱ ἄνθρωποι οὐ τῷ λόγῳ τῇ δὲ ἐπιθυμίᾳ ἡγεμόνι χρώμενοι. — Αἱ τῶν ἰχθύων μεταστάσεις οὔθ' ἧσσον συχναὶ οὔθ' ἧσσον τεταγμέναι εἰσὶν ἤπερ αἱ τῶν ὀρνίθων· οὕτως οὖν ἐν Βυζαντίῳ κατὰ διωρισμένους χρόνους ἀγέλας οὐκ ὀλίγας ἰχθύων ἰδεῖν ἔστιν, τοτὲ μὲν εἰς Πόντον Εὔξεινον ἀνανηχομένας, τοτὲ δὲ πρὸς τὸ Αἰγαῖον πέλαγος κατανηχομένας.

159ᵉ Exercice.

Suite des adverbes de quantité avec les adjectifs et les adverbes.

Οἱ ταύτην τὴν χώραν οἰκοῦντες τὴν γῆν οὐ μάλα βαθέως ἀροῦσιν ἅτε ἐλαφροτάτοις ἀρότροις χρώμενοι ἑνὶ ἵππῳ ἑλκομένοις. — Οἱ ἄνθρωποι καὶ οἱ ἥκιστα προπετῶς πράττοντες οὐ δύνανται ἀεὶ προϊδεῖν ποῖα ἐκ τῶν αὐτῶν πράξεων γενήσεται. — Ἐν ταύταις ταῖς ὀρειναῖς χώραις οἱ ἵπποι

καὶ οἱ μάλιστα ὠκέως βαίνοντες (mieux οἱ ὠκύτατοι) οὐ δύνανται πορεύεσθαι καθ' ἡμέραν πλεῖον ὀκτὼ ἢ δέκα σημείων. — Ἐν Αἰγύπτῳ τῆς σιτήσεως πολλοῖς ζώων γένεσι χορηγουμένης, τὰ ἀγριώτατα καὶ τὰ ἡμερώτατα ζῇ κοινῇ ἅλις (ou ἱκανῶς) ἡσύχως, καὶ ὁ κροκόδειλος τὴν τοῦ τρέφοντος ἱερέως χεῖρα σαίνει. — Πῶς ἡ Σπάρτη οὕτως ὀλίγους ἔχουσα πολίτας ἀνθίστη ἀεὶ πολεμοῦσα πόλεσιν ἀνδρῶν τε καὶ χρημάτων μᾶλλον εὐπόροις (ou mieux εὐπορωτέραις) οὔσαις; — Ὡς ὀλίγοι εἰσὶν οἵτινες τῇ ἑαυτῶν τύχῃ ἀρκεσθέντες οὐδέποτε μάταια εὔξαντο. — Ὡς σπάνιόν ἐστι τοὺς ἀνθρώπους ἀλλήλοις καὶ περὶ τῶν μάλιστα ἁπλῶν καὶ μάλιστα εἰωθότων ὁμογνωμονῆσαι ὧν καθ' ἡμέραν πρὸ ὀφθαλμῶν ἔχουσιν. — Ἡ Καρχηδών, εἰ καὶ μάλα (ou σφόδρα) τὴν δύναμιν παραλελυμένη, ἐδήλωσεν ἐν τῷ τρίτῳ Καρχηδονιακῷ πολέμῳ οὐ χείρων ἑαυτῆς γενομένη. — Ὡς βαθέα ἐστὶ τὰ πελάγη, ἐπεὶ μόνον ἐξ ἐπιπολῆς ταῖς θυέλλαις καὶ ταῖς μάλιστα βιαίαις κινεῖται. — Τῶν Λακεδαιμονίων πρέσβεων ἅλις (ou ἱκανῶς) μακρὰν (mieux μακρότερον) τοῖς τῶν Θηβαίων βουλεύμασιν ἀντιλεξάντων, Ἐπαμεινώνδας εἶπε γελῶν ὅτι ἠνάγκασεν αὐτοὺς τὰς συλλαβὰς μηκύνειν. — Κατὰ τοὺς τῶν Τρωϊκῶν χρόνους ἡ χώρα ἐν ᾗ αἱ Μυκῆναι ᾠκοδόμηντο εὐδαιμονεστάτη ἦν· οὐδεμία μὲν γὰρ οὕτως ἀφθόνους καρποὺς ἔφερεν, οὐδεμία δὲ ἄνδρας οὕτω συχνοὺς ἔτρεφεν.

100ᵉ Exercice.

Adverbes de quantité avec les verbes ordinaires (*Grammaire*, § 627).

1. Οὐδὲν μᾶλλον τὸν Εὐμένην παρὰ τοῖς Μακεδόσιν διέβαλε τοῦ ξένου γένους. — Ὁ Σωκράτης τοῖς τῶν ῥητόρων πλείστοις ἐμέμφετο ὅτι ἧσσον (ou ἔλασσον) διδάσκειν ἢ ἀρέσκειν πειρῷντο. — Τὸ μὲν ἄγαν (ou περισσῶς) τῆς παρὰ τῶν ἄλλων δόξης φροντίζειν, τὸ δὲ μὴ πρὸς ἑαυτὸν ἐξετάζειν, δύο κακά ἐστιν ὧν ἕτερον ἐξ ἑτέρου ἀναγκαίως γίγνεται. — Ῥᾴδιόν ἐστιν ἰδεῖν ὡς ἡμέτερον μὲν πρόσωπον, ἡμετέρα δὲ φωνὴ μεταβάλλεται, ἡμῶν ὀργῇ, φόβῳ ἢ ἄλλῳ τινὶ πάθει σφόδρα κινουμένων. — Πῶς μυῖα ἡμῖν ἐνοχλοῦσα, ἢ κύων μεταξὺ τῶν ἡμετέρων σκελῶν διατρέχων ἢ πᾶν τι ἄλλο οὐδενὸς ἄξιον ἡμᾶς οὕτως (ou τοσοῦτον) κινεῖ; — Ὅτε ὁ Σκηπίων εἰς τὴν Λιβύην ἀπέβη, ἡ Καρχηδὼν οὔτε στρατὸν οὔτε στρατηγὸν ἐκείνῳ ἀντιτάσσειν ἐδύνατο· ὀλίγον γὰρ Ἀσδρούβᾳ ἐπίστευεν ἅτε νικηθέντι καὶ ἐξ Ἰβηρίας ὑπὸ τοῦ αὐτοῦ Σκηπιῶνος ἐξελαθέντι. — Ἐκεῖνοι ἥκιστα (ou ἐλάχιστα) τῇ τύχῃ ἐγκαλοῦσιν οἵτινες πολλάκις μάλιστα δοκοῖντ' ἂν ἔχειν ὅθεν αὐτῇ μέμφοιντο. — Αἱ μάχαι ὀλίγον τῶν μαχῶν, καὶ αἱ νῖκαι ὀλίγον τῶν νικῶν διαφέρουσιν· διὸ καὶ τὰ τῶν ἀνδρῶν ἤθη καὶ τοὺς τῶν πόλεων τρόπους τε καὶ νόμους μᾶλλον ἡδόμεθα μανθάνοντες ἢ τὰς τῶν πολέμων διηγήσεις καὶ τὰς τῶν μεγίστων στρατηγῶν πράξεις ἀκούοντες.

2. Εἰ ἐγίγνωσκον οἱ ἄνθρωποι πῶς τίμιός ἐστιν ὁ χρόνος, ἧσσον (ou ἔλασσον) ἂν αὐτοῦ ἀφειδοῖεν. — Ὡς (ou ὅσον) ἀνιῶνται ὅσοι τελευτῶντος ἤδη τοῦ βίου αἰσθάνονται κενὰ σπουδάσαντες καὶ μάταια ἐλπίσαντες. — Ἡ τῶν ἐφόρων κατάστασις πολὺ (ou μάλα ou σφόδρα) μὲν ἐν Σπάρτῃ τὴν τῶν βασιλέων δύναμιν ἠλάσσωσε, μόνον δὲ ἐν αὐτῇ τῇ πόλει καὶ κατ' εἰρήνην. — Ὁ συγγραφεὺς ὁ ἄγαν (ou περισσῶς) σπουδάζων ὅπως πᾶσι τοῖς ἀναγιγνώσκουσι χαρίσεται, κινδυνεύει ἀρέσκειν οὐδενί. — Ὁ ἄνθρωπος τοῦ ἀνθρώπου τὴν συνουσίαν τε καὶ ὁμιλίαν μετέρχεται· πῶς οὖν ὁ αὐτὸς ἐκεῖνος ἄνθρωπος πᾶσαν σχεδὸν διάνοιαν, πᾶσαν σχεδὸν ἐπιμέλειαν προσέχει τῷ τοῦ ἀνθρώπου ὀλέθρῳ; — Φίλιππος ἐδήλωσεν αὐτὸς πολλάκις ὡς τοὺς μὲν Ἀθηναίους μακαρίζει Δημοσθένην ἔχοντας, αὐτῷ δὲ αὐτὸν προσαρτήσασθαι ἐπιθυμήσειεν ἄν. — Οἱ μὲν Ἀντιγόνης λόγοι ὀλίγον τι Πολυνείκην τῆς ὀργῆς κατέπαυσαν· ἡ δὲ στυγηθέντος τοῦ ἀδελφοῦ παρουσία αὖθις τὸν θυμὸν αὐτοῦ ἤγειρε.

161ᵉ Exercice.

Suite des adverbes de quantité avec les verbes ordinaires.

Οἱ πάλαι ἥρωες οὔτε πολεμίους ῥωμαλεωτέρους φεύγοντες ᾐσχύνοντο· οὔτε μᾶλλον καρτερίᾳ τινὶ στωϊκῇ σεμνυνόμενοι ἀπείχοντο μὴ δακρύειν. — Ἆρ' οὐχ ἅλις (ou ἱκανῶς), μᾶλλον δὲ ἆρ' οὐκ ἄγαν (ou περισσῶς) ἐβίω ὅστις οὐ μόνον τοῖς οἰκείοις καὶ τοῖς φίλοις ἀλλὰ καὶ ἑαυτῷ ἐπιζῇ; — Ὡς (ou ὅσον) οἱ Ῥωμαῖοι τοὺς Κέλτας κατεφοβοῦντο· ὡς δὲ βαθέως ἡ τῆς Ῥώμης ἁλώσεως μνήμη ταῖς ψυχαῖς αὐτῶν ἐνεγέγραπτο. — Πολλάκις συμβαίνει ὅτι ἐκεῖνοι δὴ οἱ φίλοι, οἷς ἡμεῖς ἥκιστα (ou ἐλάχιστα) ἐπιστεύομεν καὶ ὧν μάλιστα ὠλιγωρήσαμεν εὖ πράττοντες, κακῶς πράττουσιν ἡμῖν ἐπικουροῦσιν. — Ἔνια μὲν ζῶα ὀλίγον ὑπνοῦται· ἕτερα δὲ τοὐναντίον τὸ πολὺ τοῦ ἔτους μένει τῷ ὕπνῳ νεναρκωμένα. — Δῆλον ὅτι οἱ πάλαι πατέρες τοσοῦτον μὲν τοὺς ἑαυτῶν παῖδας ἔστεργον ὅσον οἱ νῦν, ἀλλ' οὐχ οὕτως (ou οὐ τοσοῦτον) ἐχαρίζοντο αὐτοῖς. — Οἱ Λίγυες πολὺ θηρῶνται, ἵνα τὰ τῶν τῆς γῆς καρπῶν ἐλλείποντα τοῖς κρέασιν ἀναπληρῶσιν. — Οἱ Λακεδαιμόνιοι ἅτε ὀλίγον λαλοῦντες τοὺς Ἀθηναίους τῆς πολυλογίας μάλα (ou πολὺ ou σφόδρα) ἐθαύμαζον.

162ᵉ Exercice.

Adverbes de quantité avec les verbes de prix (*Grammaire*, § 628).

1. Πόσου ἐπωλεῖτο ὁ σῖτος Ἀθήνησιν ἐν τοῖς εὐπορωτάτοις ἔτεσιν; — Οἶνός τε καὶ πάντα τὰ καρπῶν γένη ἐν ταῖς τοῦ Αἰγαίου πελάγους νήσοις ἅτε περισσεύοντα ἐλαχίστου πωλεῖται. — Ἡ ἐκ τῶν ὅπλων δόξα, κἂν ὀλίγου (ou μικροῦ) ὠνία ᾖ, ἀεὶ πλείονος ἢ δεῖ πωλεῖται. — Ὅταν μὲν ἄργων ὁ

ἐπὶ τῇ τῶν σιτίων τιμῇ τεταγμένος διατιμῷ μὲν αὐτὰ οὐχ ὅσου δεῖ, οἱ ἀγροκόμοι τὸν σῖτον κρύπτοντες οὐκ εἰς τὴν ἀγορὰν κομίζουσιν· ὅταν δὲ πλείονος ἢ δεῖ, οἱ ἀστοὶ μόνον αὐτὰ τὰ ἀναγκαῖα ὠνοῦνται. — Δῆλον ὅτι τῶν μεγάλων ζωγράφων οἱ πλεῖστοι οὐδέποτ' ἂν ὑπολάβοιεν τὰ σμικρότατα αὐτῶν ἔργα τοσούτου μετὰ τὸν θάνατον αὐτῶν πωληθήσεσθαι. — Πῶς τῶν ἐμπόρων οἱ μὲν πλείονος, οἱ δὲ μείονος τὸ αὐτὸ ἐμπολῶσιν; — Ὁ Κορινθιακὸς χαλκὸς μάλιστα μὲν ἐσπουδάζετο, πλείστου δὲ ἐπωλεῖτο παρὰ τοῖς Ἕλλησι καὶ τοῖς Ῥωμαίοις. — Εἰ μειόνων ἔδει πρὸς τὸ πολεμεῖν, συχνότεροι δὴ γίγνοιντ' ἂν οἱ πόλεμοι. — Πολλάκις συμβαίνει, δυοῖν ἀνδρῶν συνθήκας πρὸς ἀλλήλους ποιησαμένων, τὸν μὲν ἄχθεσθαι ὡς οὐχ ὅσου δεῖ ἐμπολήσαντα, τὸν δὲ ὡς πλείονος ἢ δεῖ ὠνησάμενον δυσχεραίνειν.

2. Οἱ δοῦλοι οἱ μὲν νέοι ὄντες καὶ καλοὶ πλείστου ὤνιοι ἦσαν, οἱ δὲ τοὐναντίον δύσμορφοι καὶ ἀσχήμονες, οἷον ὁ Αἴσωπος, ὀλίγου ἐπωλοῦντο. — Ἐκεῖνος δὴ τὴν δόξαν πλείονος ἢ δεῖ ὠνεῖται, ὅστις αὐτὴν ἀντὶ τῆς ἑαυτοῦ εὐδαιμονίας ἐωνήσατο. — Πόσου παρεσκευάζετο τούτων τῶν Ῥωμαίων τὰ δεῖπνα οἵτινες οἷον ὁ Ἀπίκιος τὰ σπανιώτατα ἐκ πασῶν τῶν χωρῶν καὶ θαλασσῶν ἐξεπορίζοντο; — Οἱ στρατιῶται χρυσῷ καὶ ἀργύρῳ ἐστεγασμένοι πλείονος μὲν ὑπὸ τῶν δήμων καὶ τῶν βασιλέων παρασκευάζονται, ἔλασσον δὲ τοὺς πολεμίους βλάπτουσι τῶν σιδήρῳ ἐστεγασμένων. — Οὐκ οἶδα πότερον αἱ πυραμίδες αἱ ὑπερμεγέθεις τοσούτου δὴ καὶ μετὰ τοσούτων ἀνθρώπων ὀλέθρου οἰκοδομηθεῖσαι τοσούτου καὶ θαύματος ἄξιαι εἰσίν. — Αὗται αἱ πολυτελεῖς οἰκίαι, καὶ τὰ ζωγραφήματα, καὶ τὰ τίμια σκεύη, πάντα δὴ ταῦτα τὰ περισσὰ ἅτινα πλείστου ὑμεῖς ὠνεῖσθε, πωληθήσεται ἐλαχίστου μετὰ τὴν τελευτήν ὑμῶν. — Κάτων ὁ πρεσβύτερος ἠγάλλετο οὔποτε μὲν πλείονος ἢ ἑκατὸν δραχμῶν ὠνίαν φορήσας ἐσθῆτα, οὔποτε δὲ κρέας πρὸς τὸ δεῖπνον πλείονος ἢ τριάκοντα νούμμων ὠνησάμενος.

163ᵉ Exercice.

Adverbes de quantité avec les verbes d'estime (*Grammaire*, § 629).

1. Ὁ Τραϊανὸς περὶ ἐλαχίστου ἐποιεῖτο ὅσα μόνον πρὸς τὴν ἐπίδειξιν καὶ κενοδοξίαν λυσιτελεῖ. — Ὅσοι συγγραφεῖς οὐχ ὅσου δεῖ τιμῶνται ζῶντες, θανόντες ἐπαινοῦνται λίαν. — Τοῖς Βοιωτίοις ἐμέμφοντο ὅτι περὶ ὀλίγου (ou μικροῦ) μὲν τὰ μαθήματα καὶ τὰς τέχνας καὶ τὰ νοητὰ ἐποιοῦντο, πλείονος δὲ ἢ δεῖ τὴν τοῦ σώματος ἰσχὺν ἐτίμων. — Πολλοὶ τῶν κατ' Εὐριπίδην ζώντων περὶ ὀλίγου (ou μικροῦ) τὸν ποιητὴν ἐποιοῦντο ὃς οὐ μόνον θεοὺς καὶ ἥρωας ἀλλὰ καὶ ταλαιπωρουμένους ἀνθρώπους καὶ πτωχοὺς ῥάκεσιν ἠμφιεσμένους πρὸ ὀφθαλμῶν αὐτοῖς ἐτίθη. — Οἱ Σάμιοι τὴν ναυτικὴν πασῶν τῶν τεχνῶν πλείστου τιμῶντες ἀποι-

κίας τινὰς τὸ παλαίτατον πέραν τῶν Ἡρακλείων στηλῶν ἔστειλαν εἰς τὴν Ταρτησσὸν νῆσον. — Ὁ Ῥοῖκός τε καὶ ὁ Θεόδωρος οἱ τὸ ἀγάλματα σιδήρῳ ἐλαύνειν εὑρόντες, οὐ μείονος τῶν μεγίστων τεχνιτῶν ἐν Σάμῳ τῇ πατρίδι ἐτιμῶντο. — Περὶ πλείονος ποιοῦ καλὴν φήμην τοῖς παισὶν ἢ μεγάλην οὐσίαν καταλιπεῖν.

2. Νάξος ἡ τῶν Κυκλάδων μεγίστη ὀνομαστοὺς οἴνους φέρει πλείστου τῶν τῆς ἁπάσης Ἑλλάδος τιμωμένους. — Οὐεσπασιανὸς τὴν εὐγένειαν περὶ ὀλίγου (ou μικροῦ) ποιούμενος κατεγέλα τῶν τοῦ οἴκου αὐτοῦ τὴν ἀρχὴν πρὸς τὸν Ἡρακλέα ἀναγόντων. — Εἰ καὶ λαμπρά ἐστιν ἡ ἐκ τῶν ὅπλων δόξα, περὶ πλείονος τὴν ἐκ τῆς ἐπιστήμης καὶ ἐκ τῆς εὐφυΐας ποιούμεθα· πάντων δὲ ἐλαχίστου τιμῶμεν ἄνθρωπον τὸν μὲν ἠλιθίως τῇ ἐπιστήμῃ καὶ τῇ ἐμπειρίᾳ ἐπαιρόμενον, ἐπαίνων δὲ ἀπλήστως ἔχοντα. — Οὐ περὶ πλείονος ἢ δεῖ ποιήσασθαι δυνάμεθα τοὺς ἀνθρώπους οἵτινες οὐκ αἰσχύνονται ἐνίοτε ὁμολογοῦντες ἑαυτοὺς σφαλῆναι. — Ἐκ πάντων τῶν ἐνταῦθα ἀγαθῶν τὴν δόξαν περὶ πλείστου ποιοῦνται οἱ ἄνθρωποι (ou τῶν ἀνθρώπων) καὶ οἱ χρηστότατοι. — Ὁ βασιλεὺς τὴν τῶν πολλῶν δόξαν μὴ περὶ ὅσου δεῖ ποιούμενος κινδυνεύοι ἂν ἁμαρτεῖν ὁμοίως τῷ παρέχοντι ἑαυτὸν ἄγαν ἐπιθυμητὴν ἐπαίνων.

164ᵉ Exercice.

Suite des adverbes de quantité avec les verbes d'estime.

1. Πόσου οὖν τιμήσεις ὅσα ἐν αὐτῷ τῷ ἀνθρώπῳ, οἷον ἡ χρηστότης καὶ ἀρετή, ἔνεστιν, εἰ περὶ τοσούτου ποιῇ τὰ ἐκτὸς αὐτοῦ ὄντα, οἷον τὰ χρήματα καὶ τὸ ἀξίωμα καὶ τὴν μεγαλοπρέπειαν; — Οἱ Ἀθηναῖοι ὀλίγον μὲν Κίμωνα ὡς ἄγαν Λακεδαιμονίζοντα ἐφίλουν· ὅμως δὲ αὐτὸν μὴ οὐ περὶ πολλοῦ ποιεῖσθαι οὐκ ἠδύναντο. — Ἆρ' οὐ θαυμαστόν ἐστι παρὰ τοῖς Ἀθηναίοις τοὺς δὴ τῶν πολιτῶν ἐνδοξοτάτους, τοὺς παρὰ πάντων πλείστου τιμωμένους, ἐξοστρακίζεσθαι; — Τὰ ἔθνη τὰ μάλιστα τῶν πάλαι ἡμερωθέντα, οἷον δὴ οἱ Ῥωμαῖοι καὶ αὐτοὶ οἱ Ἕλληνες, οὔποτε τὸν ἀνθρώπων βίον ὅσου δεῖ ἐτίμησαν.

2. Οἱ μὲν τοῦ Σόλωνος νόμοι δοκοῦσί μοι θαυμάσιοι εἶναι· τοὺς δὲ τοῦ Λυκούργου οὐ περὶ τοσούτου ποιοῦμαι ἅτε μόνον πρὸς τὸ στρατιωτικόν τινα δῆμον ποιῆσαι τείνοντας. — Κικέρων μνημονεύει τοὺς τῆς Ἑλλάδος στρατηγοὺς τοὺς πλείστου τετιμημένους πλείστην ἐπιμέλειαν ποιήσασθαι ὅπως τὴν διάνοιαν τοῖς μαθήμασιν ἀσκήσωσιν. — Οἱ νεώτεροι νομοθέται ἐμοὶ δοκοῦσι περὶ μείονος τὴν παίδων ἀγωγὴν ποιεῖσθαι ἢ οἱ πάλαι. — Εἰ ὁ Δίων τὴν τῆς πατρίδος εὐδαιμονίαν οὐ περὶ πλείονος ἢ τὸν ἑαυτοῦ βίον ἐποιήσατο, οὐ δὴ τὴν Ἑλλάδα ἀπέλιπεν ἄν, ἐπεὶ πάντες ἐκεῖ οἱ γιγνώ-

σκοντες αὐτὸν ἐφίλουν τε καὶ ἥδοῦντο. — Αἱ ἐγγὺς πόλεις περὶ ὀλίγου (ou μικροῦ) μὲν τὸ Ῥωμαϊκὸν πλῆθος ἐποιοῦντο ἅτε ἅπαν ἐκ ποιμένων τε καὶ λῃστῶν καὶ δραπετῶν συνεστηκός· τάχα δὲ αὐτὸ φοβεῖσθαι ἠναγκάσθησαν.

165ᵉ Exercice.

Adverbes de quantité avec les comparatifs (*Grammaire*, § 630).

1. Πολλάκις ἐσημειώθη ὅσῳ ἡ τοῦ ἀέρος κατάστασις ἐν νήσοις τισὶν μετριωτέρα ἐστὶν ἤπερ ἐν ταῖς ἐγγὺς ἠπείροις. — Τὰ τῶν ῥυάκων ἐκφυσήματα καὶ τὰ σείσματα γῆς δοκεῖ γενέσθαι τὸ πάλαι πολλῷ (ou πολὺ) συχνότερα ἢ τὸ νῦν. — Νομίζεται τὸ πέλαγος τὸ Κάσπιον ἢ Ὑρκάνιον καλούμενον πάλαι πολλῷ (ou πολὺ) μακρότερον γενέσθαι, καὶ καθ' ἡμέραν σμικρύνεσθαι. — Εἰ Πομπήϊος ὀλίγῳ (ou μικρῷ) ταχύτερος καὶ ὀλίγῳ (ou μικρῷ) ἧσσον ἀπρονόητος ἐγένετο, πολλὰ πράγματα παρέσχεν ἂν Καίσαρι μένων ἐν Ἰταλίᾳ. — Ὅσῳ οἱ Ἑλληνικοὶ μῦθοι χαριέστεροί εἰσιν ἤπερ οἱ ἐκ τῶν ἐθνῶν τῶν πρὸς τὴν ἄρκτον Εὐρώπης οἰκούντων παραδεδομένοι. — Οἱ Λιβυκοὶ ἐλέφαντες ὀλίγῳ (ou μικρῷ) μὲν ἧσσον μεγάλοι καὶ ὀλίγῳ (ou μικρῷ) ἧσσον ῥωμαλέοι εἰσὶ τῶν Ἀσιατικῶν· πολλῷ (ou πολὺ) δὲ καὶ ἀγριώτεροι καὶ τιθασεύειν χαλεπώτεροι. — Ὁ μὲν Ἀναξαγόρας ἔλεγε τὸν Ἥλιον πολλῷ (ou πολὺ) μείζω εἶναι τῆς Πελοποννήσου, Ἡρακλείδης δὲ μόνον ποδιαῖον τὴν διάμετρον. — Ὅσῳ ἔτι θαυμασιωτέρα ἡ τῶν χηνῶν νόησις οἳ ὅταν Ταῦρον ὑπερβάλλωσιν, εἰς τὸ στόμα λίθον λαμβάνουσι μὴ τοὺς ἀετοὺς τῇ κραυγῇ προσάγωνται.

2. Περισσόν ἐστιν εἰπεῖν ὅσῳ τὰ τῶν Μουσῶν δοκεῖ μοι αἱρετώτερα εἶναι τῆς Ἀφροδίτης καὶ δὴ τῆς τοῦ Διὸς δυνάμεως. — Οἱ Βρεταννοὶ πολλῷ (ou πολὺ) μὲν ἁπλούστεροί καὶ βαρβαρώτεροί εἰσι τῶν Κελτῶν· ὥστε καίτοι γάλακτος εὐποροῦντες οὐδὲ τυροποιεῖν ἐπίστανται· ὅμως δὲ οἱ κατὰ τὴν παραλίαν κατοικοῦντες ὀλίγῳ (ou μικρῷ) ἧσσον ἄγριοί εἰσι διὰ τὴν τῶν ξένων ἐμπόρων ἐπιμιξίαν. — Ὅσῳ ἥδιόν τε καὶ μεγάλου βασιλέως ἀξιώτερον τὴν δύναμιν εὐεργετοῦντα ἐπιδεῖξαι ἢ κολάζοντα. — Τῶν τοῦ ποταμοῦ ὑδάτων καθ' ἡμέραν ἐλασσουμένων ὁ μὲν πλοῦς τοσούτῳ χαλεπώτερος ἐγίγνετο· προενοοῦμεν δὲ ὅτι οὐ πολλῷ (ou πολὺ) ἀνωτέρω ἀναπλεῖν ἂν ἐξείη ἡμῖν.

166ᵉ Exercice.

Adverbes de quantité avec les verbes de comparaison (*Grammaire*, § 630, *Remarque II*).

1. Ὅσῳ (ou mieux ὅσον) ὁ ταὼς τῶν ἑτέρων ὀρνίθων τῇ τῶν πτερῶν στιλπνότητι καὶ ποικιλίᾳ προέχει. — Καὶ οἱ ἄνδρες οἱ μάλιστα διαφέρειν τῶν ἄλλων δοκοῦντες οὐ παντάπασι καὶ αὐτοὶ ἐκτὸς τοῦ σφάλλεσθαι

καὶ τοῦ εἰκῇ τινὰ προδοξάζειν εἰσίν. — Δῆλον ὅτι οἱ Καρχηδόνιοι ὀλίγῳ μέν τινι (ou mieux ὀλίγον τι) τῶν Ῥωμαίων τοῖς χρήμασι καὶ τῇ ἐμπορίᾳ καὶ τῇ περὶ τὴν ναυτικὴν ἐμπειρίᾳ προεῖχον· ἀλλ' ὅσῳ (ou mieux ὅσον) ἐκεῖνοι καὶ ἀνδρείᾳ καὶ εὐταξίᾳ καὶ φιλοπατρίᾳ διέφερον αὐτῶν. — Ὁ Κικέρων οὐ τοσούτῳ (ou mieux τοσοῦτον) τῶν κατ' αὐτὸν ῥητόρων προέσχεν ἄν, εἰ μὴ ἅμα περὶ τοὺς λόγους τε καὶ τὴν φιλοσοφίαν διέτριψεν. — Οὐκ ἀπόχρη δὴ τῷ Πολυβίῳ ἀποδεῖξαι τοὺς Ῥωμαίους τῶν ἄλλων ἐθνῶν διαφέρειν, ἀλλὰ εἰδέναι βούλεται καὶ διὰ τί τοσούτῳ (ou mieux τοσοῦτον) προεῖχον ἐθνῶν ἅτινα οὔτε ἧσσον ἀνδρεῖα ἦν οὔτε ἧσσον σοφά. — Οὐδεμία ἐστὶ τῶν Ἑλληνίδων πόλεων ἥτις οὔ τι τῶν ἄλλων διαφέρει· ἕτεραι μὲν γὰρ πολλῷ (ou mieux πολὺ) τῇ τῶν ἐνοικούντων εὐτεχνίᾳ, ἕτεραι δὲ τῇ τῆς χώρας εὐκαρπίᾳ, ἕτεραι δὲ τῇ ἐμπορίᾳ, ἕτεραι δὲ τῇ τῶν ἀθλητῶν ῥώμῃ τε καὶ δόξῃ, τέλος δὲ ἕτεραι τῇ περὶ τοὺς λόγους σπουδῇ καὶ μεγάλων ἀνδρῶν πλήθει ὧν ἐγέννησαν παντοίων.

2. Ἐνίαι γυναῖκες ἅτε πολλῷ τῆς ἑαυτῶν φύσεως κρείττονες οὖσαι τὰς μεγίστας βασιλείας εὐκλεῶς ἦρξαν, καὶ δὴ πολέμους πολεμήσασαι καὶ χώρας καταστρεψάμεναι δόξαν ἐκτήσαντο. — Ἴσασι μὲν οἱ Ἀθηναῖοι ὅσῳ (ou mieux ὅσον) ὁ Φωκίων ὑπερβάλλει τοὺς ἄλλους στρατηγοὺς καὶ φρονήσει καὶ ἐμπειρίᾳ καὶ ἀνδρείᾳ· ὅμως δὲ αὐτῷ οὐ χρῶνται ἡγεμόνι εἰ μὴ ἐν τοῖς ἐσχάτοις κινδύνοις, διότι οὐδέποτ' ἐθώπευσεν αὐτούς. — Οὐ δεῖ πιστεύειν τοὺς ἀνθρώπους ῥᾳδίως ὁμολογεῖν ἥττονας ὄντας καὶ τῶν μάλιστα τοὺς ἄλλους ὑπερβαλλόντων. — Οὐδὲν μᾶλλον τὴν τῶν πολιτῶν πρὸς ἀλλήλους φιλοτιμίαν ἐγείρει ἢ τὸ μισθὸν διδόναι εἴ τις τῶν ἄλλων ὀλίγῳ τινὶ (ou mieux ὀλίγον τι) διαφέρει. — Οὐδεὶς θαλάσσης αὐχὴν τῷ Θρακίῳ Βοσπόρῳ δύναται παραβάλλεσθαι. Ὅσῳ (ou mieux ὅσον) γὰρ πάντων προέχει τῷ τῶν αἰγιαλῶν κάλλει, καὶ τῇ τῶν ὅρμων ἀσφαλείᾳ, καὶ τῇ ἀπείρῳ τῶν σκηνογραφικῶν ὄψεων ποικιλίᾳ ἃ τοῖς πλέουσιν ὁρᾶν παρέχει.

167ᵉ Exercice.

Autant, aussi, tant, si (*Grammaire*, § 631).

1. Ἤσθετο ὁ Φίλιππος τὴν τῶν Περσῶν δύναμιν οὕτω τὸ πάλαι φοβερὰν οὖσαν ἤδη ἀπέρρειν. — Ὁ Κῦρος τάχα τὴν τῶν λοχαγῶν καὶ τῶν στρατιωτῶν εὔνοιαν ἐκτήσατο· οὕτω γὰρ πᾶσιν ἐπιεικῶς καὶ πρᾴως ἐχρῆτο. — Τοῖς τοῦ Λυκούργου νόμοις ἀπείρητο μηδένα τῶν Λακεδαιμονίων ἀποδημῆσαι· οὕτως ἐδεδοίκει ὁ νομοθέτης ἐκεῖνος μὴ ἐξ ἄλλων πόλεων ξένα ἤθη καὶ ἀσελγεῖς τρόπους ἀνακομίζοιντο. — Πρὸ τοῦ Λυκούργου ὀλίγοι μὲν πολῖται πάντας τοὺς ἀγροὺς ἐκέκτηντο· οἱ δὲ ἄλλοι λιμῷ ἐπιέζοντο·

τοσαύτη ἦν ἡ τῶν τάξεων ἀνισότης. — Οἱ τῶν Περσῶν βασιλεῖς γέρας τοῖς σατράπαις ἐδίδοσαν ὧν αἱ ἐπαρχίαι βέλτιστα ἐγεωργοῦντο· τοσούτου ἐκεῖνο τὸ ἔθνος καὶ πλούτῳ καὶ τρυφῇ διεφθαρμένον ἔτι τότε τὴν γεωργίαν ἐτίμα. — Οἱ τὴν Σάμον οἰκοῦντες ἦσαν τὸ πάλαι τῶν ἡμετέρων νησιωτῶν πλουσιώτατοι, τοσοῦτον χρυσοῦ καὶ ἀργύρου τῶν τῆς γῆς κόλπων ἐξεῖλκον. — Εἰ οἱ τὴν Νάξον οἰκοῦντες οὐ τοσαύτας ναῦς εἰς Σαλαμῖνα καὶ τοσούτους στρατιώτας εἰς Πλαταιὰς ἔπεμψαν τοῖς Ἕλλησι βοηθοῦντες, οὔτε ἡ δύναμις αὐτῶν οὕτως ὕποπτος τοῖς Ἀθηναίοις γένοιτ' ἄν, οὔτε οὕτω ταχὺ αὐτοὶ καταδουλωθεῖεν ἄν.

2. Πρὸ τοῦ Ἀρχιλόχου οὐδεὶς μὲν οὐδέποτε τῶν Ἑλλήνων ποιητὴς τοσαύτην ἐνέργειαν καὶ ἰσχὺν ἔδειξεν, πάλιν δὲ οὐδέποτε τοσαύτῃ εὐφυΐᾳ οὕτω στυγερὰ καὶ πονηρὰ ἤθη προσῆν. — Οἱ Κῷοι ναὸν Ἀπόλλωνι ᾠκοδομήκασι καὶ μάλιστα Ἀθηνᾶν καὶ Διόνυσον σέβουσιν· τοσαύτῃ εὐσεβείᾳ τὴν τῶν θεῶν εὔνοιαν κτήσασθαι δοκοῦσιν. — Οἱ δὲ εἰς τέσσαρας πόλεις διειλημμένοι εἰσίν· οὕτω τὸ τῶν τήνδε τὴν νῆσον ἐνοικούντων πλῆθος ταχέως ηὐξήθη. — Πάντα τὰ ἔθνη τὰ θαλασσοκρατήσαντα ταῖς Κυκλάσιν ἐκ διαδοχῆς ἐπέβαλεν ἢ κατεστρέψατο αὐτάς· περὶ τοσούτου τὰς εὐδαίμονας καὶ πολυανθρώπους νήσους κτήσασθαι ἐποιεῖτο. — Ἰσμήνου τὰς τοῦ Λάδωνος συμφορὰς ᾄδοντος, ἔκπληξις ἐναλλὰξ καὶ οἶκτος ἡμᾶς εἰσῄει· οὐδέποτε γὰρ οὔτε ἡ Ὀρφέως λύρα οὔτε ἡ τῶν Σειρήνων φωνὴ οὕτω παθητικὸν ἤχησεν. — Σὺ τὰ ἀγαθά σου ἀπέβαλες· τοσούτῳ ἄμεινον, λέγει ὁ σοφός· τὸ λοιπὸν γὰρ τῇ τύχῃ ἧσσον λαβὴν δώσεις. — Οὕτω στυγερόν ἐστι τῶν ἀνθρώπων τοῖς πλείστοις τὸ φῶς δι' οὗ αὐτοί τε ἑαυτοῖς φανεροὶ γίγνονται καὶ εἰδέναι ποῖοί τινές εἰσι ἀναγκάζονται. — Αἱ πλεῖσται τῶν πόλεων εἰς δύναμίν τινα ἐληλακυῖαι παρακμάζειν ἤδη ἄρχονται· τοσούτῳ χαλεπώτερόν ἐστι καλῶς πράττοντα διατελεῖν ἢ πράττειν καλῶς.

168e Exercice.

Suite de *autant*, *aussi*, *tant*, *si*.

1. Οἱ ἡμέτεροι ποιηταὶ διὰ τοῦτο μόνον τὸ ἔαρ ἐπόμβριον ὂν παρ' ἡμῖν οὕτως ᾄδουσιν, ὅτι ἐν Ἑλλάδι εὔδιόν ἐστι τὸ ἔαρ· τοσοῦτον ἰσχύει τὸ μιμεῖσθαι. — Κῦρος πᾶσι τοῖς στρατιώταις τὴν λείαν διένειμε τὴν ἐν τῷ τῶν Ἀσσυρίων στρατοπέδῳ εὑρεθεῖσαν· οὕτως αὐτὸς περὶ ὀλίγου τὰ χρήματα ἐποιεῖτο. — Κλαύδιος ὁ Σεβαστὸς ὃς χρηστὸς ἀνὴρ ἐν τῷ κατ' ἰδίαν βίῳ ἴσως ἂν ἐγένετο, κακὸς βασιλεὺς ἦν· τοσοῦτον δὴ αἱ βασιλικαὶ ἀρεταὶ τῶν ἰδιωτικῶν διαφέρουσιν. — Νομίζειν ἔξεστι Κικέρωνα Ἀντωνίῳ οὐκ ἐπιχειρῆσαι ἂν μετὰ τοσαύτης σφοδρότητος, εἰ μόνον τῇ περὶ τὸ κοινῇ συμφέρον σπουδῇ παρωρμήθη. — Δατάμης μόνος ἐστὶ τῶν βαρβάρων οὗ

Κορνήλιος τὸν βίον διηγεῖσθαι ἠξίωσε· τοσούτῳ γὰρ πάντων τῶν ἑτέρων Περσῶν κρείττων αὐτῷ εἶναι ἐδόκει. — Πᾶς τις ἄλλος ἢ Ἀγησίλαος ἴσως οὐχ οὕτω ταχέως τοῖς ἐφόροις ὑπακούσαι ἂν τοῖς ἀνακαλοῦσιν αὐτὸν, ὅτε εἰς αὐτὴν τὴν Περσίδα εἰσβάλλειν ἔμελλεν.

2. Τῶν μὲν εἰ ἀκούεις, λέξουσιν ἀεὶ τελευτῶντες· « Τοσούτῳ οἵ ποτε ἄνθρωποι καὶ ἰσχυρότεροι καὶ ἀνδρειότεροι καὶ χρηστότεροι τῶν νῦν ἦσαν· » εἰ δὲ τῶν ἄλλων· « Τοσούτῳ οἵ ποτε ἄνθρωποι καὶ ἀγριώτεροι καὶ ἀπειρότεροι καὶ βιαιότεροι καὶ πονηρότεροι ἦσαν τῶν νῦν. » — Ἐκεῖνοι αὐτοὶ οἱ μάλιστα τῇ τοῦ Κράσσου ἀναβάσει ἐναντιούμενοι οὔτε οὕτως αὐτὸν ἀθλίως ἀπολεῖσθαι, οὔτε τὸν Ῥωμαϊκὸν στρατὸν οὕτω ταχέως διαφθαρήσεσθαι προεώρων.— Ἀνήρ τις τῶν Λακεδαιμονίων ἐρωτηθεὶς διὰ τί πώγωνα οὕτω μακρὸν φορεῖ· « Ἐξ οὗ γὰρ, εἶπεν, ὁ χρόνος αὐτὸν ἐλεύκανεν, ἀδιαλείπτως με ὑπομιμνήσκει ὅπως μὴ τὸ γῆρας μου καταισχύνω. » — Σπαρτιάτην τινὰ ἀποδημήσαντα καὶ τὴν ῥητορικὴν μελετήσαντα οἱ ἔφοροι ἐκόλασαν ἐπεὶ ἐπανῆλθεν, ὡς τοὺς ἄλλους ἐξαπατᾶν μαθόντα· οὕτω τὴν ῥητορικὴν ἐβδελύσσοντο. — Τὰ ἄνανδρα τῶν πράξεων ἃ τὸ πάλαι οὕτω σπάνια ἦν παρὰ τοῖς Ῥωμαίοις οὐδεὶς νῦν θαυμάζει.

169ᵉ Exercice.

Que après *autant*, *aussi*, *tant*, *si* (*Grammaire*, § 632).

1. Οἱ Σπαρτιᾶται ἐκ παίδων εἰθισμένοι μετὰ τοσαύτης ἐνεργείας ὅσης ἀκριβείας φράζειν, σιωπῶσιν ἢ οὐδὲν εἰ μὴ σπουδαῖον λέγουσιν. — Φίλιππος οὐχ οὕτω τῇ ἑαυτοῦ δυνάμει ὡς τῇ ἡμῶν ἀμελείᾳ ηὐξήθη. — Τίς λοιμὸς, τίς σεισμὸς τοσαύτας πόλεις ἀπεῤῥόφησεν, καὶ τοσούτους ἄνδρας ἀνεῖλε, καὶ τοσαῦτα ἔθνη ἠφάνισεν ὅσα ἡ ὀργή ; — Οὐδενὶ μὲν καιρὸς ἐγένετο τοσαῦτα χρήματα ἀθροίζεσθαι ὅσα Ἀγησιλάῳ, οὐδεὶς δὲ οὕτως ἀφιλάργυρος ὢν ἐδήλωσεν. — Οὐδεὶς ἄνθρωπος τοσούτους κινδύνους ἐκινδύνευσεν ὅσους ὁ ναύτης· οὐδεὶς μέντοι οὕτω τοῦ ἑαυτοῦ ἐπιτηδεύματος ἀντέχεται.— Οἱ Λακεδαιμόνιοι οὐ τὴν ἀνδρείαν περὶ τοσούτου ἐποιοῦντο ὅσου τὴν φρόνησιν· ἐκείνη μὲν γὰρ τῆσδε πολλῷ κοινότερον. — Ὁσάκις ἐδίδαξεν ἡμᾶς ἡ ἐμπειρία τὴν ἀδοξίαν τε καὶ τὴν πενίαν οὐχ οὕτως ὡς τὰ χρήματα καὶ τὴν δύναμιν καὶ τὴν δόξαν ἐπικίνδυνον οὖσαν. — Ἀντισθένης τε καὶ Ἀρίστιππος ἀμφότεροι πρὸς τὸν Σωκράτην ἐφοίτησαν· ἀλλ' ὁ μὲν οὕτως ἦν σκυθρωπὸς καὶ σκληρὸς ὡς ἱλαρὸς καὶ ἐπιεικὴς ὁ ἕτερος. — Οἱ Ῥωμαῖοι τοσοῦτον Δομιτίανον ἐβδελύσσοντο ὅσον τὸν ἀδελφὸν ἐκείνου Τίτον ἠγάπησαν.

2. Οἱ Σπαρτιᾶται οὐ τοσοῦτον οἴνῳ πρὸς τὸ ποτὸν ἐχρῶντο ὅσον ὕδατί τε καὶ ὀῤῥῷ. — Οἱ πάλαι τοσούτους θεοὺς ἐπενόησαν ὅσαι τῷ ἀνθρώπῳ οὐ μόνον ἀρεταὶ ἀλλὰ καὶ κακίαι ἔνεισιν. — Τοῖς Ῥωμαίοις εἰκότως

ἐμέμψαντο ὡς τοσαῦτα κακὰ τὸν Ἀννίβαν λέξασιν ὅσα ἐκείνους αὐτὸς εἰργάσατο· καὶ ταῦτα δὴ ἐκείνου ἐκ πολλοῦ ἀποθανόντος. — Ὁ Πύῤῥος τοσοῦτον τῷ πείθειν τοὺς ἀνθρώπους διέφερεν ὅσον τῷ τῶν πολεμικῶν ἐμπειρότατα ἔχειν. — Ὁ Λούκουλλος τηλικαύτην αἰσχύνην διὰ τὴν χλιδὴν καὶ τρυφὴν ὤφλησεν ὅσην δόξαν ταῖς πράξεσιν ἐκτήσατο τῷ Μιθριδάτῃ πολεμῶν. — Γέλων πρὸς τὸ τῆς βασιλείας τέλος οὕτως ἀγαπητὸς ἦν ὡς ἐξ ἀρχῆς ἐγένετο φοβερὸς, ἡνίκα τοὺς μὲν τὰ ἑαυτῶν ἀγαθὰ ἀφῄρει, τοὺς δὲ ἐφυγάδευεν ἢ ἐθανάτου. — Τὰ Κορινθιακὰ ἀγγεῖα τοσούτου τιμητά ἐστιν ἐπὶ τῷ τῶν κοσμημάτων κάλλει καὶ τῇ τοῦ ἔργου λεπτότητι ὅσου ἐπ' αὐτῇ τῇ ὕλῃ. — Τῶν ἐξεταζόντων οἱ πλεῖστοι οὐ σπουδάζουσιν οὕτω τὴν ἑαυτῶν γνώμην καταστῆσαι ὡς τὴν τῶν ἄλλων ἐλέγξαι.

170e Exercice.

Suite de *que* après *autant*, *aussi*, *tant*, *si*.

1. Οἱ πανοῦργοι οὔποτε οὕτω τὴν τελείαν ἑαυτῶν ἁπλότητα καὶ τὴν πίστιν διαβεβαιοῦνται ὡς ἀπατᾶν μέλλοντες. — Οἱ Λίγυες χώραν νέμονται οὐχ οὕτως εὔκαρπον ὡς οἱ Τυῤῥηνοί. — Φησὶ Διόδωρος ὁ Σικελὸς τοὺς λίθους ὑπὸ τῶν ἐκ τῶν Βαλιαρεῶν νήσων σφενδονητῶν βαλλομένους οὕτω μακρὰν φέρεσθαι ὡς εἰ καταπέλτῳ τινὶ ἐβέβληντο. — Οὔτε χρυσὸς οὔτε ἄργυρος οὔτε χαλκὸς οὔτε σίδηρος οὐδαμοῦ τῆς γῆς οὕτως ἄφθονος καὶ ἀγαθός ἐστιν ὡς ἐν τῇ τῆς Ἰβηρίας χώρᾳ τῇ Τουρδιτανίᾳ λεγομένῃ. — Οἱ παρόντες χρόνοι ἆρ' οὐχ ἡμῖν ὁρᾶν παρέχουσιν τοσαῦτα κατορθώματα καὶ πταίσματα περίβλεπτα, τοσαύτας τε ἐξαίφνης μεταβολὰς καὶ ὑψηλὰς ἀρετὰς, τοσαῦτά τε ἀδικήματα καὶ δεινὰ τιμωρήματα ὅσα οἱ παρεληλυθότες; — Οἱ ἡμέτεροι πρόγονοι ἧσσον ἢ πλούσιοι ἢ κεναυχεῖς ὄντες οὐ μὲν τοσούτου ὅσου ἡμεῖς τὰ τῶν μεγάλων ζωγράφων καὶ τῶν μεγάλων γλυφέων ἔργα ὠνοῦντο, βέλτιον δὲ αὐτὰ ἐδοκίμαζον. — Ἡ μὲν σιωπῶσα τοῦ Ἀχιλλέως μετὰ τὸν Πατρόκλου φόνον λύπη, ἡ δὲ Νιόβης μετὰ τὸν τῶν παίδων θάνατον ἆρ' οὐ τοσοῦτον κινεῖ ἡμᾶς ὅσον δάκρυά τε καὶ λυγμοὶ καὶ οἰμωγαί;

2. Ὁ τῶν ἡρώων θυμὸς οἵους εἴκασεν ὁ Αἴσχυλος οὕτως ἄκαμπτός ἐστιν ὡς ἡ ἀνάγκη ὑφ' ἧς θλίβονται· ἡ γοῦν Κλυταιμνήστρα τὸν ἄνδρα ἑαυτῆς κατασφάξασα τὸ μιαρὸν πρᾶγμα μετὰ τηλικαύτης ἡσυχίας διηγεῖται ἡλίκης εἰ τὸ πάντων δικαιότατον ἔπραξεν, τὸ φόνον Ἰφιγενείας οὕτω τιμωροῦσα. — Ὦ τοῦ ἀνθρωπίνου μεγέθους, ὦ λαμπρῶν τε καὶ κενῶν εἰδώλων ἃ σκιὰ μία ἐξαμαυροῖ ἄν, ἓν δάκρυ ἐξαλείφοι· ὥστε τὸν ἄνθρωπον τοσοῦτον τῆς εὐτυχίας ὅσον τῶν δυστυχημάτων οἰκτείρω. — Οὕτως ἄνους ἐστὶν ὁ νέον λέοντα τρέφων καὶ φειδόμενος αὐτοῦ ἔτι δει-

μαίνοντος ὡς ὁ ἐκείνῳ οὐκέτι οὐδὲν δειμαίνοντι ἀντιστάς. — Ἐνόμιζον οἱ Ἕλληνες τὴν φύσιν τοῖς πάλαι ἥρωσι σῶμα εὐμέγεθες δοῦσαν ἅμα τῷ αὐτῶν προσώπῳ σεμνόν τι ἐγχαράξαι δι' οὗ τοσοῦτον τοῖς ἄλλοις τὴν αἰδῶ ὅσον διὰ τῆς περικειμένης παρασκευῆς ἐνειργάζοντο.

171ᵉ Exercice.

Suite de *que* après *autant*, *aussi*, *tant*, *si* (*Grammaire*, § 632, et *Remarque I*).

1. Εὐριπίδης ὑπὸ τῶν ῥητόρων διὰ τὴν λογιότητα ἐτιμᾶτο ὅσου ὑπὸ τῶν φιλοσόφων διὰ τὸ δόγμα. — Εὐριπίδης, Πλάτωνι δὴ καὶ Ζήνωνι καὶ πᾶσι τοῖς ἄλλοις τοῦτό γε ὅμοιος τοῖς ἐν τέχνῃ, ἡτισοῦν ἐστὶν, τοῦ τελείου ἐφιεμένοις, τὰ ἑαυτοῦ ἔργα μετὰ τοσαύτης ἀκριβείας ὅσης φιλόνεικός τις ἐξήταζεν. — Τὴν κωμῳδίαν ὑπὸ Ἐπιχάρμου τοῦ Σικελοῦ ποιητοῦ εὑρεθεῖσαν οἱ Ἀθηναῖοι προθύμως ἐδέξαντο ὡς καὶ τὴν τραγῳδίαν. — Οἱ τῶν Ἀθηναίων κωμῳδοποιοὶ τοὺς θεοὺς ὅσον τοὺς ἀνθρώπους ἐπέσκωπτον, τὴν δὴ ἄγαν τοῦ Διονύσου δειλίαν καὶ τὴν ἄπληστον τοῦ Ἡρακλέους λαβρότητα γέλωτα τῷ πλήθει τιθέμενοι. — Ἡ Μίλητος τοῖς μνημείοις ἃ τῆς πόλεως τὰ ἔνδον κοσμεῖ ὅσον τῷ κάλλει τῆς χώρας ἐν ᾗ κεῖται διαφέρει. — Φασὶ συγγραφεῖς τινὲς οὐδὲν εἰς τὰ τῶν ἐθνῶν ἤθη καὶ τὰς κακίας καὶ ἀρετὰς ῥοπὴν ἔχειν ὅσην τὴν τοῦ ἀέρος κατάστασιν. — Οὐδεμία ἄλλη τῆς Ἀσίας χώρα ἄνδρας τὴν εὐφυΐαν θεσπεσίους ἐγέννησεν ὅσους ἡ Ἰωνία· ἐκεῖ γὰρ καὶ Ὅμηρος, καὶ Ἡσίοδος, καὶ Ἱπποκράτης καὶ Θάλης καὶ Παῤῥάσιος καὶ πολλοὶ ἄλλοι ἐγένοντο. — Πίνδαρος Ῥόδον Ἡλίου ἄλοχον καλεῖ· οὐδαμοῦ γὰρ οὗτος ὁ θεὸς θεραπεύεται ὅσον παρὰ τοῖς Ῥοδίοις.

2. Οἱ ἡμέτεροι πρόγονοι τὰ ἔθνη τοῖς εὐεργετήμασιν ὅσον τοῖς ὅπλοις κατέστρεφοντο, ὥστε μᾶλλον τῆς οἰκουμένης προστάται ἦσαν ἢ δεσπόται. — Οὐδεμία ἑτέρα πόλις τῇ ἑαυτῆς ἀρχῇ καὶ τοῖς πάλαι βασιλεῦσιν καὶ τοῖς ἥρωσιν οἳ ἐν ταύτῃ τῇ χώρᾳ ἐφάνησαν σεμνύνεται ὡς ἡ Τροιζήν. — Ὀλίγοι εἰσὶ θεοὶ ἢ ἥρωες περὶ ὧν μυθολογοῦσιν ὅσα περὶ τοῦ Ἀσκληπιοῦ ὃς τῆς ἰατρικῆς πατὴρ γενέσθαι νομίζεται. — Οὐδὲν οἱ ξένοι θαυμάζουσιν ὡς τὰ καλὰ ἔπη τὰ ταῖς θύραις τοῦ ἐν Ἐφέσῳ Ἀσκληπιείου ἐπιγεγραμμένα· « Μόνον τοὺς ὁσίους ἐνταῦθα εἰσιέναι θέμις. » — Σχεδὸν οὕτω χαλεπόν ἐστι γιγνώσκειν πῶς δεῖ τοὺς ἀνθρώπους διοικεῖν ὡς τίνι τρόπῳ ὁ κόσμος διοικεῖται. — Ἠξίου Πλάτων τῶν πολεμιστῶν τὰς ψυχὰς καὶ τοὺς νοῦς τῇ μουσικῇ ἐπιμελῶς ῥυθμισθῆναι ὡς τὴν τῶν σωμάτων ἰσχὺν καὶ ὑγίειαν τοῖς γυμνάσμασιν αὐξηθῆναι. — Ὁ ἀληθῶς σοφὸς τοῦ λίαν χαίρειν ἀποστήσεται ὅσον τοῦ ὑπερμέτρως ἄχθεσθαι. — Οὐδὲν μὲν οὕτω ῥᾴδιόν ἐστιν ὡς πολιτείας τινὰς πρὸς τὴν τῶν δήμων εὐδαιμονίαν ἐπινοῆσαι, οὐδὲν δὲ οὕτω χαλεπὸν ὡς αὐταῖς χρῆσθαι. — Οὐδεμία χώρα σῖτον τοῖς Ἀθηναίοις πο-

ρίζει ὅσον Παντικάπαιον καὶ Θεοδώρα αἱ ἐν τῇ Ταυρικῇ Χεῤῥονήσῳ. — Οἱ Ἀθηναῖοι τόκον ἀργυρίου λαμβάνουσιν ἡλίκον δύνανται· οὐδεὶς γὰρ παρ' αὐτοῖς νόμος ἐστὶ περὶ τοῦ δανεισμοῦ. — Εἰ καὶ τὰ χρυσοῦ μέταλλα τὰ ἐν Θάσῳ οὐ νῦν φέρει κέρδος ὅσον ἐξ ἀρχῆς, ὅμως ἔτι νομίζεται τῆς Ἑλλάδος εἶναι ἀφθονώτατα. — Ἐν τῇ Ἀττικῇ οἱ πλούσιοι πολῖται μόνοι μὲν εἰς τὰς τῆς πόλεως χρείας χρήματα εἰσφέρουσιν, ἀνάγκη δὲ αὐτοῖς ναυτικόν τι ἰδίοις τέλεσι τρέφειν ὅσον ἀπήτησεν ὁ καιρός. — Ἡ μὲν ζωγραφικὴ μᾶλλον τοὺς ὀφθαλμοὺς τῇ τῶν χρωμάτων λαμπρότητι καὶ τερπνότητι ἐκπλήσσει, τὰ δὲ ἐξ αὐτῆς γιγνόμενα οὐ μόνιμα ὡς τὰ ἐκ τῆς ἀρχιτεκτονικῆς καὶ τῆς τορευτικῆς ἐστίν.

172e Exercice.

Autant que personne, autant que quoi que ce soit (Grammaire, § 632, Remarque II).

1. Πολύκλειτος πάντων μὲν τῇ τορευτικῇ κρείττων, δεινὸς δὲ καὶ τὴν ἀρχιτεκτονικὴν ὢν ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος), ναόν τινα κομψὸν ἐν ἄλσει κατ' Ἐπίδαυρον ἐγγὺς τοῦ Ἀσκληπιείου ᾠκοδόμησεν. — Τηλέμαχος τὸν μὲν ἔπαινον ἠγάπα ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος), μόνον δὲ τὸν κατ' ἀξίαν. — Ἡ δόξα ἀβέβαιον, καὶ ἡ εὐφημία σαθρὸν ὡς οὐδὲν ἄλλο (ou ὡς οὐδὲν ἕτερον). — Φίλιππος ὁ Μακεδὼν ὢν μὲν ὑβρίσθη ἐμνησικάκει ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος), τὴν δὲ διάνοιαν κρυπτόμενος τὸν τοῦ τιμωρήσασθαι καιρὸν ἡσύχως περιέμενεν. — Αἱ Κυκλάδες, καίπερ σμικραὶ οὖσαι, ἔνδοξοι ὡς οὐκ ἄλλαι τῶν τῆς οἰκουμένης νήσων εἰσί. — Δημήτριος ὁ φιλόσοφος ἀπελευθέρῳ τινὶ πλουσίῳ ὄντι καὶ μέγα δυναμένῳ ἔλεγεν ἑαυτὸν ῥᾳδίως ὡς οὐδένα ἄλλον (ou ὡς οὐδένα ἕτερον) πλουτισθήσεσθαι, καθ' ἣν ἡμέραν τῆς ἀρετῆς αὐτῷ μεταμελήσει. — Ὁ Διογένης ἦν μὲν μεγαλόφρων καὶ δὴ καὶ κεναυχὴς ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος), τὸ δὲ φρόνημα ἐν ἑτέρῳ τινὶ ἐτίθετο. — Οἱ Ἀρκάδες, εἰ καὶ πολλάκις ἐν τοῖς τῶν ἄλλων Ἑλλήνων στρατεύμασι μισθοφοροῦσι, φιλελεύθεροί εἰσιν ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος). — Ἐγγὺς τῆς Φενεοῦ πόλεως ἐν τῇ Ἀρκαδίᾳ ἔστιν ὀχετός τις πεντήκοντα σταδίων τὸ μῆκος, καὶ τριάκοντα ποδῶν τὸ βάθος, καλὸς δὴ ὢν ὡς οὐδέν τι ἄλλο (ou ὡς οὐδέν τι ἕτερον).

2. Εἰ καὶ εὐτελὴς ἦν ὁ τοῦ Ἐπαμεινώνδου τύμβος, ἡ τούτου τοῦ στηλιδίου ἐξ οὗ ὁ τοῦ ἥρωος θυρεὸς ἐξήρτηται ὄψις ἡμᾶς ἐκίνησεν ὡς οὐδὲν ἄλλο (ou ὡς οὐδὲν ἕτερον). — Ἤδει μὲν Κοριολανὸς ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος) τῷ δήμῳ ἀπεχθὴς ὤν, τὴν δὲ παρὰ τῶν πολλῶν ἀπέχθειαν ὑπερορῶν ἐφιλοτιμεῖτο. — Γιγνώσκουσι μὲν οἱ τύραννοι ἐκείνους οἷς χρῶνται ὅτι μιαροί εἰσι, πάλιν δὲ ἴσασιν ἑαυτοὺς οὐ χρῆσθαι

ἂν συνεργοῖς μᾶλλον ὑπηκόοις τε καὶ μᾶλλον θεραπευτικοῖς. — Ξενοφῶν τὴν μὲν πατρίδα ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος) ἐφίλει, οὐ δὲ ἠδύνατο τὴν τῆς Σπάρτης εὐταξίαν μὴ προκρίνειν τῆς ἐν Ἀθήναις οὔσης ἀκολασίας. — Οἱ νομάδες ἄνθρωποι τὴν μὲν θήραν μόνον καὶ τὴν ἁλιείαν περὶ πολλοῦ ποιοῦνται, τῆς δὲ γεωργίας καὶ τῶν ἐπιδιφρίων τεχνῶν ὡς οὐδενὸς ἄλλου (ou ὡς οὐδενὸς ἑτέρου) καταφρονοῦσιν. — Ἡ τῶν καλῶν ὧν οἱ πάλαι Ἕλληνες ἔπραξαν μνήμη συνήνεγκεν ὡς οὐδὲν ἄλλο (ou ὡς οὐδὲν ἕτερον) πρὸς τὴν τῶν νῦν Ἑλλήνων ἀνάστασιν. — Ὁ Τραϊανός, εἰ καὶ πρᾷος καὶ φιλάνθρωπος ἐπεφύκει, ἀμετάπειστον ἑαυτὸν ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος) παρεῖχεν, ὅτε φοβοῖτο μὴ ἡ ἐπιείκεια μαλακία εἶναι νομίζοιτο. — Ὁ Σωκράτης πᾶσαν ἐπιστήμην τὴν μὴ πρὸς ἀνθρώπου (ou τῶν ἀνθρωπίνων) γνῶσίν τε καὶ διόρθωσιν ἀνήκουσαν ὡς οὐδὲν ἄλλο (ou ὡς οὐδὲν ἕτερον) παρεώρα. — Ἀλκιβιάδης ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος) ἔπαθεν ἃ ὑπερβάλλοντα ἔχει ἡ παρὰ τῶν πολλῶν καὶ ἀπέχθεια καὶ χάρις. — Ἐθεωρήσαμεν περὶ τὸ ἐν Σάμῳ Ἡραῖον τρία ἀγάλματα ὑπὸ τοῦ ἐνδόξου Μύρωνος πεποιημένα, καλὰ δὴ ὄντα ὡς οὐδὲν ἄλλο (ou ὡς οὐδὲν ἕτερον).

178ᵉ Exercice.

Plus que personne, plus que quoi que ce soit (Grammaire, § 632, Remarque III).

1. Τοῖς μέγα δυναμένοις ὡς οὐδενὶ ἄλλῳ (ou ὡς οὐδενὶ ἑτέρῳ) συμφέρει πικροῦ λόγου παντὸς ἀπέχεσθαι. — Ἡ τῶν εὐπατριδῶν καὶ τῶν πολλῶν πρὸς ἀλλήλους ἀπέχθεια ἐν ταῖς πλείσταις τῆς Ἑλλάδος πόλεσιν κατέχουσα συνήνεγκεν ὡς οὐδὲν ἄλλο (ou ὡς οὐδὲν ἕτερον) εἰς τὰ τοῦ Μακεδόνος Φιλίππου κατορθώματα. — Βραδύτης τε καὶ μέλλησις βλάπτουσι κατὰ πόλεμον ὡς οὐδὲν ἄλλο (ou ὡς οὐδὲν ἕτερον). — Ὁ Καῖσαρ τὰς μεγάλας ἀρετὰς καὶ τὴν γενναίαν ψυχὴν τοῦ Κάτωνος ἐτίμα ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος). — Πολυκράτης ὁ τύραννος εὐδαίμων ἐγένετο ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος) μέχρις οὗ ὑπὸ τῶν Περσῶν δι' ἐπιβουλῆς συνελήφθη. — Ὁ Πυθαγόρας οὐ μόνον περὶ τὰ φυσικὰ δεινὸς ἦν, ἀλλὰ καὶ τῆς ἰατρικῆς ἔμπειρος ὡς οὐδεὶς ἄλλος (ou ὡς οὐδεὶς ἕτερος) τῶν Ἑλλήνων· τὴν γὰρ ἰατρικὴν παρὰ τῶν Αἰγυπτίων ἱερέων ἔμαθε. — Τὸ ἐν Σάμῳ Ἡραῖον εὐρὺ μέν ἐστιν ὡς οὐδὲν ἄλλο (ou οὐδὲν ἕτερον), ἄχαρι δὲ καὶ ἄκομψον. — Βωμός τις ἐκ θηρίων κερῶν ἐπιπόνως κεκαμμένων καὶ τεχνικῶς συμπεπλεγμένων ἄνευ οὐδενὸς ψαμμωτοῦ συνεστηκὼς ξένων τῶν πρὸς τὸ Ἀπολλώνειον ἐν Δήλῳ φοιτώντων θαῦμα ἐκίνησεν ὡς οὐδὲν ἄλλο (ou ὡς οὐδὲν ἕτερον).

2. Ὁ Πυθαγόρας τοῖς θεοῖς μάζας μόνον καὶ κριθὴν καὶ πυρὸν προσέφερε· ταῦτα δὲ τὰ δῶρα τοῖς ἀθανάτοις κεχαρισμένα ἦν ὡς οὐδὲν ἄλλο

(OU ὡς οὐδὲν ἕτερον). — Ὁ Ξενοφῶν περὶ πάντων τῶν εἰς τὴν γεωργίαν ἀνηκόντων καὶ περὶ τῶν ἀγαθῶν τε καὶ ἡδονῶν τῶν ἐκ τοῦ ἀγροικικοῦ βίου γιγνομένων εὐχαρίτως ἔγραψεν ὡς οὐδεὶς ἄλλος (OU ὡς οὐδεὶς ἕτερος). — Ὁ Σιμωνίδης τὰς ψυχὰς κινεῖν τε καὶ μαλάσσειν δεινὸς ἐγένετο ὡς οὐδεὶς ἄλλος (OU ὡς οὐδεὶς ἕτερος)· καὶ τῶν πραγμάτων τὰ δακρύειν ποιοῦντα παθητικῶς ἀπείκασεν ὡς οὐδεὶς ἄλλος (OU ὡς οὐδεὶς ἕτερος). — Ἡ δολία τῶν σοφιστῶν λογιότης τοὺς Ἕλληνας πρὸς τὸ καλὸν καὶ τὸ πονηρὸν ἀδιαφόρους ἐποίησεν ὡς οὐδὲν ἄλλο (OU ὡς οὐδὲν ἕτερον). — Ἡ ἰατρικὴ δεῖται ὡς οὐδὲν ἄλλο (OU ὡς οὐδὲν ἕτερον) καὶ ὀρθῆς κρίσεως, καὶ ἐξαιρέτου διαγνώσεως, καὶ φύσεως καρτερᾶς τε ἅμα καὶ πραείας, καὶ φιλοπονίας. — Ὁ Ἱπποκράτης, ὅσων μὲν κακιῶν καὶ ἁμαρτημάτων δεῖ τοὺς ἰατροὺς ἀπέχεσθαι, ὅσας δὲ ἀρετὰς κτήσασθαι σπουδάζειν ὡς οὐδεὶς ἄλλος (OU ὡς οὐδεὶς ἕτερος) διηγήσατο.

174ᵉ Exercice.

Autant que jamais, qu'en aucun lieu; plus que jamais, qu'en aucun lieu (Grammaire, § 632, Remarque IV).

1. Ἔφασαν οἱ Καρχηδόνιοι τὴν Ἥραν ἀμνηστήσασαν τῆς Σάμου ἐν Καρχηδόνι κατοικοῦσαν χαίρειν ὡς οὐκ ἄλλοθί που. — Ὁ Ἀννίβας τῆς Καρχηδόνος ἐξελαθεὶς ἄλλους κατὰ Ῥώμης πολεμίους προθύμως τότε ὡς οὐδεπώποτε ἤγειρεν. — Ἐν τοῖς ἡμῶν χωρίοις, ὅπου νῦν μόλις ὀλίγους λύκους καὶ κάπρους ἰδεῖν ἔστι, πάλαι ἦν ἄγρια θηρία ὡς οὐκ ἄλλοθί που. — Οἱ Κωνσταντινόπολιν οἰκοῦντες ὑπὸ τῶν Τούρκων πολιορκούμενοι περὶ θεολογικῶν λεπτολογημάτων φιλονείκως ὡς οὐκ ἄλλοτε (OU ὡς οὐδεπώποτε) διημφισβήτουν. — Ἀπόλλων καὶ Ἄρτεμις ἐν Δήλῳ ὅπου γεγόνασι θεραπεύονται ὡς οὐκ ἄλλοθί που. — Τὰ ἱερὰ ἐν Κῷ τελεῖται λαμπρῶς ὡς οὐκ ἄλλοθί που· ὃ δὴ εἰς τὸν ποιητὴν Σιμωνίδην ἀναφέρουσιν. — Ἡ μὲν τοῦ Πινδάρου δόξα λαμπρὰ νῦν ὡς οὐδεπώποτέ ἐστιν· ὁ δὲ Βακχυλίδης ὃν ἐνίοτε αὐτῷ παραβάλλειν ἐτόλμων τινές, σχεδὸν εἰς λήθην ἦλθεν. — Οἱ τὴν Νάξον οἰκοῦντες ἔφασαν Διόνυσον ἐν τῇ αὐτῶν νήσῳ θαυματουργεῖν ὡς οὐκ ἄλλοθί που.

2. Τὸ θεῖον καὶ ἄλλα μέταλλα ἐν τοῖς τῆς γῆς κόλποις κεκρυμμένα ἐν Μήλῳ ἀφθόνως ὑπάρχει ὡς οὐκ ἄλλοθί που. — Ἐν Σπάρτῃ ἄρχοντές τε καὶ πολῖται τοὺς νόμους ᾐσχύνοντο ὡς οὐκ ἄλλοθί που. — Ὅτε συνισταμένη ἡ Ἑλλὰς τῇ Τροίᾳ ἐπεχείρησεν, αὕτη ἡ πόλις εὐδαίμων ἦν καὶ ἰσχύουσα ὡς οὐδεπώποτε. — Διασώζεται ἐν τῇ Ἑλλάδι ὡς οὐκ ἄλλοθί που ὅσα τῶν πάλαι ἡρώων φασὶ γενέσθαι, οἷον τὸ τοῦ Ἀγαμέμνονος σκῆπτρον ἐν Χαιρωνείᾳ, καὶ ἄλλοθι τό τε τοῦ Ἡρακλέους ῥόπαλον καὶ τὸ τοῦ Ἀχιλλέως δόρυ. — Ὅτε οἱ Μακεδόνες κεκμηκότες τε καὶ βαρυθυ-

μοῦντες οὐδὲν ἄλλο διενοοῦντο ἢ τὸ οἴκαδε ἐπανελθεῖν, Ἀλέξανδρος ἦν δραστήριος καὶ τολμηρὸς καὶ ἐπιθυμητικὸς τοῦ ἄλλας χώρας καταστρέψασθαι ὡς οὐκ ἄλλοτε (ou ὡς οὐδεπώποτε).

175ᵉ Exercice.

Non pas tant.... que (*Grammaire*, § 633).

1. Ἀγησίλαος ἀεὶ ἔφασκε βασιλέα τῶν ἰδιωτῶν οὐ διαφέρειν τοσοῦτον τῇ τρυφῇ καὶ τῇ πολυτελείᾳ ὅσον (ou ὥσπερ) τῇ ἀνδρείᾳ τε καὶ τῇ ἐγκρατείᾳ. — Οἱ σοφοὶ νομοθέται οὐ τοσοῦτον διανοοῦνται τὰ ἀδικήματα κολάζειν ὅσον (ou ὥσπερ) φθάσαντες κωλύειν. — Πολλοὶ τῶν ἀνθρώπων δόξαν ἐμπειρίας καὶ σοφίας ἐκτήσαντο οὐ τοσοῦτον οἷς λέγουσιν ὅσον (ou ὥσπερ) οἷς οὐ λέγουσιν. — Ὁ Ἀλκιβιάδης φυγὴν κατεδικάσθη οὐ τοσοῦτον διὰ τὴν ἐγκεκλημένην ἀσέβειαν ὅσον (ou ὥσπερ) διὰ τὸ κάλλος καὶ τὰ χρήματα καὶ τὴν τοῦ λέγειν δεινότητα καὶ τὴν δύναμιν. — Οὐ τοσοῦτον τῷ δέει ὅσον (ou ὥσπερ) τῇ φιλοπατρίᾳ καὶ τῇ αἰδοῖ Ἰφικράτης τοὺς στρατιώτας ἑαυτοῦ εἰς νίκην προῆγεν. — Ὅτε Ἀλκιβιάδης θριαμβεύων εἰς τὰς Ἀθήνας ἐπανῆλθεν, οἱ Ἀθηναῖοι αὐτὸν οὐ τοσοῦτον μέγαν στρατηγὸν εἶναι ὅσον (ou ὥσπερ) θεόπεμπτόν τινα ἢ καὶ αὐτὴν τὴν νίκην ἐνόμιζον. — Εὔμουσος ἄνθρωπος βιβλιοθήκῃ ἀρεσθήσεται ὀλίγῃ μὲν, πολλοῦ δὲ ἀξίᾳ, οὐ τοσοῦτον τῷ τῶν βίβλων πλήθει ὅσον (ou ὥσπερ) τῇ ἐκλογῇ. — Τὸ σῶμα ἐπιῤῥώννυται οὐ τοσοῦτον συνεχέσι καὶ ἐνίοτε δὴ περισσοῖς γυμνάσμασιν ὅσον (ou ὥσπερ) λιτῇ διαίτῃ καὶ ἀεὶ οὔσῃ τῇ αὐτῇ. — Τῶν ἀνδραποδοκαπήλων οἱ πλεῖστοι τοὺς δούλους καὶ εὖ τρέφουσιν καὶ καλῶς θεραπεύουσιν ὅπως ὑγιανοῦσιν, οὐ τοσοῦτον φιλανθρωπίᾳ ὅσον (ou ὥσπερ) φιλοκερδίᾳ πειθόμενοι. — Οἱ Γράκχοι τὰ πρῶτα ὑπὲρ τοῦ τῇ πόλει συμφέροντος μόνον φροντίζοντες, τῇ τοῦ ἀγῶνος χαλεπότητι ἐξηγριωμένοι, τελευτῶντες πολλὰ εἰσήνεγκον οὐ τοσοῦτον τῇ πρὸς τὸν δῆμον σπουδῇ ὅσον (ou ὥσπερ) τῇ πρὸς τοὺς εὐπατρίδας ἀπεχθείᾳ.

2. Τὰ τῶν Ῥωμαίων στρατεύματα τὰ ἐντὸς Γερμανίας εἰσελθόντα πολλοὺς ἀπέβαλλεν οὐχ ὅσον ἐν ταῖς μάχαις ὅσον (ou ὥσπερ) μακραῖς καὶ ἐπιπόνοις δι' ἀκάρπου χώρας ἢ τελματωδῶν λιμνῶν ὁδοιπορίαις. — Οἱ τῷ Σιμωνίδῃ ἐχθροί, ἰδόντες αὐτὸν πολλὰ ὑπὸ τοῦ Ἱέρωνος τοῦ τῶν Συρακουσῶν τυράννου πεπλουτισμένον, διέβαλλον ὡς περὶ τὴν ποιητικὴν διατρίβοντα οὐ τοσοῦτον φιλομουσίᾳ ὅσον (ou ὥσπερ) φιλοπλουτίᾳ. — Οἱ Ἕλληνες ἐν τοῖς Ὀλυμπίοις τὰς τοῦ Διονυσίου τραγῳδίας ἐπεσύριξαν οὐ τοσοῦτον ὅτι φαῦλαι ἦσαν ὅσον (ou ὥσπερ) ὅτι ὑπὸ τυράννου πεποιημέναι. — Οὐ τοσοῦτον ἀπηνείᾳ ὅσον (ou ὥσπερ) δέει οἱ Σπαρτιᾶται οὕτως ἀφειδῶς τοῖς Εἱλώταις ἐχρῶντο, καὶ πολλάκις δὴ πολλοὺς αὐτῶν ἀφανίζοντες. — Εἰς Ἀθήνας κατὰ πλῆθος εἰσέτρεχον ξένοι οὐ τοσοῦτον ἐμπολήσοντες ὅσον

(ou ὥσπερ) τὰ μνήματα θαυμάσοντες οἷς ὑπὸ τοῦ Περικλέους ἐκοσμήθη ἡ πόλις, ἐκεῖνά τε τὰ Διονύσια θεασόμενοι ἐν οἷς τὰς Αἰσχύλου καὶ Σοφοκλέους καὶ Εὐριπίδου τραγῳδίας ἐδίδασκον. — Οὐ τοσοῦτον ἐκ τῆς γῆς εὐκαρπίας καὶ τοῦ τῶν μετάλλων πλήθους ὅσον (ou ὥσπερ) ἐκ τῆς τῶν πολιτῶν φιλοπονίας καὶ ἐνεργείας γίγνεται ἡ τῶν πόλεων εὐδαιμονία. — Προεῖδεν ὁ Πολύβιος τὴν τῶν Ῥωμαίων ἐλευθερίαν οὐ τοσοῦτον διὰ τὴν πολιτῶν τινῶν φιλοτιμίαν ἀπολεῖσθαι ὅσον (ou ὥστε) διὰ τὸ μέγεθος καὶ αὐτὴν τὴν εὐτυχίαν τῆς πόλεως. — Ἀπέλλης ὁ ζωγράφος ἦν θαυμάσιος οὐ τοσοῦτον τῷ μεγάλα ἐννοεῖν ὅσον (ou ὥστε) τῷ εὐχαρίτως καὶ τελείως ἐργάζεσθαι.

176ᵉ Exercice.

Autant que (*Grammaire*, § 634).

1. Οἱ τῶν Περσῶν βασιλεῖς τὴν Ἑλλάδα καταβιάσασθαι ἀπεγνωκότες ἐσπούδασαν, ὅσον ἠδυνήθησαν, ὅπως τὰς τῶν πόλεων πρὸς ἀλλήλας, μάλιστα δὲ τὰς τῆς Σπάρτης καὶ τῶν Ἀθηνῶν στάσεις θρέψειαν. — Ἡ τῶν Ἀσσυρίων τέχνη, ἐφ' ὅσον ἐκ τῶν ἄρτι εὑρεθέντων μνημάτων ἔστιν εἰκάσαι, τῇ τῶν Αἰγυπτίων μάλα παραπλησία ἦν. — Ἐφ' ὅσον Σκύθῃ ἔξεστι λέγειν ἃ περὶ ἔθνους οὕτω σοφοῦ γιγνώσκει, οἱ Ἕλληνες πολλὰ νῦν τέλη τελοῦσιν τὴν ἀρχὴν αὐτῶν καὶ τὸν νοῦν ἀγνοοῦντες. — Ὁ Ἀρίστιππος ἐναντίον Διονυσίου τοῦ τυράννου μετὰ παῤῥησίας ἔλεγε καθ' ὅσον (ou καθόσον) πρὸς τύραννον παῤῥησιάζεσθαι ἔστιν. — Ὅσον τεκμαίρεσθαι ἔστιν, οἱ Ἀχαιοὶ καὶ οἱ Αἰτωλοὶ καὶ οἱ Δωριεῖς ἀφ' ὧν οἱ Λακεδαιμόνιοι γεγόνασιν, ἄλλα τε δυνατὰ τῆς Ἑλλάδος ἔθνη, ἀπὸ Θεσσαλίας τὸ γένος ἔχουσιν. — Εἰς ὅσον ἀνθρώπῳ ἔξεστι τὴν τῶν θεῶν γνώμην εἰδέναι, ἐγγίζει ἡ ἡμέρα καθ' ἣν ἡ Τροία δεινὴν τῶν ἐπιορκιῶν δίκην ἀποδώσει. — Ἐφ' ὅσον συμβαλεῖν ἔστιν, αἱ Θῆβαι πεντακισμυρίους ἐλευθέρους οἰκητὰς παντὸς γένους πάσης τε ἡλικίας ἐχώρουν καθ' ὃν χρόνον ἡ πόλις ὑπὸ Ἀλεξάνδρου ἁλοῦσα ἀνηρέθη. — Καθ' ὅσον (ou καθόσον) ταῖς τῶν Ἑλλήνων συγγραφέων διηγήσεσι πίστις ἐστὶν, λέοντας ἐν τῇ Θεσσαλίᾳ εὑρεῖν ἦν πρὸς ἕω τοῦ Ἀχελῴου.

2. Ὅσον τὸ ἀληθὲς ἐκ διηγήσεων οὕτως ἐναντίων ἀλλήλαις διαγιγνώσκειν ἔστιν, οἱ μὲν Μεσσήνιοι οὔθ' ἧσσον βίαιοι οὔθ' ἧσσον ἄπιστοι ἦσαν τῶν Λακεδαιμονίων· ἐκείνων δὲ ἡ δυστυχία τὰ ἀδικήματα ἠφάνισεν. — Αἴσχυλος, εἰς ὅσον ἔξεστιν ἡμῖν περὶ ποιητοῦ οἷος οὗτος ἦν κρίνειν, ἐνίοτε μέγας ἐστὶν ὑπερβαλλόντως, καὶ κομπώδης μέχρις ὄγκου. — Ἦν Ἀχιλλεῖ ἡ μὲν αὐτὴ μορφὴ ἣ τῷ Ἀπόλλωνι, ἡ δὲ αὐτὴ ἰσχὺς ἡ αὐτή τε τόλμα τῷ Ἄρει, ἐφ' ὅσον τοῖς θεοῖς θνητόν τινα καὶ ἐκ θεᾶς γεγονότα παραβαλεῖν ἔστι. — Καθ' ὅσον (ou καθόσον) ἔξεστι τεκμαίρεσθαι, οἱ τῇ Ἀσίᾳ ἐνοικοῦντες

Ἕλληνες ταῖς μὲν τρυφαῖς μαλθακισθέντες, οὐδεμίαν δὲ ἔτι βοήθειαν παρ' αὐτῆς τῆς Ἑλλάδος ἐλπίζοντες, οὐκέτι τοῦ τῶν Περσῶν βασιλέως ἀφίστασθαι πειραθήσονται. — Ὅσον τοῖς τῶν οἰκητῶν λόγοις πιστεύειν ἔξεστι, τὸ τῆς ἐν Ἀρκαδίᾳ ῥεούσης Στυγὸς ὕδωρ καὶ πᾶσι τοῖς ζώοις θανατοφόρον ἐστὶν, καὶ πάντα τὰ μέταλλα διαλύει καὶ πάντα τὰ ὑάλινα ἀγγεῖα κατάγνυσιν ἅτινα δέχεται αὐτό. — Ὁ Πὰν, ὅσον συμβάλλειν ἔστι, πάλαι μὲν εἰς τοὺς κρατίστους θεοὺς ἐτίθετο, νῦν δὲ ὡς τῶν θηρατῶν μόνον καὶ τῶν ποιμένων προστάτης θεραπεύεται.

177ᵉ Exercice.

Suite de *autant que* (*Grammaire*, *Remarque* sur le § 634).

1. Ἀλέξανδρε, τί τοῖς Σκύθαις ἐγκαλεῖς; οὐδέποθ', ὅσον γ' ἡμᾶς εἰδέναι (ou ὥς γε ἡμᾶς εἰδέναι), τὰ σοῦ ὅρια ἐπορθήσαμεν, οὔτε τὰς πόλεις ἢ τοὺς ναοὺς ἐνεπρήσαμεν, οὔτε τοὺς ἀνθρώπους κατεδουλώσαμεν. — Ὁ Δωδωναῖος χρησμὸς, ὅσον ἐμοὶ δοκεῖν (ou ὡς ἐμοὶ δοκεῖν ou seulement ἐμοὶ δοκεῖν) μάλ' ἐστὶν ἠμελημένος ἀφ' οὗ ὁ Δέλφειος οὕτως ὀνομαστὸς ἐγένετο. — Οἱ πρῶτοι τῆς Ἑλλάδος οἰκηταὶ, ὅσον εἰκάσαι (ou ὡς εἰκάσαι ou seulement εἰκάσαι) ἐκ τῶν πάλαι παραδεδομένων, ἐν βαθέσιν ἄντροις ἐνῴκουν οὐκ ἐξιόντες ἐκεῖθεν εἰ μὴ ἐπὶ τὰ θηρία περὶ τροφῆς εὐτελοῦς καὶ ἐνίοτε δὴ βλαβερᾶς ἀγωνιούμενοι. — Οἱ πρῶτοι τῶν Αἰγυπτίων ἐν τῇ Ἑλλάδι οἴκησιν ποιησάμενοι, ἐν Ἀργολίδι τοπρῶτον ὅσον εἰκάσαι (ou ὡς εἰκάσαι ou seulement εἰκάσαι) κατοικίαν κατῴκισαν. — Οὐδεὶς Ἀθηναῖος, ὅσον γ' ἐμὲ εἰδέναι (ou ὅσον ou ὡς εἰδέναι ἐμὲ), τῶν πρωτείων ἀξιώτερός ἐστιν ἢ Θρασύβουλος, εἴ γε πρὸς τὴν ἀρετὴν, ἀλλ' οὐ πρὸς τὰ χρήματα ἀποβλέπομεν. — Ξενοφῶν ἐρωτηθεὶς τί βασιλεὺς τυράννου διαφέρει· « Ὁ μὲν, εἶπεν, ὅσον ἐμοὶ δοκεῖν (ou ὡς ἐμοὶ δοκεῖν ou seulement ἐμοὶ δοκεῖν), κατὰ τοὺς νόμους καὶ ἑκόντος τοῦ δήμου πολιτεύεται· τοῦ δὲ ἡ πολιτεία καὶ τοῖς πολίταις ἀπεχθὴς καὶ ἄνομός ἐστιν.

2. Οὐδεὶς τῶν Ἑλλήνων ποιητὴς, ὅσον γ' ἐμὲ εἰδέναι (ou ὅσον ou ὡς ἐμέ γ' εἰδέναι), πλείους τραγῳδίας ἐποίησε τοῦ Σοφοκλέους· φησὶ μὲν γὰρ ὁ Σουΐδας ἐκεῖνον ἑκατὸν εἴκοσι καὶ τρεῖς ποιῆσαι, ἄλλοι δὲ καὶ πλείους ἔτι. — Ὅσον (ou ὡς) συμβάλλειν ἐξ ὧν οἱ πάλαι συγγραφεῖς διέγραψαν, ἡ Σπάρτη οὐκ ἦν μεγάλη πόλις, μᾶλλον δὲ μικρῶν κωμιδίων σύστημά τι, οἷαί που ἦσαν αἱ ἀρχαῖαι τῆς Ἑλλάδος πόλεις. — Οὐδὲν, ὅσον ἐμοὶ δοκεῖν (ou ὡς ἐμοὶ δοκεῖν ou seulement ἐμοὶ δοκεῖν), τῇ ἀληθεῖ λογιότητι ἐναντιώτερόν ἐστι τῶν λεπτολογιῶν καὶ τῆς τῶν Ἰσοκράτους μαθητῶν περιεργίας. — Ὅσον (ou ὡς) τεκμαίρεσθαι ἐκ τῆς χώρας φύσεως, ἡ Θεσσαλία πάλαι τοσαῦτα ἔθνη καὶ τοσαύτας φυλὰς κατεῖχεν ὅσα νῦν



ὄρη καὶ ἄγκη παρέχει ὁρᾶν. — Οὐδὲν, ὅσον γ' ἔμ' εἰδέναι (ou ὅσον ou ὡς εἰδέναι με), ἄγκος μὲν τῶν ἐν Θεσσαλίᾳ Τέμπεων ἥδιόν ἐστι, πάλιν δὲ τόπος οὐδεὶς φρικωδέστερος στενοπόρου τινὸς τῆς Ὄσσης καθ' ὅ φασι τὴν τῶν Τιτάνων πρὸς τοὺς θεοὺς μάχην γενέσθαι.

178ᵉ Exercice.

Tant ..... que, si .... que (*Grammaire*, § 635).

1. Ἐν τοῖς παρὰ Μαντινείᾳ νέμεσι δρῦν τινὰ εὑρεῖν ἔστιν ἧς οὕτω κουφόν ἐστι τὸ φλοῖον ὥστε τῷ ὕδατι ἐπινήχεται· χρησάμενοι δὲ αὐτῷ οἱ μὲν ἁλιεῖς τὰ δίκτυα ἀνέχουσιν, οἱ δὲ κυβερνῆται σημαίνουσιν (ou ὥστε τῷ ὕδατι αὐτὸ ἐπινήχεσθαι καὶ χρησαμένους αὐτῷ τοὺς μὲν ἁλιεῖς τὰ δίκτυα ἀνέχειν, τοὺς δὲ κυβερνήτας σημαίνειν) ὅπου τὴν ἄγκυραν κατέβαλον. — Παρὰ τῷ Φενέῳ πηγήν τινα ἡμῖν ἔδειξαν ἧς φασὶ τὸ ὕδωρ τοσαύτην οἴνου ἄσην τοῖς πίνουσι παρέχειν ὥστε αὐτοῦ καὶ τὴν ὀσμὴν οὐκέτ' αὐδεὶς δύναται φέρειν (ou οὐδένα δύνασθαι). — Τὰ τοῦ Λάδωνος ὕδατα τοῦ ἐν τῇ Ἀρκαδίᾳ ῥέοντος οὕτω διαυγῆ ἐστὶν ὥστε οὐκ εἶναι καλλίω ἐπὶ τῆς γῆς. — Τὰ Τίρυνθος τείχη ἐξ ὑπερμεγεθῶν πετρῶν ᾠκοδόμηται ἐπ' ἀλλήλαις σεσωρευμένων, ὧν γε αἱ μικρόταται οὕτως εἰσὶ βαρεῖαι ὥστε ἡμιόνων ζεῦγος αὐτὰς μόλις ἂν ἕλκοι (ou ἂν ἕλκειν). — Φασί τινες τῶν συγγραφέων τοὺς τοῦ Σωκράτους κατηγορήσαντας οὕτως ἀπεχθεῖς γενέσθαι τοῖς πολίταις ὥστε ἑαυτοὺς ἀπῆγξαν (ou ἀπάγξαι) δι' ἀπόγνωσιν. — Οὕτως εὔκαιρός ἐστιν τῆς πάλαι Σμύρνης ὑπὸ τῶν Λυδῶν καθαιρεθείσης ὁ τόπος ὥστε ἐκ τῶν ἐρειπίων ἀναστήσεταί ποτε ἡ πόλις καὶ τὰ χρήματα δι' ἐμπορίας ἀνακτήσεται (ou ὥστε ἐκ τῶν ἐρειπίων ἀναστήσεσθαί ποτε τὴν πόλιν καὶ τὰ χρήματα δι' ἐμπορίας ἀνακτήσεσθαι).

2. Ὁ Τίμων τοσαύτῃ λόγου τραχύτητι ἐχρῆτο ὥστε πάντων τὰς ψυχὰς ἑαυτοῦ ἀπηλλοτρίωσεν (ou ἀπαλλοτριῶσαι). — Ὁ μὲν βίος οὕτω βραχύς ἐστι, οὕτω δὲ μακρᾶς ἡ ἰατρικὴ σπουδῆς δεῖται ὥστε ἀνάγκη ἐστὶν (ou ἀνάγκην εἶναι) ἐκ μειρακίου περὶ αὐτὴν σπουδάζοντα ἄρχεσθαι. — Ὁ Κέκροψ τοσοῦτον τῆς γῆς ἐφείδετο ὥστε ἐβούλετο (ou βούλεσθαι) τὸ νεκρὸν δεξάμενον μέρος τῆς χώρας εὐθὺς σπείρεσθαι ἵνα μὴ οἱ γεωργοὶ στερίσκοιντο αὐτοῦ. — Αἱ χαλκαῖ λεκίδες αἱ περὶ τὸν τοῦ Διὸς ἐν Δωδώνῃ νάον ἀνηρτημέναι οὕτως ἀλλήλων ἐγγύς εἰσιν ὥστε ὁ μίαν παίων πάσας κινεῖ (ou ὥστε τὸν μίαν παίοντα πάσας κινεῖν)· ἡ δὲ ἱέρεια ἐκ τοῦ ψόφου αὐτῶν μαντεύεται. — Ὁ Σκιπίων τοῖς μὲν κατηγοροῦσιν αὐτοῦ ἀποκρίνεσθαι οὐκ ἠξίωσε· λόγον δὲ οὕτω μεγαλοπρεπῆ ἐποιήσατο περὶ τῶν μεγάλων ὧν καλῶς ἔπραξε πραγμάτων ὥστε πάντες ὡμολόγησαν (ou ὥστε πάντας ὁμολογῆσαι) οὐδὲν οὐδεπώποτε ἐγκώμιον οὔτε λαμπρότερον οὔτε ἀληθέ-

στερον γενέσθαι. — Κόνων παρὰ τῷ Ἀρταξέρξῃ, τὴν τοῦ Τισσαφέρνους προδοσίαν ἐνδείξας αὐτῷ, τοσαύτην ἐκτήσατο δύναμιν ὥστε πολλὰ καὶ μεγάλα χρήματα παρ' αὐτοῦ ἔλαβε (ou λαβεῖν) πρὸς τὸ στόλον παρασκευάσαντα τοῖς Λακεδαιμονίοις πολεμεῖν. — Οἱ Ἀθηναῖοι ἐπιμελῶς ἔσωζον ἐν τῷ Ἀθηνᾶς ναῷ ἄγαλμά τι οὕτως ἀρχαῖον ὥστε ἐλέγετο (ou λέγεσθαι) ἐξ οὐρανοῦ καθειμένον.

179e Exercice.

Suite de *tant .... que, si .... que* (*Grammaire*, § 635).

1. Τὸ τοῦ Ἀρείου Πάγου δικαστήριον οὕτω χαλεπῶς ἐχρῆτο τῶν Ἀρειοπαγιτῶν τοῖς κἂν ἐλάχιστον πλημμελήσασιν ὥστε βουλευτής τις εἰς δεσμὰ κατετέθη ὀρνίθιόν τι ἀπάγξας (ou ὥστε βουλευτήν τινα εἰς δεσμὰ κατατεθῆναι ὀρνίθιόν τι ἀπάγξαντα) ὃ πτοηθὲν εἰς τὸν κόλπον αὐτοῦ κατέφυγεν. — Οἱ Ἀθηναῖοι τὰ θεάματα περὶ τοσούτου ἡγοῦντο ὥστε πάντα τὰ περὶ αὐτὰ νόμοις διώρισαν (ou διορίσαι), καὶ τὰ τοῦ χορηγοῦ καὶ τῶν ὑποκριτῶν σώματα παρὰ τὰς ἑορτὰς ἄσυλα ἀνηγόρευσαν (ou ἀναγορεῦσαι). — Τοὺς τῆς Γαλατίας ποταμοὺς οὕτως εὐφυῶς κεῖσθαι λέγει ὁ Στράβων ὥστε τὰ φορτία ἀπὸ τῆς ἔσω θαλάσσης εἰς τὸν Ὠκεανὸν καὶ ἔμπαλιν ἀπὸ τοῦ Ὠκεανοῦ εἰς τὴν ἔσω θάλασσαν δι' ὕδατος διαβιβάζειν δύνανται οἱ ἔμποροι (ou ὥστε.... δύνασθαι τοὺς ἐμπόρους), δι' ὀλίγων μόνον τινῶν χωρίων πεζῇ κομίζεσθαι ἀναγκαζόμενοι (ou ἀναγκαζομένους). — Ἀρχύτας ὁ φιλόσοφος τοσαύτην ἐπιμέλειαν περὶ τῆς τῶν παίδων ἀγωγῆς ἐποιήσατο ὥστε οὐδὲ ἀπηξίωσε (ou ἀπαξιῶσαι) τὰ παίγνια ἐπινοῆσαι ὧν τῷ κροτήματι ἥδονται ἐκεῖνοι καὶ τέρπονται. — Εἰ τοῖς Ῥωμαίοις συγγραφεῦσι πειθόμεθα, πάλαι οὕτω ψυχρὸς ἦν τὸ τῆς Γαλατίας περιέχον ὥστε κατὰ χειμερινὴν ὥραν πάντες οἱ ποταμοὶ ἐπήγνυντο καὶ οὐ μόνον ὁδῖται καθ' ἕνα, ἀλλὰ καὶ στρατοὶ ὅλοι μετὰ σκευοφόρων ἐπεραιοῦντο αὐτοὺς (ou ὥστε κατὰ χειμερινὴν ὥραν πάντας τοὺς ποταμοὺς πήγνυσθαι καὶ οὐ μόνον ὁδίτας καθ' ἕνα, ἀλλὰ καὶ στρατοὺς ὅλους μετὰ σκευοφόρων περαιοῦσθαι). — Ἀρκάδες μὲν παῖδάς τινας ἰδόντες θεοῦ τι ἄγαλμα ἀπὸ τῆς βάσεως καταβληθὲν κατὰ παιδιὰν ἕλκοντας οὕτως ἠγανάκτησαν ὥστε λίθοις ἀπέκτειναν (ou ἀποκτεῖναι) αὐτούς· οἱ δὲ θεοὶ οἷς τιμωρεῖν ἐνόμιζον τῆς ἀπηνείας τῆσδε χαλεπῶς αὐτοὺς ἐκόλασαν.

2. Τῶν ὁδῶν τῶν ἐκ τῆς Μαντινείας εἰς τὴν Ἀργολίδα ἀγουσῶν μία δή, ἐν ὑψηλῷ ὄρει τετμημένη, οὕτως ὀρθία ἐστὶν ὥστε οἱ ἐγχώριοι κλίμακα αὐτὴν ὀνόμαζουσιν (ou ὥστε τοὺς ἐγχωρίους κλίμακα αὐτὴν ὀνομάζειν). — Κατὰ τὰ Μηδικὰ οἱ Μαντινεῖς τοσοῦτον ἐδυσχέραναν μετὰ τὴν μάχην ἀφικόμενοι εἰς Πλαταιὰς ὥστε οἴκαδε ἐπανελθόντες τοὺς στρατηγοὺς ἐθανάτωσαν (ou ὥστε οἴκαδε ἐπανελθόντες τοὺς στρατηγοὺς θανατῶσαι) οἵπερ

αὐτοὺς βραδύτερον ἐπὶ τοὺς πολεμίους ἤγαγον. — Ἐπαμεινώνδας τοσοῦτον δέος τοῖς Σπαρτιάταις ενεποίει ὥστε ὑπερμέτροις τιμαῖς τὸν πολίτην αὐτῶν Ἀντικράτην ἐτίμησαν (ou τιμῆσαι) ὃς ἐνομίζετο τὸν ἄνδρα καιρίως πλῆξαι. — Οἱ Τεγεᾶται οὕτω γαυριῶσιν ἐπὶ τῷ ἐν Πλαταιαῖς μαχέσασθαι ὥστε καὶ χαλκῆν τινὰ σκάφην διασώζουσιν (ou διασώζειν) ἐκ τῶν τοῦ Περσῶν στρατηγοῦ ἱππώνων ἁρπάσαντες. — Οἱ Ἀργεῖοι οὕτω τῶν παλαιῶν ἐθῶν ἀντείχοντο ὥστε χρήμασιν ἐζημίωσαν (ou ζημιῶσαι) μουσικόν τινα εἰς ἀγῶνα μετὰ νέας λύρας παραγίγνεσθαι τολμήσαντα χορδὰς πλείους τῶν ἑπτὰ ἐχούσης. — Ἡ τῶν τόπων ὄψις οὕτω σφόδρα τὴν τῶν παρεληλυθότων χρόνων μνήμην ἀνακαινίζει ὥστε κατ' Ἄργος ἐν μέσοις τοῖς τῶν Ἀκρισίου βασιλείων ἐρειπίοις ἐδοκοῦμεν τὰς τῆς ἀθλίας Δανάης τῆς ἐκείνου θυγατρὸς οἰμωγὰς ἀκούειν. — Ἐν χώραις τισὶ τῆς Ἑλλάδος ἱδρύματα εὑρεῖν ἔστι τὸν ὄγκον τε καὶ τὸ μέγεθος τοσούτῳ μείζω ὄντα ἢ κατ' ἀνθρώπων δύναμιν ὥστε λέγεται (ou λεγέσθαι) ἐκεῖνα ὑπὸ τῶν Γιγάντων ἢ τῶν Κυκλώπων ἱδρῦσθαι. — Οἱ Ἀσκληπιοῦ ἱερεῖς ἐν τῷ τοῦ θεοῦ ναῷ ὄφιν τινὰ οὐκ ἰοβόλον ὄντα τρέφουσιν, οὕτω δὲ τὴν φύσιν πρᾷον καὶ ἥμερον ὥστε οἰκείως συζῇ αὐτοῖς, ἐνίοτε καὶ περὶ τὰ σώματα αὐτῶν ἑλισσόμενος ἢ ἐπ' οὐρᾶς ὀρθούμενος (ou ὥστε οἰκείως συζῆν αὐτοῖς, ἐνίοτε καὶ περὶ τὰ αὐτῶν σώματα ἑλισσόμενον ἢ ἐπ' οὐρᾶς ὀρθούμενον) ἵνα τὴν τροφὴν ἐν παροψίδι προσφερομένην αὐτῷ λαμβάνῃ.

180e Exercice.

Tant .... que, signifiant *non-seulement .... mais encore* (*Grammaire*, § 636).

1. Παρὰ ταῖς Θερμοπύλαις ἔστιν Ἄνθηλα κώμη, τοῦτο μὲν Δήμητρος ναῷ τινὶ ὀνομαστή, τοῦτο δὲ τῇ τῶν Ἀμφικτυόνων συνόδῳ ἣ ἐκεῖ κατ' ἐνιαυτὸν γίγνεται. — Ἰκτῖνος ὁ ἐν Ἀθήναις τὸν ὀνομαστὸν Ἀθηνᾶς ναὸν οἰκοδομήσας, καὶ παρὰ τῇ Φιγαλέᾳ Ἀπόλλωνος ναὸν ἵδρυσε τῶν τῆς Πελοποννήσου κάλλιστον τῇ μὲν τῶν λίθων ἐκλογῇ, τῇ δὲ ἐμμελεῖ πάντων τῶν μερῶν συνθέσει. — Οἱ Ἀθηναῖοι μεγαλοπρεπῶς τὰς δημοσίας ἑορτὰς ἑορτάζουσιν ἅμα μὲν τὰς ἐκ τῶν παλαιτάτων χρόνων παρ' αὐτοῖς καθεστώσας, ἅμα δὲ ὅσας νεώτερον ἀπ' ἄλλων ἐθνῶν ἔλαβον. — Οἱ Σκύθαι δεξιᾷ τε καὶ ἀριστερᾷ χειρὶ τὰ ὅπλα μεταχειρίζειν δεινοί εἰσιν ὡς οὐδὲν ἕτερον τῶν τῆς οἰκουμένης ἐθνῶν. — Τελέσιλλα Ἄργος τὴν ἑαυτῆς πατρίδα τὰ μὲν τῇ ἀνδρείᾳ τὰ δὲ τοῖς συγγράμμασιν εὐδόκιμον ἐποίησεν. — Οἱ πάλαι συγγραφεῖς οἵ τε Ἕλληνες καὶ οἱ Ῥωμαῖοι, τοῖς ἀνδράσιν οὓς εἰς μέσον ἄγουσι λόγους ἀναφέρουσιν οὐδέποτε λελεγμένους ὑπ' ἐκείνων. — Πάλαι ποτὲ τὰ Μέγαρα οὕτω πολυάνθρωπα ἦν ὥστε πολλὰς κατοικίας τοῦτο μὲν εἰς Σικελίαν, τοῦτο δὲ εἰς τὴν Προποντίδα καὶ τὸν Εὔξεινον

Πόντον ἐξέπεμψεν. — Πάντες οἱ βασιλεῖς οἵ τε ἐν Ἀσίᾳ καὶ οἱ ἐν Εὐρώπῃ βασιλεύοντες σφοδρῶς ἐπεθύμουν σύμμαχοι καὶ φίλοι τῷ τῶν Ῥωμαίων δήμῳ προσαγορεύεσθαι, εἰ καὶ οὐδὲν ἄλλο ἦν τοῦτο τὸ ὄνομα ἢ πεπλασμένη τις δουλεία.

2. Περίανδρος ὁ τῶν Κορινθίων τύραννος, τὰ πρῶτα μετρίως καὶ σοφρόνως πολιτευόμενος, νόμους κατὰ μὲν τῶν περισσοὺς δούλους ἐχόντων κατὰ δὲ τῶν πλείω τῆς προσόδου δαπανώντων ἔγραψε. — Τὸ τὰς εἰκόνας ἐσθῆσι πολυτελεστάταις περιβάλλειν καὶ οὕτω τὰ τῆς τέχνης κάλλη τοὺς θεωμένους κρύπτειν δοκεῖ ἐκ τοῦ ἀρχαιοτάτου χρόνου παρά τε τοῖς Ἕλλησι καὶ παρ' ἄλλοις ἐν ἔθει γενέσθαι. — Πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου οἱ Ἀχαιοὶ παντάπασι τῶν Ἑλληνικῶν πραγμάτων ἔξω ὄντες διετετελέκεισαν, καὶ παρὰ τὸν πρότερον καὶ παρὰ τὸν δεύτερον πρὸς τοὺς Μήδους πόλεμον. — Ἐν τοῖς πάλαι χρόνοις ὅτε μεγάλη τις συμφορὰ τοὺς δήμους ἐκπλήττοι, ὕστερον ἐμέμνηντο αὐτὴν τοῦτο μὲν χρηστηρίοις τοῦτο δὲ ἀπαισίοις συμβόλοις προσημανθῆναι. — Ἔνιαι Ἑλληνίδες πόλεις καλλιστεῖα τὰ μὲν τοῖς κόροις τὰ δὲ ταῖς κόραις καὶ γυναιξὶ καθεστάκασι. — Τὰ Ὀλύμπια πλείστους πάντων τῶν ἀγώνων Ἕλληνάς τε καὶ ξένους θεασομένους ἐπάγεται καὶ ἐκείνων τὰ ἆθλα πλείστου τιμᾶται.

3. Οἱ ἀγῶνες οἱ ὑφ' Ἡρακλέους τεθέντες μετὰ μακρὰν διάλειψιν ἀποκαθεστάθησαν πείθοντος μὲν Λυκούργου τοῦ τῶν Λακεδαιμονίων νομοθέτου, σπουδάζοντος δ' Ἰφίτου ὃς ἑνὸς τῶν τῆς Ἤλιδος νομῶν ἦρχεν. — Οἱ Ἠλεῖοι τὴν τῶν Ὀλυμπίων διακόσμησιν ἐπιτετραμμένοι ἐπιμελοῦνται ὅπως αὐτὰ ἀεὶ μᾶλλον ἀξιοθέατα ποιήσουσιν ἅμα μὲν ἄλλους ἀγῶνας προστιθέντες, ἅμα δὲ τοὺς ἥκιστα ἀρέσκοντας ἀφαιροῦντες. — Οἱ ἀθληταὶ οἱ περὶ τῶν ἄθλων ἁμιλλᾶσθαι προσερχόμενοι τοῦτο μὲν ὑπὸ τῶν φίλων καὶ γονέων, τοῦτο δὲ ὑπὸ τῶν διδασκάλων παραπέμπονται οἵτινες ἐπαίδευσαν αὐτοὺς καὶ νικησάντων τῆς δόξης μετέχουσιν. — Κότυς ὁ τῶν Θρακῶν τύραννος πλείστας προσόδους τὰς μὲν ἐκ τῶν ἀφθόνων τῆς χώρας ἐκείνης μετάλλων, τὰς δὲ ἐκ τῶν λιμένων ἐλάμβανεν ὧν ἐν τῇ Χεῤῥονήσῳ εἶχεν. — Τὸν Εὔξεινον Πόντον οἱ πλέοντες τὰ μὲν διὰ τὴν τῶν ἐθνῶν τῶν τὴν παραλίαν οἰκούντων ἀπανθρωπίαν, τὰ δὲ διὰ τὸ συχνοὺς ἐκεῖ χειμῶνας γίγνεσθαι ἐφοβοῦντο.

181e Exercice.

Le plus que, *le moins que*, suivi de *pouvoir* (*Grammaire*, § 637).

1. Ὅμηρος δοκεῖ ἐν τῇ Ἰλιάδι ὡς (OU ὅσον) μάλιστα δύναται σπουδάζειν ὅπως τοῖς Ἕλλησι τὸν τῆς διαστάσεως φόβον ἐμποιήσει τῆς οὕτως ὀλεθρίας αὐτοῖς ὕστερον γενησομένης. — Ἄρατος τὰς τῆς Ἀχαΐας πόλεις ὡς (OU ὅσον) ἠδύνατο οἰκειότατα ἀλλήλαις συνέστησεν ὥστε τῇ τῶν Μα-

κεδόνων πλεονεξίᾳ ἀνθίστασθαι. — Οἱ Ῥωμαῖοι ἀκούσαντες τὸν Ἀννίβαν ὅσα κακὰ Καρχηδὼν ἐν τῷ ὑστέρῳ πολέμῳ ἔπαθεν ὡς (ou ὅσον) ἠδύνατο ἄριστα ἰᾶσθαι, ὑποψίας ὑπολαβόντες ἐξορισθῆναι αὐτὸν ἐκέλευσαν. — Τί εἴποις ἂν περὶ ἰατροῦ οὐ μὲν τῆς σου νόσου τὴν φύσιν διαγιγνώσκειν σπουδάζοντος, μᾶλλον δὲ φράσεις κομψοτάτας καὶ ἐνθυμήματα ὡς (ou ὅσον) δυνατὸν χαριέστατά σοι προφέροντος; Τί δὲ περὶ δικολόγου θανατικὴν δίκην δικαζομένου οὐ μὲν πείθειν τοὺς δικαστὰς ἢ εἰς οἶκτον ἄγειν σπουδάζοντος, μᾶλλον δὲ χρώμασι τὸν λόγον καὶ σχήμασιν ὡς (ou ὅσον) δυνατὸν πλείστοις ποικίλλοντος; — Δεῖ τοὺς νόμους ὑπὸ τῶν νομοθετῶν τεθειμένους τοῖς τῶν ἐθνῶν οἷς ἔγραψαν ἔθεσί τε καὶ τρόποις ὡς (ou ὅσον) δυνατὸν μάλιστα συναρμόζειν. — Ἄτοσσα ἡ Κύρου τε θυγάτηρ καὶ Δαρείου γυνὴ τοῦτον τὸν βασιλέα ὡς (ou ὅσον) ἠδύνατο μάλιστα ἐπώτρυνεν ἐπὶ τὴν Ἑλλάδα στρατεύσασθαι. — Οἱ Μεσσήνιοι εἰ καὶ ὡς (ou ὅσον) δυνατὸν ἀνδρειότατα ἐμάχοντο, τελευτῶντες ὑπὸ τῶν Λακεδαιμονίων ἡσσήθησαν καὶ εὐταξίᾳ καὶ τῶν πολεμικῶν τῇ ἐμπειρίᾳ κρειττόνων. — Λύσανδρος ὡς (ou ὅσον) δυνατὸν δεξιώτατα μετεχείρισεν τοσαῦτα καὶ διάφορα ἔθνη ἃ καθ' Ἀθηναίων μὲν συνειστήκει, ἀλλήλαις δὲ ὅμως ἐφθόνει.

2. Οἱ ἐλεύθεροι τῶν δήμων ὡς (ou ὅσον) δυνατὸν βράδιστα ἐκ λόγου εἰς ἔργον τρέπονται, ἐμμενέστατοι δὲ καὶ θρασύτατοί εἰσιν ἐπεὶ ἔργου ἥψαντο. — Κουϊντιλιανὸς κελεύει τοὺς διδασκάλους ὡς (ou ὅσον) δυνατὸν πλειστάκις πρὸς τοὺς μαθητὰς περὶ τοῦ δικαίου καὶ τοῦ χρηστοῦ λέγειν. — Τὴν τῶν παίδων φιλοπευστίαν δεῖ καὶ ἐπαινεῖν καὶ ἀποκρίσεσιν ὡς (ou ὅσον) δυνατὸν σαφεστάταις καὶ ἀκριβεστάταις ἀναπληροῦν, μηδὲν δὲ μηδέποτε αὐτοῖς κενὸν καὶ ψευδὲς ἀποκρίνεσθαι. — Τὸ τῶν Ἰουδαίων ἔθνος οὐ μόνον ἐν τῇ τῶν προγόνων θεοσεβείᾳ ἀλλὰ καὶ ἐν τοῖς τρόποις καὶ ἤθεσιν ὡς (ou ὅσον) ἐμμενέστατα ἐνέμεινεν. — Ὁ Κικέρων καλὸν δὴ μισθὸν ἔλαβεν τὸν Ὀκτάβιον ὡς (ou ὅσον) ἠδύνατο μάλιστα αὐξήσας. — Οἱ Ῥωμαῖοι τοῖς μὲν ὑπακούουσιν ὡς (ou ὅσον) δυνατὸν πρᾳότατα καὶ ἐπιεικέστατα ἐχρῶντο, τοῖς δὲ ἀνταμύνεσθαι τολμῶσιν ὡς χαλεπώτατα. — Καμβύσης ὁ τοῦ Κύρου πατὴρ θνήσκων τῷ υἱῷ ἐπέσκηψεν πάνθ' ὅσα ὁ θεὸς παρὰ τῶν ἀνθρώπων ἀπαιτεῖ ὡς (ou ὅσον) δυνατὸν ἀκριβέστατα πρᾶξαι. — Τὰ Ἰβηρικὰ ἔθνη τῇ τοῦ Σκιπίωνος ἀνδρείᾳ καὶ γενναιότητι ὡς (ou ὅσον) δυνατὸν μάλιστα ἡδόμενα ἐδίδω μὲν αὐτῷ τὸ βασιλικὸν ὄνομα, αὐτὸς δὲ δέχεσθαι οὐκ ἠξίωσεν. — Πελοπίδας εἰ καὶ ὡς (ou ὅσον) δυνατὸν πλειστάκις ἀπῄτει τοὺς Ἀθηναίους τὴν ἑαυτοῦ πατρίδα ἐλευθερῶσαι, τοὺς Λακεδαιμονίους οὐκ ἂν καταλάβοι ἀπαρασκεύους, εἰ ἐκείνων ὁ ἡγεμὼν τὰς ἐπιστολὰς ἔλυσεν ἃς ἐδέξατο καὶ δι' ὧν ἡ ἐπιβουλὴ ἀπεκαλύπτετο αὐτῷ — Ὁ Σωκράτης ἐπεὶ ἔγνω θάνατον καταδεδικασμένος, εἶπε τοὺς θεοὺς

αὐτῷ κεχαρίσθαι τὸ τὸν βίον οὐ μόνον ἐν τῷ ἐπιτηδειοτάτῳ καιρῷ, ἀλλὰ καὶ ὡς (ou ὅσον) δυνατὸν ῥᾷστα καταλύειν.

182ᵉ Exercice.

Suite de *le plus que*, *le moins que*, suivi de *pouvoir* (*Grammaire*, § 637, *Remarques*).

Τῶν παίδων οἱ βέλτιστοί τε καὶ φιλομαθέστατοι ὄντες ἐνίοτε νουθεσίας καὶ ἐπιτιμήσεως δέονται. — Ἐμποδίσματα τὰ μὴ ἐκ τῆς ἀνδρείας καὶ τοῦ πλήθους τῶν πολεμίων, ἀλλ' ἐξ οὐρανοῦ καὶ χειμῶνος γιγνόμενα στρατοὺς καὶ ἐμπειροτάτους τῶν πολεμικῶν κατέσχεν. — Πατὴρ ὁ καλῶς τοὺς παῖδας παιδεύων χρήσεται αὐτοῖς πρεσβύτερος ὢν καὶ ἀμυντῆρσι καὶ προστάταις οἵοις δυνατὸν βελτίστοις. — Τὰ ἔργα ὁποῖα δυνατὸν τελειότατα ἀεὶ ψόγον τινὰ ἔχει. — Αἱ ἡμῶν στρατιαὶ ὅσαι δυνατὸν πλεῖσται ἐκείναις οὐ δύνανται παρισοῦσθαι ἃς οἱ κατ' ἀνατολὰς βασιλεῖς ὀπίσω ἑαυτῶν εἷλκον, εἰ δεῖ τοῖς ὑπὸ τῶν Ἑλλήνων συγγραφέων ἱστορουμένοις πιστεύειν. — Ἔθιζε τοὺς παῖδας ἐκ νηπίου ὀνόμασι χρῆσθαι ὁποίοις δυνατὸν ἀκριβεστάτοις.—Αἰσχίνης τῇ λέξει διαπρέπει τοτὲ μὲν σχήμασιν οἵοις σεμνοτάτοις καὶ μεγαλοπρεπεστάτοις κοσμῶν αὐτήν, τοτὲ δὲ ἐνθυμήμασιν ἡδύνων οἵοις ἐννοῆσαι ἔστιν χαριεστάτοις καὶ ὀξυτάτοις. — Ὁ Δημοσθένης πρὸ δήμου ὁποίου κομψοτάτου καὶ ἀστειοτάτου λόγους ποιούμενος ὑπὸ τούτου τοῦ δήμου, οὕτω δυσαρέστου ὄντος, ἐκροτεῖτο καὶ μὴ πείθων. — Τὰ μέταλλα καὶ ὅσα ἀφθονώτατα οὐκ ἀεὶ τοῖς τὴν χώραν οἰκοῦσι περιποιεῖ εὐπορίαν.

183ᵉ Exercice.

Suite de *le plus que*, *le moins de*, suivi de *pouvoir*.

1. Ὁ Κωνσταντῖνος τὴν Ῥώμην ὡς (ou ὅσον ou ὅτι) μάλιστα ἀσθενώσας, καὶ τοῦτο δὴ κακῶς ἔπραξε, τὰ τάγματα τὰ τοὺς μεγάλους ποταμοὺς φρουροῦντα εἰς τὰς ἐπαρχίας διασκεδάσας. — Τῆς ἀρχῆς διαιρεθείσης καὶ πάντων τῶν χρημάτων εἰς τὴν Κωνσταντίνου πόλιν μετακομισθέντων, χρυσίον τε καὶ ἀργύριον ὡς (ou ὅσον ou ὅτι) σπανιώτατα ἐν ταῖς πρὸς ἑσπέραν χώραις ἐγένετο. — Οἱ κατὰ τὰς ἀνατολὰς Σεβαστοὶ παρὰ τῶν Ἀσιανῶν βασιλέων τὸ ἔθος κατὰ μικρὸν ἔλαβον τὸ ἑαυτοὺς (ou ὅσον ou ὅτι) σπανιώτατα τῷ δήμῳ δεικνύναι. — Ἐκ τῆς στωικῆς αἱρέσεως δύο βασιλεῖς ὡς (ou ὅσον ou ὅτι) βέλτιστοι τῇ Ῥωμαίων ἀρχῇ ἐγένοντο, ὁ δὴ τῶν Ἀντωνίνων πρῶτος καὶ ὁ Μάρκος Αὐρήλιος. — Ἔθνος καὶ τὸ ὡς (ou ὅσον ou ὅτι) ἥκιστα πολεμικὸν οὐ τοιαύτην τὴν ὕβριν δύναιτ' ἂν ὑπομένειν. — Αἱ ἐπαρχίαι ταῖς τῶν πρὸς ἀλλήλους περὶ τῆς ἀρχῆς ἀνθαμιλλωμένων φιλονεικίαις ὡς (ou ὅσον ou ὅτι) ἥκιστα ἐνεπλέκοντο, ἑτοῖ-

μαι δὴ οὖσαι τὸν νικήσαντα ὅστις ἂν ᾖ δέξασθαι. — Ἀντώνιος τὰ νομιζόμενα τῷ Καίσαρι μεθ' ὡς (ou ὅσον ou ὅτι) πλείστης παρασκευῆς ἐτέλεσεν, καὶ ἐπιτάφιον λόγον ὑπὲρ αὐτοῦ πρὸ τοῦ δήμου ἐποιήσατο. — Τοῖς τῆς Ῥώμης νόμοις ἡ δύναμις ὡς (ou ὅσον ou ὅτι) σοφώτατα εἰς πολλοὺς ἄρχοντας διεμεμέριστο ἀλλήλοις ἀντιῤῥέποντας. — Ὁ Καῖσαρ εἰς τὴν στρατιὰν ἣν εἰς τὴν Ἰταλίαν ἤγαγεν ὡς (ou ὅσον ou ὅτι) πλείστους Κελτοὺς καὶ Γερμανοὺς εἰσέθηκεν.

2. Ὁ Σύλλας νόμους ἔθετο ὡς (ou ὅσον ou ὅτι) ἐπιτηδειοτάτους τὸ μὲν τῆς συγκλήτου ἀξίωμα ἐπανορθοῦν, τὴν δὲ τοῦ δήμου δύναμιν ἀναστέλλειν. — Ἰφικράτης τῶν Ἀθηναίων στρατιωτῶν τὸ μὲν δόρυ καὶ ξίφος ἐμήκυνε, τὴν δὲ ἀσπίδα καὶ τὸν θώρακα ὡς κουφότατα ἐποίησεν. — Ἔδειξε Κικέρων ἐν τοῖς περὶ τῆς ῥητορικῆς καὶ τῆς φιλοσοφίας συγγράμμασι πῶς τὰ ὡς (ou ὅσον ou ὅτι) λεπτότατα καὶ μάλιστα ἀκανθώδη ὄντα σαφῆ καὶ ῥᾴδια διὰ τῆς τοῦ γράφοντος δεινότητος γίγνεται. — Πλίνιος ὁ πρεσβύτερος τῷ ὕπνῳ ὡς (ou ὅσον ou ὅτι) ἐλάχιστον χρόνον ἐδίδω πάντα τὸν χρόνον νομίζων ἀπολωλέναι τὸν μὴ περὶ τοὺς λόγους διατετριμμένον. — Εἰ βούλει τοῖς παισὶ τὴν περὶ τοὺς λόγους σπουδὴν ἐμποιῆσαι, πρῶτον τὰ ὡς (ou ὅσον ou ὅτι) ῥᾷστα καὶ τερπνότατα ὄντα δίδαξον αὐτούς. — Μάρκελλος ἐν παντὶ καιρῷ ὡς (ou ὅσον ou ὅτι) μάλιστα βιαίως καὶ ὑβριστικῶς τοῦ Καίσαρος ἥψατο. — Ὁ ῥήτωρ ἐν μὲν τῷ προοιμίῳ σπουδάσει ὅπως τοὺς ἀκούοντας ὡς (ou ὅσον ou ὅτι) εὐνουστάτους ποιήσει, ἐν δὲ τῷ ἐπιλόγῳ ἢ κινήσει αὐτοὺς ἢ πείθων εἰς οἶκτον προτρέψει.

184ᵉ Exercice.

D'autant plus, *d'autant moins*, suivis de *que* et d'un comparatif (*Grammaire*, § 638).

1. Ὁ Καῖσαρ ἔλεγεν τοσούτῳ πλείοσι πολίταις τὴν ἑαυτοῦ αὔξησιν συμφέρειν ὅσῳ πλείους εἶχε δανειστάς. — Ὁ Δαρεῖος τοσούτῳ μᾶλλον τῇ ἐν Μαραθῶνι ἥσσῃ διηρεθίσθη ὅσῳ ῥᾷον ἐνόμισεν ἑαυτὸν τὴν Ἀττικὴν καὶ δὴ πᾶσαν τὴν Ἑλλάδα καταστρέψεσθαι. — Ἄνθρωποι τοσούτῳ πλείους ἐφοίτων πρὸς τὸ Τροφωνίου ἐν Βοιωτίᾳ χρηστήριον ὅσῳ ἡ ἀπάτη ἦν ἀτεχνοτέρα καὶ φανερωτέρα. — Ὁ Πίνδαρος περὶ ποιήσεως εἶδος ἐσπούδασε τοσούτῳ χαλεπώτερον, ὅσῳ ἀδοξοτέρους ὕμνει πολίτας τὰ Ὀλύμπια νικήσαντας. — Οἱ τύραννοι τοσούτῳ δεινοτέρᾳ βίᾳ χρῶνται ὥστε τὴν δύναμιν κατέχειν ὅσῳ ἧσσον αἰσθάνονται ὑπὸ τῶν πολιτῶν ὑπερειδόμενοι. —Τοσούτῳ ῥᾷον κρατεῖ ἡ κολακεία ὅσῳ φανερωτέρα ἐστὶ καὶ ἀναιδεστέρα. — Οἱ τῶν Κρητῶν νόμοι τοσούτῳ ἐνδοξότεροί εἰσιν ὅσῳ καὶ καλλίους ἐξ αὐτῶν οἷον οἱ τοῦ Λυκούργου γεγόνασιν. — Ἐν τῇ Κρήτῃ αἱ μέγισται πόλεις τοσούτῳ μᾶλλον πρὸς ἀλλήλας ἐστασίαζον ὅσῳ ἧσσον τὰς τῶν ἔξωθεν

πολεμίων ἐπιχειρήσεις ἐφοβοῦντο. —Οἱ βασιλεῖς τοσούτῳ ἐλάσσους φίλους ἔχουσιν ὅσῳ δυνατώτεροί εἰσιν αὐτοί. — Τοσούτῳ προθυμότερον φίλους ζητοῦμεν τὴν τάξιν ἡμῶν ὑποδεεστέρους ὄντας ὅσῳ μείζω παρ' ἐκείνων ὑπουργίαν προσδοκῶμεν.

2. Τῶν Πυθαγοριστῶν τοσούτῳ μᾶλλον κατεφρόνουν ὅσῳ ἑαυτοὺς φιλανθρωποτέρους τε καὶ πρᾳοτέρους καὶ ἐλεημονεστέρους πρὸς τοὺς ἄλλους ἀνθρώπους παρεῖχον. — Οἱ κακοὶ τοσούτῳ μᾶλλον ἁμαρτωλοὶ καὶ φοβεροί εἰσιν ὅσῳ καλλίους πεφύκασι. — Τὸ μὴ καρτερεῖν τοσούτῳ μᾶλλον ὀλέθριόν ἐστιν ὅσῳ ὁ μὴ καρτερῶν μεῖζον δύναται. — Ὥσπερ δένδρα καὶ ζῶα τοσούτῳ πλείονα χρόνον ζῇ ὅσῳ βραδύτερον αὐξάνεται, οὕτω καὶ τὰ τῶν ἀνθρώπων ἔργα τοσούτῳ μείονα χρόνον διαμένει ὅσῳ ταχύτερον πεποίηται. — Τοσούτῳ μείζονα ἐξ ὧν ἡμαρτήκαμεν λαμβάνομεν ὠφέλειαν, ὅσῳ ἁπλούστερον αὐτὰ ὁμολογοῦμεν. — Οἱ πονηροὶ τοὺς πονηροὺς φοβοῦνται τοσούτῳ μᾶλλον ἀπιστοῦντες αὐτοῖς ὅσῳ ἀκριβέστερον γιγνώσκουσιν. — Οἱ ἀγαθοὶ συγγραφεῖς τοσούτῳ μᾶλλον σπουδάζουσι τὰ τῶν μεγάλων ἀνδρῶν ἤθη καὶ τοὺς τρόπους ἡμῖν ἀπεικάζειν ὅσῳ πλείονα ἐκεῖνοι ῥοπὴν ἔσχον εἰς τὰ κατ' αὐτοὺς συμβεβηκότα. — Ἐδόκει ὁ Ἀντίοχος πόλεμον τοῖς Ῥωμαίοις καταγγείλας τοσούτῳ μᾶλλον τῇ τρυφῇ καὶ τῇ χλιδῇ ἑαυτὸν ἐπιδιδόναι ὅσῳ πρὸς ταχυτέρους καὶ ἐπιστρεφεστέρους πολεμίους αὐτῷ ἦν τὸ πρᾶγμα. — Οἱ τοῦ Κύρου ἑταῖροι τοσούτῳ προθυμότερον κρείττονα ἑαυτῶν αὐτὸν εἶναι ὡμολόγουν ὅσῳ φιλοφρονέστερος ἦν πρὸς αὐτοὺς καὶ ἀφελέστερος.

185e Exercice.

Suite de *d'autant plus*, *d'autant moins*, suivis de *que* et d'un comparatif.

1. Οἱ στρατιῶται, εἶπεν ὁ Καμβύσης τῷ υἱῷ Κύρῳ, τοσούτῳ ἥδιόν σοι πεισθήσονται ὅσῳ ἄμεινον εἴσονται σὲ τοῦ συμφέροντος αὐτοῖς αὐτῶν εἶναι φρονιμώτερον. Οὕτω γὰρ καὶ οἱ νοσοῦντες τοσούτῳ προθυμότερον τὰ ὑπὸ τῶν ἰατρῶν προσταχθέντα πράττουσιν, ὅσῳ μᾶλλον τῇ αὐτῶν ἐπιστήμῃ καὶ ἐμπειρίᾳ πιστεύουσιν. — Τοσούτῳ χαλεπώτερον ἦν τῷ Περικλεῖ τηλικοῦτον χρόνον διατελεῖν τὴν πόλιν σχεδὸν δεσπόζοντα, ὅσῳ οἱ Ἀθηναῖοι τοῖς κατορθώμασι συνεχέσι δυσκολώτεροι καὶ γαυρότεροι ἐγένοντο. — Ὁ Πλούταρχός φησι τὸν Περικλῆ καὶ τὸν Φάβιον τοσούτῳ μᾶλλον τοὺς ἑαυτῶν πολίτας ὠφελῆσαι ὅσῳ μᾶλλον εὐσταθῶς καὶ καρτερῶς ταῖς ἐκείνων βοαῖς ἀντέσχον καὶ τῇ ὁρμῇ. — Κατὰ τοὺς πρώτους τῆς τῶν Ῥωμαίων δημοκρατίας χρόνους ὁ δῆμος τοσούτῳ μᾶλλον τοῖς βουλευταῖς ἐπίστευεν ὅσῳ μᾶλλον τούτοις διὰ τὴν οὐσίαν καὶ τὰς τιμὰς συμφέρειν ᾔδει τὴν πόλιν καλῶς πράττειν, πρός δέ γε διὰ τὴν τελείαν ἡλικίαν μακράν τε ἐμπειρίαν σοφῶς πολιτεύεσθαι ἐπιτηδειοτέροις οὖσιν. — Ὁ Νούμας τοσούτῳ μᾶλ-

λον ἐπεμελήθη ὅπως πάντας σχεδὸν τοὺς τὴν αὐτὴν τέχνην ἀσκοῦντας καὶ τὰ αὐτὰ ἐπιτηδεύοντας εἰς φρατρίαν μίαν συναγάγῃ, ὅσῳ ὁ τῶν τὴν Ῥώμην οἰκούντων ὅμιλος ἐξ ἀνθρώπων τὰ ἤθη καὶ τὸ γένος διαφορωτέρων συνειστήκει.

2. Ἡ τῶν Ῥωμαίων πρὸς τοὺς Ταρκυνίους ἀπέχθεια τοσούτῳ μείζων καθ' ἑκάστην ἡμέραν ἐγίγνετο ὅσῳ μᾶλλον διατεταμένως ἐκεῖνοι μακρῷ καὶ χαλεπῷ πολέμῳ κατέτρυχον αὐτοὺς καὶ πάντας τοὺς ὁμόρους ἐπ' αὐτοὺς συνέστησαν. — Ὁ τῶν Ῥωμαίων δῆμος τοσούτῳ σφοδρότερον τῆς ἐλευθερίας ἠράσθη ὅσῳ μᾶλλον τῆς δυνάμεως τῶν τε κοινῶν πραγμάτων μετεῖχεν. — Τοσούτῳ τερπνοτέρα ἐστὶν ἡ ἐπιστήμη ὅσῳ κομψοτέρᾳ καὶ ἀστειοτέρᾳ τῇ λέξει κεκόσμηται. — Πλούταρχος τετρηρῶν τινῶν νεῶν μνημονεύει ἃς Δημήτριος ὁ πολιορκητὴς κατεσκευάσατο, τοσούτῳ δὴ τὴν ταχύτητα καὶ ἐλαφρότητα θαυμασιωτέρων, ὅσῳ μείζων ἦν αὐτῶν ὁ ὄγκος. — Ὁ ἀνὴρ τοσούτῳ σοφώτερον τὸν ἑαυτοῦ βίον ἀπευθυνεῖ ὅσῳ βέλτιον εἴσεται ὁποῖός ἐστιν αὐτὸς, ὁποῖα προσήκει αὐτῷ, πρὸς δὲ τί δεῖ αὐτὸν τείνειν. — Οἱ ἄνθρωποι τοσούτῳ θρασύτερον περὶ πάντων κρίνουσιν ὅσῳ μᾶλλον ἀπαίδευτοί εἰσι. — Τοσούτῳ ἀναγκαιότερόν ἐστι τοὺς παῖδας τῇ τῶν καθηγουμένων δεσποτείᾳ ὑποτεταγμένους εἶναι ὅσῳ ἔλασσον τοῦ λόγου μετέχουσιν.

186ᵉ Exercice.

Suite de *d'autant plus*, *d'autant moins*, suivis de *que* et d'un comparatif (*Grammaire*, § 638, *Remarque*).

Ὅσῳ νεώτεροί εἰσιν οἱ παῖδες, τοσούτῳ ἔλασσον δεῖ τὰς ἀτάκτους ἐπιθυμίας αὐτῶν ἀναπληροῦν. — Ὅσῳ βέλτιον ἐπίσταται ὁ διδάσκαλος τὸ αὐστηρὸν τῷ πράῳ συνάπτειν, τοσούτῳ μεῖζον παρὰ τοῖς παισὶ δύναται. — Ὅσῳ ἀηδέστερα καὶ τραχύτερά ἐστι τὰ πάσης τέχνης στοιχεῖα, τοσούτῳ χαλεπώτερόν ἐστι τὴν περὶ τοὺς λόγους σπουδὴν τοῖς παισὶν ἐμποιεῖν. — Ὅσῳ μᾶλλόν εἰσι καὶ οἱ οἶκοι πρὸς ἀλλήλους στασιάζοντες καὶ οἱ πολῖται ὕποπτοι καὶ ὁ δῆμος ὑπερμέτροις δασμοῖς πιεζόμενος, τοσούτῳ βεβαιοτέραν τὴν ἑαυτῶν δύναμιν εἶναι οἱ τύραννοι ὑπολαμβάνουσιν. — Ὅσῳ ἐπιμελέστερον οἱ ἐν Σικυῶνι καὶ Συρακούσαις τυραννεύοντες ἔκρυπτον τὴν τυραννίδα, τοσούτῳ πλείονα αὕτη χρόνον διέμεινεν. — Ὅσῳ μᾶλλον τοῖς νόμοις διαφέρουσιν αἱ πόλεις καὶ ἐγγύταται οὖσαι ἀλλήλων, τοσούτῳ ἀξιολογώτερόν ἐστιν ἐν πάσαις ταῖς Ἑλλάδος πόλεσι τὴν πολιτείαν ἢ πρὸς τὴν τῶν ἀρίστων ἢ πρὸς τὴν τοῦ ὄχλου δεσποτείαν ἐπιῤῥέπειν. — Ὅσῳ μᾶλλον ἐν ταῖς ὀλιγαρχουμέναις πόλεσιν οἱ πολῖται ἐκ τῶν χρημάτων ἀνισότιμοι καθεστήκασι, τοσούτῳ σφοδρότερον κτήσασθαι αὐτὰ ἐπιθυμοῦσιν.

187e Exercice.

Suite de *d'autant plus, d'autant moins*, suivis de *que* et d'un comparatif.

1. Ἐν τῇ Σπάρτῃ τὰ πλεῖστα τῶν μνημάτων ὅσῳπερ ἥκιστά ἐστι πολυτελῆ, τοσούτῳ μεγίστην ἡμῖν αἰδῶ ἐμποιεῖ. — Ἐν τῇ Σπάρτῃ ὅσῳπερ μέγιστα ἦν τὰ τοῖς πολίταις προσήκοντα, τοσούτῳ χαλεπώτατον τὴν πολιτείαν ἐδίδοσαν τοῖς ἐκ τῶν Εἱλωτῶν τῶν ἄρτι ἀπηλευθερωμένων γεγονόσιν. — Ὅσῳπερ οἱ μεγάλοι ἄνδρες τοὺς τῶν Ῥωμαίων αὐτοκράτορας βέλτιστα εὐηργέτουν, τοσούτῳ μάλιστα ἐκείνοις εἰς ὑποψίαν ἐνέπιπτον. — Ἐδόκει ὁ Ἀλέξανδρος πρὸς τὸ τοῦ βίου τέλος ὅσῳπερ μάλιστα τῇ τρυφῇ καὶ ταῖς ἡδοναῖς ἑαυτὸν ἐδίδω πόῤῥω ὢν τῶν μαχῶν, τοσούτῳ τολμηρότατα ἑαυτὸν τοῖς κινδύνοις προβάλλειν. — Ἴσως δίκαιον ἦν ἂν λέγειν τὸ μὲν ἀποδημεῖν ὅσῳ νῦν ἐστὶν εὐπορώτατον, τοσούτῳ ἐλάχιστα πρὸς τὸ παιδεύειν ἐπιτήδειον, ἡμᾶς δὲ οὐ τοσοῦτον σπουδάζειν ὅπως τὰ ἤθη ἐπισκοπήσομεν τὰ τῶν ἐθνῶν ἃ προσερχόμεθα ὥσπερ τὴν χώραν αὐτῶν ὀψόμεθα. —Οἱ Λακεδαιμόνιοι ἔφασαν τοὺς τοῦ Λυκούργου νόμους ὅσῳπερ μάλιστα τῶν ὑπὸ τῶν ἄλλων νομοθετῶν κειμένων ἀφειστήκεισαν, τοσούτῳ τῆς φύσεως ἐγγυτάτους εἶναι. — Ὅσῳπερ οἱ ἄνθρωποι σκληροτάτῃ καὶ λιτοτάτῃ διαίτῃ ἐνειθισμένοι εἰσὶ, τοσούτῳ σπανιώταταί εἰσιν αἱ νόσοι.

2. Ὅσῳπερ ἀναγκαιότατον καὶ χαλεπώτατον ἦν κατέχειν ἄνδρας τοὺς ἐκ παίδων πάντων τῶν κινδύνων καὶ αὐτοῦ τοῦ θανάτου καταφρονεῖν εἰθισμένους, τοσούτῳ σκληρότατοι καὶ δεσποτικώτατοι ἦσαν οἱ τοῦ Λυκούργου νόμοι. — Ὅσῳπερ ἐν τῇ Σπάρτῃ τελειοτάτη ἐστὶν ἡ τῶν πολιτῶν ἰσοτιμία, τοσούτῳ σπανιώτατος ὁ φθόνος. — Ὁ Πλάτων Ἡσίοδον καὶ Ὅμηρον, ὅσῳπερ πλεῖστα ἀδικήματα καὶ πάθη ἀναφέρουσι τοῖς θεοῖς, τοσούτῳ σπουδαιότατον ἐκ τῆς ὑπ' αὐτοῦ πεπλασμένης πόλεως ἐξέβαλλεν. — Ὅσῳ ἐμπειρότατός ἐστιν ὁ ἀνὴρ καὶ βέλτιστα οἶδεν οὐδὲν ἐνταῦθα μόνιμον εἶναι, τοσούτῳ μάλιστα τοῦ ἄγαν ἄχθεσθαι ἢ ἥδεσθαι ἀπέχεται. — Ὁ Κικέρων ὅσῳπερ ὀκνηρότατον τὰ τοῦ Πομπηΐου εἵλετο, τοσούτῳ μετὰ τὴν ἐν Φαρσάλῳ ἧσσαν ἀπὸ τῆς ἐκείνου στάσεως ἀφίστασθαι ἔσπευδεν. — Οὐκ ἠξίου μὲν ὁ Πλάτων τὴν ὑπ' αὐτοῦ πεπλασμένην πόλιν δύνασθαί ὑπάρχειν, ἔλεγε δὲ πολιτείαν ὅσῳπερ τούτου τοῦ εἴδους ἐγγυτάτη γένοιτ' ἂν, τοσούτῳ ἔσεσθαι βελτίστην.

188e Exercice.

D'autant plus, d'autant moins, suivis de *que* sans comparatif (*Grammaire*, § 639).

1. Τὰ χρήματα τοσούτῳ πλείονος ποιοῦμαι ὅσον (ου διὰ τοῦτο πλείονος ποιοῦμαι ὅτι) τῇ ἀρετῇ κεκόσμηται. — Ἡ ἀκρισία τοσούτῳ ἐστὶ

βλαβερωτέρα ὅσον (ou διὰ τοῦτό ἐστι βλαβερωτέρα ὅτι) ἐξ αὐτῆς οὐ μόνον γίγνεται ἁμαρτήματα ἀλλὰ καὶ φιλονεικίαι καὶ στάσεις καὶ ἔριδες. — Ἄνθρωπος τὸν θεὸν φοβούμενος τοσούτῳ ἐλευθερώτερός ἐστιν ὅσον (ou διὰ τοῦτο ἐλευθερώτερός ἐστιν ὅτι) παντὸς ἑτέρου φόβου ἐστὶν ἀπηλλαγμένος. — Ἄνθρωπος ἄρτι ἀπηλευθερωμένος τοσούτῳ μᾶλλον τῆς ἐλευθερίας γεύεται ὡς ἡδεῖά ἐστιν ὅσον (ou διὰ τοῦτο μᾶλλον τῆς ἐλευθερίας γεύεται ὡς ἡδεῖά ἐστιν ὅτι) πολὺν χρόνον· αὐτῆς ἀπεστερήθη. — Ὀδυσσεὺς τὴν εὔνοιάν μου τοσούτῳ ῥᾷον ἐκτήσατο ὅσον (ou διὰ τοῦτο ῥᾷον ἐκτήσατο ὅτι) σχεδὸν οὕτως ὡς ἐγὼ τῷ τοῦ Ἡρακλέους θανάτῳ ἀχθόμενος ἔδοξεν. — Οἱ Ἕλληνες τὴν τοῦ Φιλοκτήτου κατάστασιν τοσούτῳ μᾶλλον ἐβδελύσσοντο ὅσον (ou διὰ τοῦτο μᾶλλον ἐβδελύσσοντο ὅτι) τιμωρίαν αὐτὴν εἶναι ὑπὸ τῶν θεῶν αὐτῷ πεμφθεῖσαν τῶν τοὺς ἐπιόρκους κολαζόντων ὑπελάμβανον. — Φιλοκτήτης, ἐπεὶ ὑπὸ τοῦ Ἑλληνικοῦ στρατοῦ ἐρημωθεὶς ᾔσθετο, τοσούτῳ μᾶλλον τῷ Ὀδυσσεῖ ἐξωργίσθη ὅσον (ou διὰ τοῦτο μᾶλλον τῷ Ὀδυσσεῖ ἐξωργίσθη ὅτι) ἐκεῖνος δὴ ὁ βασιλεὺς αὐτὸν εἰς τὸν πρὸς Τροίαν πόλεμον ἐνέβαλε. — Πᾶς ὁ στρατὸς Τηλεμάχῳ Ἱππίαν νικήσαντι τοσούτῳ μᾶλλον ἐπεκρότησεν ὅσον (ou διὰ τοῦτο μᾶλλον ἐπεκρότησεν ὅτι) ἐκεῖνος ῥωμαλέος μὲν ἦν καὶ ἀνδρεῖος, φιλόνεικος δὲ καὶ κτηνώδης. — Οἱ παραινετικοὶ λόγοι τοσούτῳ μᾶλλον τὰς τῶν νεανιῶν ψυχὰς κινοῦσιν ὅσον (ou διὰ τοῦτο μᾶλλον τὰς τῶν νεανιῶν ψυχὰς κινοῦσιν ὅτι) διὰ τῆς περὶ τὴν ἱστορίαν διατριβῆς ἐκ παίδων εἰθισμένοι εἰσὶ τά τε ἀρετῆς παραδείγματα θαυμάζειν καὶ τὰς κακίας ἀποτρέπεσθαι. — Δεῖ τοῖς ζώντων ἔτι τῶν βασιλέων ὧν μνημονεύουσι τὰ πράγματα συγγράψασι τοσούτῳ μᾶλλον ἀπιστεῖν ὅσον (ou διὰ τοῦτο μᾶλλον ἀπιστεῖν ὅτι) σπάνιόν ἐστιν αὐτοὺς μόνῃ τῇ ἀληθείᾳ ὑπηρετῆσαι.

2. Ἡ τῆς παιδείας ὠφελεία τοσούτῳ μείζων ἐστὶν ὅσον (ou διὰ τοῦτο μείζων ἐστὶν ὅτι) οὐ μόνον ἄνδρας ἐπιστήμονας ἀλλὰ καὶ πρὸς τὰ πράγματα καὶ δημόσια τέλη ἐπιτηδείους καθίστησι. — Τὰ μὲν μαθήματα τοσούτῳ μᾶλλον εὐδοκιμεῖν δίκαιόν ἐστιν ὅσον (ou διὰ τοῦτο μᾶλλον εὐδοκιμεῖν δίκαιόν ἐστιν ὅτι) πρὸς τὴν ἀρετὴν ἄγει, ἡ δὲ φιλολογία τοσούτῳ πλείονος ἀξία ὅσον (ou τοσούτῳ πλείονος ἀξία ὅτι) ἤθεσι χρηστοῖς συνῆπται. — Τοὺς πλείστους τῶν ἀνθρώπων οὕτως ὀλίγον τοῖς πανταχόθεν περικειμένοις θαύμασι προσέχειν τοσούτῳ δεινότερόν ἐστιν ὅσον (ou διὰ τοῦτο δεινότερόν ἐστιν ὅτι) φιλομαθεῖς πεφύκασι καὶ τοῦ καινὰ γιγνώσκειν ἐπιθυμητικοί. — Ἡ Μακεδονία τοσούτῳ ἧσσον τοῖς συνεχέσι πολέμοις ταλαιπωρεῖται ὅσον (ou διὰ τοῦτο ἧσσον τοῖς συνεχέσι πολέμοις ταλαιπωρεῖται ὅτι) καθ' ἑκάστην ἡμέραν νέοι αὐτῇ πόροι καὶ ἐκ τῶν χειρωθέντων ἐθνῶν ἃ λαφυραγωγοῦσι καὶ ἐκ τῆς τῶν ξένων ἐμπορίας ὑπάρχουσι τῶν πρὸς τοὺς λιμένας φοιτώντων ὧν ἐκείνη ἐκράτησεν ἐν τῇ Θεσσαλίᾳ.

— Ὁ Φίλιππος τοσούτῳ ἧσσον φοβεῖται μὴ ἅπασα ἡ Ἑλλὰς πρὸς αὐτὸν συνίστηται ὅσον (ou διὰ τοῦτο ἧσσον φοβεῖται.... ὅτι) καὶ οἱ ῥήτορες καὶ οἱ μέγιστον δυνάμενοι πολῖται καὶ πόλεις δή τινες σύνολοι αὐτῷ μισθοφοροῦσιν. — Ἡ τῶν Περσῶν ἀρχὴ ἡ τὴν τῶν Πάρθων διαδεξαμένη τοσούτῳ ἦν φοβερωτέρα τοῖς ἐν τῇ Κωνσταντίνου πόλει βασιλεύουσιν ὅσον (ou διὰ τοῦτο ἦν φοβερωτέρα τοῖς.... ὅτι) τούτοις ἀεὶ ἐπὶ πλείστους ὁμοῦ πολεμίους πολεμητέα ἦν. — Ὁ τῶν Ῥωμαίων δῆμος τὸν Καίσαρα εἰς θεοὺς εἰσδεχθῆναι τοσούτῳ ῥᾷον ἐπείσθη ὅσον (ou διὰ τοῦτο ῥᾷον ἐπείσθη ὅτι) τῶν ἀγώνων ἐπὶ τούτῳ τελουμένων κομήτης τις μακρὰν χαίτην ἔχων ἐν οὐρανῷ ἐφάνη.

189ᵉ Exercice.

Suite de *d'autant plus*, *d'autant moins*, suivis de *que* sans comparatif.

Ἡ τῶν ῥημάτων σύνταξίς ἐστι μέρος τῆς ῥητορικῆς τοσούτῳ πλείονος σπουδῆς ἄξιον ὅσον (ou διὰ τοῦτο πλείονος σπουδῆς ἄξιον ὅτι) ἡ τοῦ λόγου ἁρμονία καὶ ὁ ῥυθμὸς ὁμοίως καὶ τῷ πεπαιδευμένῳ καὶ τῷ ἀπαιδεύτῳ ἀρέσκει. — Ἀνάγκη ἦν Κικέρωνα τῷ κληρουχικῷ νόμῳ ἐναντιούμενον τοσούτῳ δεξιώτερον παρέχειν ἑαυτὸν ὅσον (ou διὰ τοῦτο δεξιώτερον ἑαυτὸν παρέχειν ὅτι) ἐν παντὶ χρόνῳ οἱ δήμαρχοι τούτῳ τῷ νόμῳ ὡς παλεύματί τινι καὶ δελεάσματι ἐχρήσαντο ὥστε τὸ πλῆθος προσαγαγέσθαι καὶ προσαρτήσασθαι. — Θεοδόσιος ὁ αὐτοκράτωρ τῇ τῶν Ἀντιοχέων στάσει τοσούτῳ μᾶλλον παρωξύνθη ὅσον (ou διὰ τοῦτο μᾶλλον παρωξύνθη ὅτι) τοὺς τὴν πόλιν οἰκοῦντας πολλὰ καὶ μεγάλα εὐεργετήσας ἤλπιζεν αὐτοὺς εὐχαρίστως πρὸς ἑαυτὸν ἔχειν. — Ὁ Ἡλιογάβαλος τοὺς Ῥωμαίους τῇ ἀκολασίᾳ τοσούτῳ μᾶλλον ἐξέπληξεν ὅσον (ou διὰ τοῦτο μᾶλλον ἐξέπληξεν ὅτι) αὐτοῦ ταῖς κακίαις οὐδὲ Ῥωμαϊκὸν οὐδέν τι ἐνῆν. — Οἱ τοῦ Φιλίππου στρατηγοὶ τοσούτῳ μᾶλλον Εὐμένει πρὸς αὐτοῦ πιστευομένῳ ἐφθόνουν ὅσον (ou διὰ τοῦτο μᾶλλον Εὐμένει.... ὅτι) οὐδὲ Μακεδὼν ἦν τὸ γένος. — Ἡ πρὸς τὸν Ἀλέξανδρον τῆς τῶν Ἀμαζόνων βασιλίσσης ἔντευξις δοκεῖ μοι εἶναι τοσούτῳ ἧσσον ἀξιόπιστος ὅσον (ou διὰ τοῦτο ἧσσον ἀξιόπιστος ὅτι) ὁ Ἀλέξανδρος ἅπαντα γράφων ἀκριβῶς τῷ Ἀντιπάτρῳ ὅσα ἔπραττε, τὸν μὲν Σκύθην φησὶν αὐτῷ διδόναι τὴν θυγατέρα εἰς γάμον, Ἀμαζόνος δὲ τῆσδε οὐ μνημονεύει. — Ὁ Σωκράτης ἔλεγε τοσούτῳ εὐλογώτερον εἶναι τοὺς θεοὺς ἐν εὐχαῖς μὴ τὰ καὶ τὰ ἀγαθὰ αἰτῆσαι ὅσον (ou διὰ τοῦτο εὐλογώτερον εἶναι μὴ.... ὅτι) αὐτοὶ μόνοι ἴσασιν ἃ συμφέρει ἡμῖν, ἡμεῖς δὲ πολλάκις αἰτοῦμεν αὐτοὺς ὧν μὴ τυχεῖν βέλτιον ἡμῖν γίγνοιτ' ἄν. — Οἱ νόμοι οἱ παρὰ τῆς Ἑλλάδος ἡμῖν ἐπιτεθειμένοι τοσούτῳ μονιμώτεροί εἰσιν ὅσον (ou διὰ τοῦτο μονιμώτεροί εἰσιν ὅτι) ἡμῖν οὐ νικηθεῖσι, τρόπον δέ τινα αἰτοῦσιν ἐπέθηκεν αὐτούς.

190ᵉ Exercice.

D'autant que (*Grammaire*, § 639, *Remarque*).

1. Ἀδίκως μεμφόμεθα τῇ τύχῃ, ἐπεὶ οὐδὲν τῶν ὧν ἡμᾶς ἀφαιρεῖ ἀγαθῶν ἴδιον ἡμῶν ἐστιν. — Ὁ Ἀννίβας εἰς τὸ τολμηροῖς ἐπιχειρεῖν πράγμασιν ἐπιῤῥεπὴς τὸν Ἀντίοχον ἔπειθεν εἰς τὴν Ἰταλίαν στρατεύσασθαι, ἐπεὶ ἡ ἐμπειρία ἐδίδαξεν αὐτὸν τοὺς Ῥωμαίους ἐπὶ ξένης μὲν ἀησσήτους ὄντας, οἴκοι δὲ ἀσθενεῖς. — Ὁ ἄνθρωπος οὐδέποτ' εὐδαίμων ἐστὶν, ἐπεὶ καὶ κακῶν οὐ παρόντων, οὐκ ἀληθινὰ ὡς ὄντα φαντασιοῦται. — Ἱπποκράτης εἰκότως τῆς ἰατρικῆς νομίζοιτ' ἂν πατὴρ, ἐπεὶ θαυμάσιόν τινα τρόπον διεξῆλθε τὰ τοῖς ταύτην τὴν αἵρεσιν προαιρουμένοις προσήκοντα. — Ὁ Ἑρμῆς ἱλέως τῆς τῶν ἐμπόρων εὐχῆς ἐπακούει, ἐπεὶ μέμνηται ὑφαρπάσας αὐτὸς τὰς βόας ἃς ὁ Ἀπόλλων ἔνεμεν. — Αἱ Λιβυκαὶ πόλεις ἄφθονα λάφυρα τοῖς Ἀγαθοκλέους στρατιώταις παρεῖχον, ἐπεὶ οὔτε τείχεσι περικεκλεισμέναι ἦσαν, οὔτε ἐπὶ λόφων κείμεναι. — Οἱ Λουκούλλου στρατιῶται ἀναγκαζόμενοι ἐν μέσοις μὲν βαρβάροις καὶ πολεμικοῖς ἔθνεσι χειμάζειν, Μιθριδάτην δὲ καὶ Τιγράνην εἰς ἀπόρους ἐρημίας διώκειν, τοῦ στρατηγοῦ κατεγόγγυζον, ἐπεὶ τὰ τῶν ὑπὸ Πομπηΐῳ ἐν Ἰβηρίᾳ καὶ ἐν Ἰταλίᾳ στρατευσαμένων στρατιωτῶν τοῖς καθ' ἑαυτοὺς παρέβαλλον. — Πολλοὶ τῶν βασιλέων προστατοῦσι τῶν τεχνῶν οὐ τοσοῦτον διὰ φιλοκαλίαν ὥσπερ ἐπιδείξεως ἕνεκα, ἐπεὶ οὕτω τὰ ἑαυτῶν ὀνόματα ἀθάνατα ποιῆσαι ἐλπίζουσιν. — Κικέρων οὐχ ἧσσον ἐγίγνετο τοῦ θριάμβου ἄξιος ἅτε τῇ Κιλικίᾳ ἐπάρξας ἢ πολλοὶ καὶ ἄλλοι ἀνθύπατοι ταύτης τῆς τιμῆς τυχόντες, ἐπεὶ χαλεπώτερον ἦν τὰς ὑποτεταγμένας ἐπαρχίας ἀπὸ τῆς τῶν ἱππέων ὕβρεως καὶ κακώσεως φυλάξαι ἤπερ ἄλλας κτήσασθαι τοῖς ὅπλοις.

2. Οἱ πρόγονοι ἡμῶν ἀσμένως τὸν βίον ὑπὲρ τοῦ τῇ πατρίδι συμφέροντος προΐεντο, ἐπεὶ ᾔδεσαν τῶν γενναίων ἀνδρῶν τὸ μὲν σῶμα θνητὸν, τὴν δὲ ψυχὴν καὶ τὴν δόξαν ἀθάνατον εἶναι. — Ὁ σοφὸς οὐδὲν μέγα οὐδὲ μακρὸν ἐν τοῖς τῇδε εὑρίσκει, ἐπεὶ τοῦ ἀϊδίου τῆς τε θείας δυνάμεως ἔννοιαν ἔχει. — Οἱ Λακεδαιμόνιοι πρὸς τοὺς Ἀθηναίους περὶ τῆς στρατηγίας ἁμιλλᾶσθαι οὐ διενοήθησαν, ἐπεὶ αὐτοὶ ἐπὶ τῇ τοῦ Παυσανίου προδοσίᾳ ᾐσχύνοντο. — Ἡ Καρχηδὼν, καίπερ περὶ τὴν ἐμπορίαν ἔχουσα, φιλοπόλεμος ἦν, ἐπεὶ ἀεὶ πρὸ τῶν ἐπὶ τοὺς Ῥωμαίους πολέμων ἐκ πολέμου ἐχρηματίσατο. — Προεώρα ὁ Φιλοποίμην τὴν πατρίδα τάχα τοῖς Ῥωμαίοις ὑποταχθήσεσθαι, ἐπεὶ καὶ κακῶς πράττοντες οἱ Ἕλληνες ὁμοίως πρὸς ἀλλήλους ἐστασίαζον. — Ὁ Βάῤῥων μάλιστα κελεύει τοὺς γεωργοὺς μὴ ὠνεῖσθαι κύνας θηρευτικὰς, ἐπεὶ τὴν τοῦ ποιμνίου φυλακὴν ἐπιτετραμμέναι οὐχ ἅπαξ καταλείψουσιν αὐτὸ ὥστε λαγὼν ἢ ἔλαφον μετατρέχειν. — Ὁ Μαρκέλλου θρίαμβος περίβλεπτος ἐγένετο, ἐπεὶ οὐ μόνον

ἀγγεῖα καὶ ἀγάλματα καὶ τίμια ἄλλα μέχρι τότε τοῖς Ῥωμαίοις ἄγνωστα ἀλλὰ καὶ ἐκεῖναι αἱ περιβόητοι μηχαναὶ ὤφθησαν ὑπ' Ἀρχιμήδους εὑρημέναι.

191ᵉ Exercice.

Autant répété (*Grammaire*, § 640).

1. Ὅσον οἱ Ῥωμαῖοι οἱ τὴν πρὸς τὰς ἀνατολὰς ἀρχὴν οἰκοῦντες τῶν πολεμικῶν ἠμέλησαν, τοσοῦτον οἱ Πάρθοι ἤσκησαν αὐτά. — Ὅσῳ ὁ Ὀκτάβιος τοῦ Ἀντωνίου τὴν ἀνδρείαν τε καὶ τὴν τῶν πολεμικῶν ἐμπειρίαν ἥσσων ἦν, τοσούτῳ κρείσσων τήν τε φρόνησιν καὶ τὴν τῶν πολιτικῶν ἐμπειρίαν. — Ὅσοι φιλόσοφοι, τοσαῦτα δόγματα. — Οἱ πονηροὶ ὡς ὑπερήφανοί τε καὶ ὑβριστικοί εἰσιν ὅταν καλῶς πράττωσιν, οὕτω ταπεινοὶ καὶ ὑφειμένοι εἰσὶ κακῶς πράττοντες. — Ὡς τὰ ἁμαρτήματα τὰ ἐξ ἀβουλίας γιγνόμενα συγγνώμης ἄξιά ἐστιν, οὕτω τὰ ἐκ κακοηθείας ψεκτέα. — Ὅσον ἡ θεοσέβεια τὰς ψυχὰς ὕψωσε, τοσοῦτον ἐταπείνωσεν αὐτὰς ἡ δεισιδαιμονία. — Ὅσους πολεμικὸς βασιλεὺς ὁμόρους, τοσούτους πολεμίους ἔχει φοβουμένους αὐτὸν, καὶ οἷς συμφέρει ἐκεῖνον ἀπολωλέναι. — Ὁσάκις ἐμαχέσατο ὁ Ἀλέξανδρος, τοσαυτάκις ἐνίκησεν. — Ὅσον θηρία τινὰ εὖ πάσχοντα αἰσθάνεται, τοσοῦτον τῶν πληγῶν καὶ δὴ τῶν ὕβρεων μέμνηται. — Ὡς οἱ τοῦ Δράκοντος νόμοι χαλεποὶ ἦσαν καὶ ὠμοὶ, οὕτω τοῖς τοῦ Σόλωνος πρᾶόν τι καὶ φιλάνθρωπον ἐνῆν. — Ἐν τῇ Ἀττικῇ κατείδομεν ὅτι ὡς οἱ δοῦλοι οἱ τὴν γῆν ἐργαζόμενοι καὶ σῖτον, οἶνον, ἔλαιον συλλέγοντες, ὑγιεινῶς εἶχον καὶ εὐδαίμονες εἶναι ἐδόκουν, οὕτω τοὺς ἐν μαρμάρου λατομίαις καὶ ἀργύρου μετάλλοις οἷον κατορωρυγμένους ἰσχνοὺς εἶναι καὶ ταλαιπώρους. — Ὡς ὁ τῶν κατὰ τὸν Κῦρον Μήδων βίος τρυφερὸς ἦν καὶ ἁβρὸς, οὕτω σκληρὸς ἦν καὶ ἐπίπονος ὁ τῶν Περσῶν. — Ὅσον ἡ ἀηδὼν τῷ τῆς φωνῆς ἡδεῖ τὰς ἀκοὰς ἡμῶν ἐπᾴδει, τοσοῦτον ὄρνιθές τινες ἐνοχλοῦσιν αὐταῖς ἀηδεῖ τῇ στωμυλίᾳ.

2. Οἱ Σπαρτιᾶται ὡς τὸν τῶν πολιτῶν βίον πολλοῦ ἐποιοῦντο, οὕτω μικροῦ ἡγοῦντο τὸν τῶν Λακεδαιμονίων τῶν συστρατευομένων. — Ὡς αἱ τοῦ Βελισαρίου καὶ τοῦ Νάρσους νῖκαι τὴν Ἰουστινιανοῦ βασιλείαν εὐδόκιμον ἐποίησαν, οὕτω ταῦτα τὰ κατορθώματα ἄχρηστα ἐγένετο διὰ τὴν τούτου τοῦ βασιλέως ἀβουλίαν. — Ὁ Λούκουλλος ὅσην ἰσχὺν καὶ ἀνδρείαν ἐν τῷ Μιθριδατικῷ πολέμῳ, τοσαύτην ὕστερον τρυφὴν καὶ φιληδονίαν οἴκαδε ἐπανελθὼν ἔδειξεν. — Ὡς ἡ τῶν Ῥωμαίων ἵππος ἦν τοξεύειν ἠσκημένη, οὕτως ἡ τῶν Γοτθῶν δεξιῶς τῷ δόρατι καὶ τῷ ξίφει ἐχρῆτο. — Ὅσῳ ὁ Ἡρόδοτος τοῦ Θουκυδίδου τῇ τοῦ λόγου ἡδονῇ καὶ αὐτοφυεῖ χάριτι κρείττων ἐστὶ, τοσούτῳ τῇ ἀγχινοίᾳ διαφέρει ὁ Θουκυδίδης, δι' ἧς τὰ τῶν συμβάντων αἴτια διαγιγνώσκει. — Ὅσον ἡ τοῦ Μιλτιάδου δόξα

τῷ Θεμιστοκλεῖ ἠνώχλει, τοσοῦτον ἡ τοῦ Ἡροδότου δοκεῖ Θουκυδίδην παρορμῆσαι πρὸς τὸ ζηλῶσαι. — Ὅσον ἡ δρῦς πρὸς τὸν οὐρανὸν ἐξαίρει τὴν κορυφὴν μετέωρον, τοσοῦτον τὰς ῥίζας βαθείας εἰς τὴν γῆν ἐμβάλλει. — Ὅσον τὸ τῶν Ἀθηναίων ἀσταθές τε καὶ εὐμετάβλητον τοῖς Λακεδαιμονίοις ἀπήρεσκε, τοσοῦτον καὶ ὕστερον οἱ Ῥωμαῖοι σεμνότατοι ὄντες τῇ τῶν Ἑλλήνων κουφότητι προσεκόπτοντο. — Ὅσας ὁ ἄνθρωπος ἐπιθυμίας, τοσούτους δεσπότας ἔχει φοβερούς. — Ὅσον οἱ βασιλεῖς τῶν ἄλλων ἀνθρώπων διαφέρουσι τῷ ἀξιώματι, τοσοῦτον καὶ τῇ ἀρετῇ δεῖ αὐτοὺς διαφέρειν ἐκείνων.

192ᵉ Exercice.

Suite de *autant* répété.

1. Αὔγουστος πρὸς Ὀβίδιον ὡς πρῶτον εὐνοϊκὸς ἐγένετο, οὕτως ἀπαραιτήτως αὐτῷ ἐχρήσατο, ἐπεὶ ὁ κακοδαίμων ποιητὴς αὐτῷ εἰς ἀπέχθειαν ἔπεσεν. — Ὡς ἡ Ἀττικὴ λέξις ἀφελὴς ἦν καὶ αὐτοφυής, οὕτως ἡ Ἀσιατικὴ ἦν κεκοσμένη καὶ κεκαλλωπισμένη. — Ὅσην οἱ πάλαι τῶν Ῥωμαίων στρατηγοὶ ἰσχὺν εἶχον πρὸς τὸ χώρας προσκτήσασθαι τῇ ἀρχῇ, τοσαύτην σπουδὴν ἐδείκνυσαν πρὸς τὸ προστατεῖν ὧν ἐνίκησαν ἐθνῶν καὶ ὑπὲρ αὐτῶν ἐν τῇ συγκλήτῳ ἀγορεύειν. — Ὁ Φίλιππος ὅσου τὴν πολεμικὴν τέχνην ἡγεῖτο, τοσούτου καὶ τὴν τοῦ λέγειν δεινότητα καὶ τὴν ἐπιστήμην. — Ὅσῳ ὁ νοῦς τοῦ σώματος κρείττων, τοσούτῳ σπουδῆς ἡμετέρας ἀξιώτερόν ἐστι τὸν νοῦν ἢ τὸ σῶμα ἀσκῆσαι. — Ὅσον ἡ τοῦ Ἀγησιλάου ἀφέλεια τοῖς Ἕλλησι τὴν ἀληθῆ ἀρετὴν τιμῶσι σεμνὴ ἦν, τοσοῦτον τοῖς Αἰγυπτίοις τῇ τῶν κατ' ἀνατολὴν βασιλέων πομπῇ ἐνειθισμένοις γελοία εἶναι ἔδοξεν. — Ὅσα ἐν τῇ Ἑλλάδι ἦν ἔθνη τῷ γένει διαφέροντα, τοσαῦται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ διάλεκτοι ἦσαν. — Ὅσον ὁ Κινέας τὴν τῶν ἀνδρῶν τὰ τῆς πόλεως πραττόντων ἀφιλαργυρίαν καὶ μεγαλοψυχίαν ἐξεπλάγη, τοσοῦτον μετ' ἐνίας ἑκατονταετηρίδας ὁ Ἰουγούρθας τοὺς τὴν οἰκουμένην νικήσαντας τῆς δωροδοκίας καὶ τῆς διαφθορᾶς ἐθαύμασεν. — Ὅσην ὁ Δίων παρὰ τοῦ δήμου εὔνοιαν ἐν Συρακούσαις ἐκτήσατο ἅτε τῷ Διονυσίῳ ἐναντιούμενος, τοσοῦτο μῖσος ἔσχε πρὸς τοῦ πλήθους ἐπεὶ τῆς ἀρχῆς ἐκράτησεν. — Ὡς ἀνάγκη ἐστὶ τὰ τῶν παίδων μέλη ἀπὸ τῆς γενετῆς πλάσαι ἵνα αὐτοὶ ὀρθοὶ καὶ εὔμορφοι αὐξάνωνται, οὕτω καὶ τὰ ἤθη αὐτῶν ἀπ' ἀρχῆς ῥυθμίσαι ἀνάγκη.

193ᵉ Exercice.

Plus répété (*Grammaire*, § 641).

1. Ὅσῳ ἐλευθερωτέρα ἦν ἡ Ἑλλάς, τοσούτῳ ἀναγκαιότερον ἦν τοὺς τῶν ἠθῶν καὶ τῆς πολιτικῆς κοινωνίας κανόνας ἐπ' ὀρθοῖς λόγοις καταστῆσαι. — Ὅσῳ ἐπαρχία τις πλουσιωτέρα ἦν καὶ εὐδαιμονεστέρα, τοσούτῳ σφοδρό-

τερον τὴν τῶν βαρβάρων πλεονεξίαν ἤγειρε τῶν εἰς τὴν Ῥωμαϊκὴν ἀρχὴν εἰσβαλλόντων. — Ὅσῳ πλείους ἡγεμόνας ἔχει στρατὸς τὴν δύναμιν καὶ τὴν δόξαν ἴσους ἀλλήλοις, τοσούτῳ ἀσθενέστερός ἐστι καὶ ἀτακτότερος. — Ὁ Πλάτων ἔλεγεν ὅσῳ μᾶλλον ἡ παιδεία ἐν πόλει ἠμελημένη ἐστὶ, τοσούτῳ πλειόνων ἰατρῶν καὶ δικαστῶν ἐκείνην δεῖσθαι. — Ὅσῳ ἐπιπονώτερον τὰ ἀγαθὰ ἐκτησάμεθα, τοσούτῳ μᾶλλον αὐτὰ ἡμᾶς εὐφραίνει. — Ὅσῳ μᾶλλον τῆς τῶν ἄλλων ἀμαθείας καταφρονήσεις, τοσούτῳ μᾶλλον ἀσύγγνωστος ἔσῃ εἰ μὴ τὸν νοῦν ὅτι σπουδαιότατα ἀσκήσεις. — Ὅσῳ δυνατώτερός ἐστι βασιλεὺς, τοσούτῳ μᾶλλον δεῖ φυλάξασθαι αὐτὸν ὅπως μὴ τοὺς νόμους παραβαίνῃ. — Ὅσῳ πλείω ὁ Αἴσωπος τῷ δεσπότῃ Ξάνθῳ ὑπούργει, τοσούτῳ ἧσσον ἐκεῖνος ἠξίου αὐτὸν ἀπελευθερῶσαι. — Πλειονάκις ἔδειξεν ἡ ἐμπειρία ὅτι ὅσῳ (ou ᾗ) αἱ πόλεις εὐδαιμονέστεραί εἰσι καὶ δυνατώτεραι, τοσούτῳ (ou ταύτῃ) ἐγγυτέρω εἰσὶ τῆς παρακμῆς. — Ὅσῳ πλείους οἱ ἄνθρωποι ἐγίγνοντο, τοσούτῳ πλείω ἦν ἐν τῇ γῇ τὰ ἀδικήματα, καὶ τοσούτῳ μᾶλλον νόμων βεβαίων καὶ εὖ διωρισμένων δεόμενοι ᾐσθάνοντο. — Ὅσῳ μᾶλλον ἡμᾶς εἴτε ἡ τύχη εἴτε ἡ τῶν ἀνθρώπων κοινωνία ὕψωσε, τοσούτῳ πλείω ἡμῖν πράττειν ἐπιτίθησιν. — Ὅσῳ σπουδαιότερον περὶ τὴν ἱστορίαν διατρίβομεν, τοσούτῳ μᾶλλον αἰσθανόμεθα ἐλάχιστον τῇ τύχῃ μετεῖναι τῶν συμβαινόντων ἐξ ὧν ἀλλήλοις ἑπομένων ὁ τῶν ἐθνῶν βίος συνέστηκεν. — Ὅσῳ ἡ Ἰουστινιανοῦ βασιλεία ταπεινοτέρα ἦν καὶ φαυλοτέρα, τοσούτῳ μᾶλλον ἐξέλαμψε ἡ τοῦ Βελισαρίου μεγαλοψυχία καὶ θεσπεσία φύσις.

2. Πολλάκις οἱ βασιλεῖς ποιμέσιν ἀπεικάζονται· ὅσῳ (ou ᾗ) γὰρ τὸ ποίμνιον πλεῖόν ἐστι, τοσούτῳ (ou ταύτῃ) μείζονος ἐπιμελείας καὶ προνοίας δεῖ ὥστε τρέφειν αὐτὸ καὶ πιαίνειν καὶ ἀπὸ πάσης ἐπιβολῆς φυλάττειν. — Ὅσῳ βραδυτέρα ἡ μνήμη, τοσούτῳ καὶ βεβαιοτέρα ἐστὶ, καὶ τοσούτῳ ἀκριβέστερον φυλάσσει ὅσ' ἅπαξ κατέλαβεν. — Ὅσῳ μᾶλλον ὁ Ὀρτήσιος τῶν ἄλλων Ῥωμαίων ῥητόρων διέφερε, τοσούτῳ βέλτιον τὴν ἄρτι ἀρχομένην τοῦ Κικέρωνος δεινότητα ᾐσθάνετο. — Ὅσῳ σκληροτέρα καὶ αὐστηροτέρα ἦν ἡ τῶν ἐν Σπάρτῃ νεανιῶν δίαιτα, τοσούτῳ ῥᾴων καὶ ἡδίων ἡ ἐν στρατοπέδοις ἐδόκει αὐτοῖς. — Ὅσῳ μᾶλλον οἱ βασιλεῖς τῇ ἀτυχίᾳ δεδοκιμασμένοι εἰσὶ, τοσούτῳ δικαιοτέρους καὶ σωφρονεστέρους ἑαυτοὺς παρέχουσι, τοῖς δὴ κόχλαξιν ὅμοιοι ὄντες οἳ τοσούτῳ στερεώτεροι καὶ λειότεροι γίγνονται ὅσῳ μᾶλλον κυλινδοῦνται τοῖς κύμασι. — Ἧ ἀτοπώτερός ἐστιν ὁ φόβος, ταύτῃ μᾶλλόν ἐστι δυσίατος. — Ὅσῳ ἧσσον μνημονεύσεις τῆς σου ἀρετῆς, τοσούτῳ μᾶλλον αὐτῆς οἱ ἄλλοι μνημονεύσουσιν. — Ὅσῳ (ou ᾗ) οἱ ἄνθρωποι βελτίους τε καὶ χρηστότεροί εἰσι, τοσούτῳ (ou ταύτῃ) ῥᾷον ἀλλήλοις ὁμονοοῦσι περὶ τῶν καὶ κοινῇ καὶ ἰδίᾳ συμφερόντων αὐτοῖς. — Ὅσῳ ὁ Ἀλκιβιάδης πλείω καὶ μείζω

ἐποίησε, τοσούτῳ ἑτοιμότερος ἦν ὁ δῆμος κακῶς πράττοντος αὐτοῦ τὴν ἀμέλειαν ἢ τὴν προδοσίαν κατηγορεῖν.

194ᵉ Exercice.

Suite de *plus* répété.

Ὅσῳ ἧσσον τὰ ἔθνη γιγνώσκει ἄλληλα, τοσούτῳ μᾶλλον πρὸς ἄλληλα ἀπεχθῶς καὶ τυφλῶς διάκειται. — Ὅσῳ (ou ᾗ) ἔλασσον ὁ Σωκράτης αἷς διεσύρετο διαβολαῖς προσεῖχε, τοσούτῳ (ou ταύτῃ) μᾶλλον σιωπῶν τοὺς κατηγοροῦντας παρώξυνεν. — Ὅσῳ ἔλασσον σύνηθες ἦν Ἀλεξάνδρῳ τοὺς ἀντιλέγοντας ἔχειν, τοσούτῳ μᾶλλον τῇ γενναίᾳ τοῦ Καλλισθένους παῤῥησίᾳ παρωξύνθη. — Ἐν τοῖς δεινοῖς ὅσῳ ἀτοπώτεροι λόγοι διαφέρονται, τοσούτῳ προθυμότερον αὐτοὺς δέχεται τὸ πλῆθος. — Ὅσῳ ποῤῥωτέρω τῆς ἄρκτου προερχόμεθα, τοσούτῳ μᾶλλον ἰσχνὰ καὶ διάστροφα γίγνεται τὰ φυτά. — Ὅσῳ (ou ᾗ) μείζων καὶ δυνατώτερος ἐνταῦθα ἐγένετο ὁ ἀνὴρ ὁ ἐπιταφίῳ λόγῳ ἐγκωμιαζόμενος, τοσούτῳ (ou ταύτῃ) μᾶλλον ἐγὼ τοῖς ὑπερβάλλουσιν ἐπαίνοις ἀπιστῶ οἷς τιμᾶται. — Ὅσῳ ποῤῥωτέρω ἡμῶν χρόνου ἢ χώρας διαστήματι τὰ πράγματα γίγνεται, τοσούτῳ ἱκανώτερά ἐστι τῇ ποιήσει καλλωπίζεσθαι. — Ὅσῳ (ou ᾗ) μᾶλλον ἡ Γαλλία πρὸς τὴν τῶν λόγων ἐν τῇ ἑσπερινῇ ἀνακαίνισιν, μάλιστα δὲ πρὸς τὴν τῆς Ἑλληνικῆς διαλέκτου μελέτην συνειργάσατο, τοσούτῳ (ou ταύτῃ) αὐτῇ αἴσχιον ἂν εἴη ταύτην τὴν διάλεκτον μαραίνεσθαι καὶ φθίνειν ἐᾶν. — Ὅσῳ κάκιον πράττει ἡ πατρὶς, τοσούτῳ μᾶλλον ἡ τοῦ ἔρωτος σφοδρότης ἀναφαίνεται ὃν πάντες πρὸς αὐτὴν ἐν τῇ ψυχῇ ἔχομεν. — Ὅσῳ μᾶλλον τῇ πατρίδι ἐπλησίαζον οἱ Ἕλληνες οἱ σὺν τῷ νεωτέρῳ Κύρῳ ἀναβάντες, τοσούτῳ τραχύτερος ἐγίγνετο ὁ οὐρανὸς καὶ χαλεπωτέρα ἡ χώρα, καὶ τοσούτῳ βαρβαρώτερα καὶ πολεμικώτερα ἦν τὰ ἔθνη. — Ὅσῳ (ou ᾗ) μᾶλλον ἔθνος τι τῶν ἐπιχωρίων ἐθῶν ὧν παρὰ τῶν πατέρων διεδέξατο ἀφίσταται τὰ τῶν ἀλλοδαπῶν ληψόμενον, τοσούτῳ (ou ταύτῃ) μᾶλλον τῆς ἰσχύος ἀποβάλλει. — Οἱ περὶ Ἀλέξανδρον στρατηγοὶ ἐμέμφοντο ὅτι ὅσῳ πιστότερον τῷ βασιλεῖ ὑπούργουν, τοσούτῳ μᾶλλον Ὀλυμπιὰς ἡ μήτηρ αὐτοὺς παρ' ἐκείνῳ διαβάλλοι. — Ὅσῳ μᾶλλον ὁ Τηλέμαχος καὶ ὁ Μέντωρ εἰς τὰ ἔνδον τῆς Αἰγύπτου προήρχοντο τὸν Νεῖλον ἀναπλέοντες, τοσούτῳ μᾶλλον τὴν τῆς χώρας εὐδαιμονίαν, καὶ τῶν πόλεων καὶ τῶν μνημάτων τὸ κάλλος καὶ τῶν γεωργῶν τὴν εὐπορίαν ἐξεπλήττοντο.

195ᵉ Exercice.

Assez pour (*Grammaire*, § 642).

1. Οἱ Ἀθηναῖοι οὕτω δεισιδαίμονες ὄντες ὥστε ἄνθρωπον δρυὸς κλάδον ἐν ἄλσει τοῖς ἥρωσιν ἱερωμένῳ τέμνοντα θανατῶσαι, ὅμως τῶν πάλαι

ἐθνῶν σοφώτατοι εἶναι νομίζονται. — Ἐπεὶ ὁ Διονύσιος πρὸς τὸν Πλάτωνα ἔγραψε δεόμενος μὴ κακῶς αὐτὸν λέγειν, ἀπεκρίνατο ὁ φιλόσοφος οὐ τοσοῦτον ἑαυτὸν σχολάζειν ὥστε τοῦ Διονυσίου μέλειν αὐτῷ. — Πειρῶ οὕτω μὲν πεπαιδευμένος εἶναι ὥστε διαγιγνώσκειν τὸ ἀγαθὸν, οὕτω δὲ εὐσταθὴς ὥστε πράττειν αὐτὸ βούλεσθαι. — Τίς ἄνθρωπος οὕτω μωρὸς ἂν εἴη ὥστε τὰ τῆς θαλάσσης κύματα ἢ τὸ ἀμήχανον τῶν ἀστέρων πλῆθος τῶν ἐν οὐρανῷ λαμπόντων ἀριθμεῖν βούλεσθαι; — Ἀλέξανδρος χρόνον μὲν ἱκανὸν ἔζησεν ὥστε τὴν ἀνατολὴν καταστρέψασθαι, οὐχ ἱκανὸν δὲ ὥστε εἰς τὸ ἀεί. — Τίς οὐκ οἶδε τὸν δαίμονα οὕτω μέγαν εἶναι καὶ δυνατὸν ὥστε πάντα ὁμοῦ ὁρᾷν καὶ ἀκούειν, καὶ πανταχοῦ παρεῖναι καὶ πάντων ἐπιμελεῖσθαι; — Οἱ Βαβυλώνιοι τοσαῦτα σιτία ἔχοντες ὥστε πολλῶν ἐτῶν πολιορκίαν ὑπομένειν τοὺς Κύρου πόνους καὶ τὰ ἔργα ἐν γέλωτι ἐποιοῦντο.—Πάλαι μὲν, φησὶν ὁ Ξενοφῶν, οὕτω σοφοὶ ἦσαν οἱ Λακεδαιμόνιοι ὥστε μᾶλλον ἑλέσθαι οἴκοι τὰ μέτρια στέργειν καὶ ὁμοῦ ζῆν ἢ τῶν τῆς Ἑλλάδος πόλεων ἄρχειν. — Τοσαύτην προθυμίαν, εἶπον οἱ Μακεδόνες, καὶ τοσαυτάκις τῷ Ἀλεξάνδρῳ ἐπεδείξαμεν ὥστε μὴ ἄχθεσθαι αὐτὸν εἴ τι ἐγογγύσαμεν, ἢ πικρότερόν τι ἐλέγομεν ἐν ταῖς ὁδοιπορίαις κάμνοντες ἢ ἐν ταῖς μάχαις κινδυνεύοντες. — Ἀρχίου, τῶν περὶ Ἀντίπατρόν τινος, τὸν Δημοσθένην πρὸς τὸν Μακεδόνα βαδίζειν πείθοντος· « Ὦ Ἀρχία, εἶπεν ὁ Δημοσθένης, οὔτε σὺ ὑποκρινόμενος πώποτε οὕτω δεινὸς ἐγένου ὥστε με κινῆσαι, οὔτε νῦν οὕτω δεινὸς ἔσῃ ὥστε με πεῖσαι ἐπαγγελλόμενος. — Καυχωμένου τινὸς πρὸς Ἀρίστιππον ἐπὶ τῷ κολυμβᾷν· » Ἆρ' οὖν οὕτω σὺ κενὸς εἶ, εἶπεν ὁ φιλόσοφος, ὥστε μέγα φρονεῖν δελφῖνι ὅμοιος ὤν;

2. Ὁ Φωκίων οὕτω δεινὸς ἦν λέγειν ὥστε Δημοσθένην τὴν αὐτοῦ φρόνησιν φοβούμενον τὴν τῶν ἑαυτοῦ λόγων κοπίδα ἐκεῖνον ἐπονομάσαι. — Ὁ Θησεὺς οὕτως Ἀθήνας ηὔξησεν ὥστε ἤδη τότε μεγίστη Ἑλλάδος πόλις ἐγένετο. — Ὁ Καῖσαρ οὕτω θρασὺς ἐγένετο ὥστε τῆς Σύλλα στάσεως μέγιστον ἔτι δυναμένης τὰς μὲν τοῦ Μαρίου εἰκόνας ἐν τῇ Ἰουλίας τῆς θείας ἐκφορᾷ προθέσθαι, κατὰ δὲ τὸ Καπιτώλιον Νίκας τροπαιοφόρους ἀναστῆσαι τὰ Κιμβρικὰ καὶ Τευτονικὰ κατορθώματα γράμμασι διαδηλούσας. — Οἱ Ἀθηναῖοι τοσούτων πολιτείας εἰδῶν ἐπειράθησαν ὥστε τὰ ἐν ἑκάστῳ ἀγαθὰ καὶ ἐλλιπῆ ὄντα εἰδέναι. — Ὁ Νικίας ἀνδρεῖος μὲν καὶ φρόνιμος ἦν, οὐ δὲ οὕτως παρὰ τοῖς στρατιώταις ἴσχυεν οὐδὲ οὕτως ὁρμητικῶς εἶχεν ὥστε τὸν αὐτῶν θυμὸν παροξύνειν. — Ὁ Πῶρος οἵ τε ὑπήκοοι αὐτῷ ἄνθρωποι, εἰ καὶ ἀνδρεῖοι καὶ μαχητικοὶ ἦσαν, οὐχ οὕτω τῶν πολεμικῶν ἐμπείρως εἶχον ὥστε Ἀλέξανδρον καὶ τοὺς στρατιώτας αὐτοῦ κατέχειν τε καὶ νικᾷν. — Ὁ Καῖσαρ καὶ ὁ Πομπήϊος, εἰ καὶ μέγιστον ἐν τῇ πόλει ἠδύναντο, τοσούτου τὴν φιλοσοφίαν ἐποιοῦντο ὥστε ἐλθόντες ἀκροάσα-



σθαι ὁ μὲν Ἀρίστωνος, ὁ δὲ Κρατίππου. — Οἱ Σάμιοι πάλαι οὕτω δυνατοὶ ἐγένοντο ὥστε πρὸς τοὺς Ἀθηναίους περὶ τῆς θαλασσοκρατίας ἁμιλλήσασθαι. — Οἱ μὲν Δέλφειοι οὕτω μωροὶ γενόμενοι ὥστε τῇ τοῦ Αἰσώπου παῤῥησίᾳ ἀχθεσθῆναι, οὕτω δὲ ἀπάνθρωποι ὥστε θανατῶσαι αὐτὸν, χαλεπῶς διὰ τοῦτο ὑπὸ τῶν θεῶν ἐκολάσθησαν. — Ὅταν ἄνθρωπός τις οὕτω τυφλὸς ᾖ ὥστε μὴ ὁρᾷν τὸ ἐμφανὲς, οὐ ῥᾴδιόν ἐστι λογισμοὺς ἐλεγκτικοὺς πρὸς αὐτὸν εὑρεῖν. — Ἀνήρ τις Ἀθηναῖος τοὔνομα Πολύξενος ἐν κωμῳδίᾳ τινὶ διασυρθεὶς οὕτως ἀνόητος ἐγένετο ὥστε δι' ἀπόγνωσιν ἑαυτὸν ἀπάγξαι. — Ἐνίους μὲν ἰδεῖν ἔστι μάλ' ὀλίγα μὲν ἔχοντας, οὕτω δὲ πλουσίους ὄντας ὥστε διδόναι, ἄλλους δὲ μεγίστην οὐσίαν κεκτημένους οὐδὲ οὕτω πλουσίους ὥστε τὰ ὀφειλόμενα ἀποδιδόναι.

196ᵉ Exercice.

Suite de *assez pour* (*Grammaire*, § 642, *Remarque*).

1. Ὁ Θουκυδίδης οὐχ οὕτως ἦν τῷ δήμῳ κεχαρισμένος ὡς ἐπὶ πολὺ τῇ τοῦ Περικλέους δυνάμει ἀντισχεῖν. — Οἱ Λακεδαιμόνιοι οὐκ ἠδύναντο πεισθῆναι τοὺς Θηβαίους οὕτω θρασεῖς ἔσεσθαι οἳ αὐτοῖς μάχην συνάψουσιν. — Πολλοὶ ἥρωες, καὶ μὴ παρόντος Ἀχιλλέως, οὕτω τῇ ἑαυτῶν ἀλκῇ ἐπίστευον οἳ διὰ μάχης τῷ Ἕκτορι ἰέναι ἠξίωσαν. — Τῶν τὴν Ῥώμην ἐνοικούντων τὸ πλῆθος οὐχ οὕτως ἐπὶ τῇ τοῦ Πλαύτου καὶ τοῦ Τερεντίου χάριτι ἥδετο ὥστε τῶν μονομαχιῶν καὶ τῶν κιρκησίων ἐκλανθάνεσθαι. — Ὁ Λέπιδος, εἰ καὶ ἀφυὴς ἦν, τοσοῦτον μέντοι παρὰ τοῖς στρατιώταις ἴσχυεν, οὗ τῆς φιλίας ὁ Ὀκτάβιος καὶ ὁ Ἀντώνιος ἀντεποιοῦντο. — Ὁ Σωκράτης τῆς ἐκκλησίας προεδρεύων τοσαύτην καρτερίαν παρέσχεν ὃς τὸν δῆμον ἐκώλυσε μὴ τοὺς νόμους παραβαίνειν. — Ὁ Ἀγχίσης οὕτω δυσδαίμων ἐγένετο ὃς δὶς τῇ Τροίας τῆς πατρίδος ἁλώσει ἐπέζησεν. — Βασιλεύς τις τῶν Θρᾳκῶν οὕτως ὠμὸς ἐγένετο ὃς τοὺς ὀφθαλμοὺς τοῖς υἱοῖς ἐξέκοψεν τοῖς μετὰ Ξέρξου ἐπὶ τοὺς Ἕλληνας ἐλάσασιν. — Ἀλέξανδρος οὕτω τῆς ἰατρικῆς ἔμπειρος ἦν ὃς τοῖς φίλοις νοσοῦσι θεραπείας τινὰς ἐπέταττεν. — Εἰ μόνον τὴν Ἀσίαν ταράξαντες ἀναχωρήσομεν, οἱ Πέρσαι τοσάκις νικηθέντες ἀναθαῤῥήσαντες οὕτως ἰσχυροὶ ἔσονται οἳ εἰς ἡμᾶς ὥσπερ εἰς γυναῖκας εἰσβαλοῦσιν.

2. Οὐχ οὕτω τίμιός ἐστιν ὁ βίος ὃν ᾡτινιοῦν τρόπῳ διασώζειν πειρώμεθα. — Οἱ βάρβαροι οὕτως ἔτι τὴν τῆς Ῥώμης δύναμιν ᾐδοῦντο οἳ μόνον τρέμοντες τοῖς τείχεσιν αὐτῆς ἐπλησίαζον. — Φασὶν ἐλέφαντά τινα τὸν ἡγεμόνα ὑπ' ὀργῆς ἀποκτείναντα οὕτω κινηθῆναι ὥστε πόθῳ καὶ μετανοίᾳ ἀποθανεῖν. — Οἱ τῶν Ῥωμαϊκῶν τάγματων ἱππεῖς οὔτε οὕτως ἠσκημένοι οὔτε οὕτως εὔϊπποι ἦσαν οἳ τῷ τῶν Νομάδων ἱππικῷ ἀνθίσταντο. —

Ἀννίβας εὖ μὲν ᾔδει οὐ τοσαύτην δύναμιν ἔχων δι' ἧς τὴν τῶν Ῥωμαίων ἀρχὴν ἀναιρήσει, ἤλπιζε δὲ οὐ μόνον τοὺς Κέλτας ἀλλὰ καὶ πάντας δὴ τοὺς Ἰταλοὺς ἑαυτῷ προσελθεῖν. — Οὐδεὶς ὑμῶν, ὡς ἐμοὶ δοκεῖ, οὕτως ἀνόητός ἐστιν ὅστις Μυρωνίδην ἢ Καλλικράτη τινὰ τῆς δεξιότητος θαυμάζει τοὺς τέθριππα ποιήσαντας ἃ μυῖα μία καλύπτειν ἐδύνατο, καὶ δίστιχον σησάμῳ ἑνὶ ἐπιγράψαντας. — Τίς πύργος οὕτως ἐστὶν εὖ πεφυλαγμένος εἰς ὃν χρυσοῦς ὑετὸς οὐ δύναται εἰσιέναι; — Ὅσῳ παρὰ τοῖς πάλαι τὰ περὶ τὸν πόλεμον σκληρότερα ἦν, τοσούτῳ μᾶλλον ἐπαινετέος ἐστὶν ὁ Δημήτριος ὁ τῶν Ἀθηνῶν κρατήσας καὶ οὕτως ἑαυτὸν φιλόφρονα παρασχὼν ὃς σιτία πᾶσι τοῖς δεομένοις πολίταις διέδωκε. — Τοῦ Γέλωνος τοὺς Καρχηδονίους ἐγγὺς Ἱμέρας νικήσαντος, οὐδεμία τῆς Σικελίας πόλις οὕτως ἰσχυρὰ ἐγένετο ἥτις αὐτῷ ἀντέστη.

197e Exercice.

Trop pour (*Grammaire*, § 643).

1. Ὁ Σιμωνίδης ἔλεγε τοὺς Θεσσαλοὺς ἀπαιδευτοτέρους εἶναι ἢ ὡς (ou ὥστε) ὑπ' αὐτοῦ ἀπατᾶσθαι. — Ὁ Φωκίων εὐσταθέστερος μέν ἐστιν ἢ ὡς (ou ὥστε) ἀπειλαῖς κινεῖσθαι, τοῦ δὲ συμφέροντος ἀμελέστερος ἢ ὡς (ou ὥστε) πείθεσθαι ἐπαγγέλμασιν. — Ἡ ἐπιστάμη νῦν μείζων ἐστὶν ἢ ὡς ἄν τις ὅλην περιλαμβάνειν ἐλπίζοι. — Αἱ τῶν ὀρνίθων τῶν τε ἰχθύων μεταστάσεις μᾶλλον τεταγμένως γίγνονται ἢ ὥς τις ἀπὸ τύχης αὐτὰς γίγνεσθαι ἂν νομίζοι. — Ὁ Οὐαλεντινιανὸς ὁ τὸν Ἰουλιανὸν διαδεξάμενος εἰ καὶ εὐφυέστατος ἦν, βιαιότερος καὶ δὴ ὠμότερος ἐγένετο ἢ ὡς μέγας εἶναι βασιλεὺς νομίζοιτ' ἄν. — Οἱ Ῥωμαῖοι ῥᾷον τῷ Σύλλᾳ ἐδεδουλεύκεισαν ἢ ὥς τις ἐλπίζοι ἂν ἐκείνου θανόντος τὴν Ῥώμην ὡς ἀληθῶς τῇ ἐλευθερίᾳ χρήσεσθαι. — Οἱ τοῦ Καίσαρος στρατιῶται ἐμπειρίαν δὴ ἔχοντες καὶ τόλμαν ἀνυπόστατον πρὸς τοὺς ἀγῶνας, μᾶλλον ὑπὸ γήρως καὶ τραυμάτων ἐξέκαμνον οἵ γε πλεῖστοι ἢ ὡς (ou ὥστε) τῶν ὁδῶν καὶ συχνῶν στρατοπεδειῶν τὸν κάματον φέρειν, καὶ τὰ πολιορκητικὰ ἔργα ἐργάζεσθαι καὶ ἐν ὅπλοις νυκτερεύειν. — Ὁ Καῖσαρ ἐν Ἀπολλωνίῳ μετὰ μείονος δυνάμεως τυγχάνων ἢ ὥς (ou ὥστε) τι ἐπιχειρῆσαι, ἔγνω αὐτὸς πρὸς τὸ Βρεντήσιον ἀναχθῆναι τοὺς στρατιώτας μετελευσόμενος. — Ὁ Κίμων ὁρῶν μὲν τοὺς Ἀθηναίους μεῖζον ἐπὶ τοῖς κατορθώμασι φρονοῦντας ἢ ὡς (ou ὥστε) τὴν ἡσυχίαν φέρειν, δεδιὼς δὲ μὴ τοῖς Σπαρτιάταις πολεμήσωσιν, πρὸς τὴν Κύπρον νῆσον, οὖσαν τότε τῶν Περσῶν, ἄγειν αὐτοὺς ἔσπευσεν.

2. Ἀρχίδαμος ὁ τῶν Σπαρτιατῶν βασιλεὺς τοὺς συμμάχους ὑπέμνησε πλουσιωτέρας εἶναι τὰς Ἀθήνας καὶ μᾶλλον ἀκμαζούσας ἢ ὡς ἐλπίζοι ἄν τις τὸν πόλεμον μιᾷ στρατείᾳ περανθῆναι. — Οἱ δῆμοι οἱ τὴν Πελοπον-

...την συμμαχίαν πεποιημένοι, τῶν πολιορκητικῶν ἀπειρότεροι ἦσαν ἢ ὡς (ou ὥστε) τολμᾶν πόλιν, οἷαι δὴ ἦσαν Ἀθῆναι, πολιορκεῖν, ὑπὸ τρισμυρίων ἀνδρῶν φυλαττομένην καὶ τῆς θαλάσσης κρατοῦσαν. — Οἱ πλεῖστοι τῶν ἀνθρώπων μᾶλλον τῇ ἑαυτῶν ἐλευθερίᾳ βαρύνονται ἢ ὡς (ou ὥστε) μὴ ζητῆσαι τοῦ ζυγοῦ ἀπηλλαγμένοι δεσπότην τινὰ ἄλλον. — Ἡ τοῦ Ἀριστοφάνους ἱλαρότης ἀσελγεστέρα ἐστὶν ἢ ὡς νῦν τὰς κωμῳδίας αὐτοῦ εἰς τὸ θέατρον παραβῆναι. — Ὁ Κικέρων τὴν μὲν τοῦ Κάτωνος ἀρετὴν περὶ πλείονος ἐποιεῖτο ἢ ὡς (ou ὥστε) τῷ Μουρήνᾳ συνηγορῶν, γέλωτι περιβαλεῖν αὐτὸν, δεινότερος δὲ ἢ ὡς (ou ὥστε) μὴ ἐλέγχειν ἅτινα ψευδῆ ἦν ἅμα καὶ παιδαριώδη ἐν τοῖς τῶν Στωϊκῶν δόγμασι. — Ἡ τῶν Σαγουντίνων ἄμυνα τοσούτῳ θαυμασιωτέρα ἐγίγνετο ὅσῳ πορρωτέρω ἦσαν ἢ ὡς ἂν οἱ Ῥωμαῖοι βοηθοῖεν αὐτοῖς. — Οἱ Σπαρτιᾶται βεβαιότερον πεποίθασιν ἑαυτοὺς νόμοις ἀρίστοις χρῆσθαι ἢ ὡς (ou ὥστε) ἐπιθυμεῖν τοὺς τῶν ἄλλων ἐθνῶν γιγνώσκειν. — Ὁ χρηστὸς ἀνὴρ πιστότερός ἐστιν ἢ ὡς (ou ὥστε) μὴ ἁπλαῖς ταῖς ὑποσχέσεσιν ἐμμένειν ὁμοίως καὶ τοῖς σεμνοτάτοις ὅρκοις. — Ὁ Κικέρων ἔλεγε τῷ Καίσαρι αὐτὸν μείζονα μὲν εἶναι ἢ ὡς (ou ὥστε) τοὺς ἐχθροὺς φοβεῖσθαι, ἐπιεικέστερον δὲ ἢ ὡς ἀπολλύναι αὐτούς.

198ᵉ Exercice.

Suite de *trop pour.*

1. Ὁ Φάβιος σφοδρότερον ἐν τῇ συγκλήτῳ ἠναντιώθη τῷ Σκιπίωνι εἰς τὴν Λιβύην στρατεύεσθαι μέλλοντι ἢ ὡς (ou ὥστε) μὴ νεωτέρῳ στρατηγῷ παρευδοκιμοῦντι αὐτὸν φθονεῖν δόξαι. — Ὁ Μασινισσᾶς σαφέστερον ᾔδει τῇ Ῥώμῃ χρησόμενος συμμάχῳ ἢ ὡς (ou ὥστε) μὴ τοῖς Καρχηδονίοις ἐπιχειρῆσαι ἀδίκως. — Ἀλέξανδρος τῇ τοῦ Δαρείου μητρί τε καὶ γυναικὶ καὶ πᾶσι τοῖς συγγενέσι φιλοφρονέστερον ἐχρήσατο ἢ ὡς ἂν νομίζοι τις αὐτὸν οὐκ ἀληθῶς τῷ σχετλίῳ τοῦ βασιλέως θανάτῳ λυπηθῆναι. — Οἱ συκοφάνται νυκτερινοῖς ὄρνισίν εἰσιν ὅμοιοι ἀμβλυτέροις τὰ ὄμματα ἢ ὡς (ou ὥστε) τὸ τῆς ἡμέρας φῶς φέρειν. — Τοῦ κυνὸς τὸ ὀξύῤῥινον μᾶλλον ηὐξήθη τῇ ἀσκήσει καὶ τῇ παιδείᾳ ἢ ὡς (ou ὥστε) δόλοις τισὶν ἀποροῦντος ἐλάφου παρακρούεσθαι. — Ὁ Θεμιστοκλῆς σφοδρότερον τοὺς Λακεδαιμονίους ἔδηξεν ἢ ὡς (ou ὥστε) ἐκείνους πώποτε ἀμνημονεῖν· διὸ καὶ κατηγόρησαν αὐτοῦ ὡς τῆς τοῦ Παυσανίου προδοσίας κοινωνήσαντος ᾧπερ οἰκείως ἐχρῆτο. — Ὁ Ἀγησίλαος φρονιμώτερος ὢν ἢ ὡς (ou ὥστε) τοὺς ῥήτορας θαυμάζειν τοὺς περὶ τῶν ἐλαχίστων μεγαλοπρεπέστερον λέγοντας, σκυτοτόμῳ εἴκαζε αὐτοὺς μικρῷ ποδὶ μεγάλα ὑποδήματα ὑποδέοντι. — Οἱ πρόγονοι ἡμῶν μᾶλλον τὴν πόλιν ἔστεργον ἢ ὡς (ou ὥστε) τὴν πολιτείαν πόρον χρημάτων ποιήσασθαι. — Κορνηλία ἡ τῶν Γράκχων μήτηρ μεῖζον



μὲν ἐφρόνει ἐπὶ τῇ τοῦ οἴκου λαμπρότητι, πρὸς δὲ τὴν τῶν παίδων παιδείαν προθυμοτέρα ἦν ἢ ὡς (ou ὥστε) γυνὴ βασιλέως θέλειν γενέσθαι. — Σαφέστερα ἦν τὰ τοῦ Ἰουγούρθα ὑβρίσματά τε καὶ ἀδικήματα ἢ ὡς (ou ὥστε) τὴν σύγκλητον μὴ πόλεμον αὐτῷ καταγγέλλειν, καίπερ πολλῶν περὶ τὸν βασιλέα σπουδαζόντων οὓς χρημάτων ὠνήσατο. — Ὁ τῶν ἀνθρώπων νοῦς ἀμβλύτερος μέν ἐστιν ὡς (ou ὥστε) ἀπόρρητά τινα ἐρευνῆσαι, φιλομαθέστερος δὲ ὡς (ou ὥστε) μὴ αὐτῶν ἀεὶ ἅψασθαι. — Ὁ Ῥωμύλος μᾶλλον τῆς δυνάμεως ἀντείχετο ἢ ὡς (ou ὥστε) ἐπὶ πολὺ τῆς βασιλείας τῷ Τατίῳ μεταδιδοίη ἄν. — Ἐκ παντὸς χρόνου οἱ πολλοὶ περὶ μὲν τῶν μεγάλων πραγμάτων μάλιστα δὲ περὶ τοῦ τῶν ἐπιφανῶν ἀνδρῶν θανάτου ματαιότερα καὶ γελοιότερα ἐπεσημείωσαν ἢ ὡς (ou ὥστε) τοὺς σοφοὺς τὸν νοῦν προσέχειν ἐκείνοις. — Μιθριδάτου νικηθέντος, δυνατωτέρα ἦν ἡ Ῥώμη ἢ ὡς οὐδεὶς βασιλεύς, καὶ οὐδὲν ἔθνος ξένον τολμῴη ἂν ἐπιχειρῆσαί τι πόλει τῇ τῆς οἰκουμένης δεσποίνῃ καταστάσῃ.

199e Exercice.

Trop peu pour (*Grammaire*, § 643, *Remarque*).

1. Τῆς γεωργικῆς ἧσσον προκοψάσης ἢ ὡς αἱ πλεῖσται τῆς Ἑλλάδος πόλεις τοὺς ἐνοικοῦντας τρέφοιεν ἄν, καθ' ἕκαστον ἔτος νέαι ἀποικίαι ἐγίγνοντο. — Οἱ βασιλεῖς ἐλάσσους καιροὺς ἔχουσιν ἐπιεικείᾳ χρῆσθαι ἢ ὡς (ou ὥστε) μὴ προθύμως λαμβάνειν πάντας τοὺς τυχόντας καιρούς. — Ἡ ἀστρονομία ἧσσον ἀσφαλῶς ἡγεῖτο ἢ ὡς οἱ πάλαι πολὺ τῶν αἰγιαλῶν ἀποπλεῦσαι τολμῷεν ἄν. — Ἡ τῶν δικτατόρων ἐξουσία ἅτε ἑξάμηνος μόνον οὖσα, ἐλάσσονα χρόνον διέμενεν ἢ ὡς ῥᾳδίως ἐκεῖνοι καταχρήσαιντ' ἂν αὐτῇ. — Οἱ σύμμαχοι ἔφασκον Ἰδομενέα ἑαυτὸν ἐν παντὶ καιρῷ ἔλασσον πιστὸν παρασχεῖν ἢ ὡς ἄν τις ταῖς ὑποσχέσεσιν αὐτοῦ πείθοιτο. — Ὁ σοφὸς περὶ μείονος τὴν δύναμιν ποιεῖται ἢ ὡς (ou ὥστε) βίᾳ τῶν πολιτῶν κατέχειν αὐτήν. — Αἱ ἐν τῇ Εὐρώπῃ ὗλαι ἧσσον εὐρεῖαί εἰσιν ἢ ὡς (ou ὥστε) τὰ θηρία ἐκεῖ ἐν ἀσφαλεῖ φωλεύειν. — Τὰ ἔθνη νῦν ἔλασσον τοῖς τρόποις τε καὶ ἤθεσιν διαφέρει ὡς ἄν τις ἐκ πρώτης ὄψεως τὸν τὴν καὶ τὴν χώραν κατοικοῦντα διαγιγνώσκοι. — Τοῦ Αὐγούστου βασιλεύοντος ἡ τυραννὶς ἀπ' ἐλάσσονος χρόνου καθεστήκει ἢ ὡς (ou ὥστε) εἰσαγγελλίας ἔνοχον νομίζεσθαι εἴ τις λόγοις μόνον τῆς αὐτοκρατορικῆς ἐξουσίας καθάπτοιτο.

2. Ἔλασσον ἐγὼ τοῖς τῶν φθονούντων διαβολαῖς κινοῦμαι ἢ ὡς (ou ὥστε) ἄλλως δίκην λαμβάνειν εἰ μὴ αὐτὰς περιορῶν. — Ἀλέξανδρος ὁ Φεραῖος ἔλεγεν ἑαυτὸν ἔλασσον κινεῖσθαι τὸ τῶν πολιτῶν αἷμα ἰδόντα ῥέον ἢ ὡς (ou ὥστε) ἐξεῖναι αὐτῷ τοῖς Ἑκάβης καὶ [illegible]δρομάχης πάθεσιν ἐπιδα-

κρύειν. — Ὁ Βροῦτος ὁ τὸν Καίσαρα φονεύσας ἔλασσον τοὺς κατ' αὐτὸν Ῥωμαίους ἐγίγνωσκεν ὁποῖοί τινες ἦσαν ἢ ὡς (ou ὥστε) κρατεῖν αὐτῶν. — Ἐλάσσω σώζεται ἐκ τῶν πάλαι τῆς Ἑλλάδος κωμῳδοποιῶν ἢ ὡς ἡμεῖς περὶ τῆς αὐτῶν δεινότητος γιγνώσκοιμεν ἄν. — Οἱ πολιορκούμενοι ἐλάσσονες ὄντες ἢ ὡς (ou ὥστε) πᾶν τὸ τῶν τειχῶν μῆκος φρουρεῖν, τὴν πόλιν αὐτοὶ καταπρήσαντες, εἰς τὴν ἄκραν κατέφυγον ὀχυρωτάτην οὖσαν καὶ τοῖς πρὸς τροφὴν ἐπιτηδείοις πληθύουσαν. — Οἱ ἄνθρωποι οἱ τὰ πρὸς τὴν τῆς Εὐρώπης ἄρκτον οἰκοῦντες ἔλασσον γνωστοὶ ἢ πενέστεροι ἦσαν ἢ ὡς (ou ὥστε) τὰ τῶν πολεμικῶν ἀνδρῶν στρατεύματα ἐπάγεσθαι. — Οἱ Ταραντῖνοι ἅτε τῶν πολεμικῶν ἔλασσον ἔμπειροι ὄντες ἢ ὡς (ou ὥστε) οἷς ὕβρισαν Ῥωμαίοις ἀνθίστασθαι, πρὸς τὸν Πύῤῥον τὸν τῶν Ἠπειρωτῶν βασιλέα ἐτράποντο. — Ἐνίοτε ἀπόῤῥητόν τι τούτοις κοινωνοῦμεν οὓς περὶ μείονος ποιοίμεθ' ἂν ἢ ὡς (ou ὥστε) ὀμνύουσιν αὐτοῖς ἀργύριον παρακατατίθεσθαι. — Τὸ Ἀμφικτυονικὸν βουλευτήριον, ἐπεὶ μεῖον ἐδύνατο ἢ ὡς (ou ὥστε) τὰ δεδογμένα ἰσχύειν ποιῆσαι, μόνον σκιάν τινα ἐξουσίας ἔσωσεν. — Σφαλερωτέρα ἐστὶν ἡ τῶν μεγιστάνων φιλία ἢ ὡς (ou ὥστε) ἡμᾶς τοσαῦτα πράττοντες ταπεινά τε καὶ δουλοπρεπῆ ὠνήσασθαι. αὐτήν. — Ὅσοι ἄνδρες ἄριστα πεφυκότες πάντα τὸν βίον ἄγνωστοι μένουσι διότι ἧσσόν εἰσι τῆς δόξης ἐπιθυμητικοὶ ἢ ὡς (ou ὥστε) αὐτοὶ ἐφ' ἑαυτοῖς σεμνύνεσθαι.

200e Exercice.

Préposition *de* (*Grammaire*, § 644).

1. Κατὰ μέσην τὴν Καρχηδόνα ἵσταται ἡ ἀκρόπολις Βύρσα. — Οἱ πλεῖστοι τῶν μετ' Ἀλέξανδρον βασιλευσάντων τὴν Ἀλεξάνδρειαν πόλιν ὑπὸ τοῦ πολεμικοῦ βασιλέως κτισθεῖσαν ὡς μάλιστα ἐκόσμησαν. — Ἡ Κύρνος νῆσος ὑπὸ τῶν Ῥωμαίων νῆσος Κόρσικα καλουμένη, εὐμεγέθης οὖσα καὶ ὀρεινὴ καὶ δρυμοῖς λασίοις δασεῖα, μικροῖς μόνον ποταμοῖς διαῤῥεῖται. — Αἴτνη τε καὶ Βέσβιος τὰ καιόμενα ὄρη οὕτως ἀλλήλων ἐγγύς εἰσιν ὥστε δίοδον πρὸς ἄλληλα ἔχειν δοκοῦσιν. — Ὁ Τάναϊς ποταμὸς τὴν Ἀσίαν ἀπὸ τῆς Εὐρώπης διαχωρίζων εἰς πέλαγος Μαιῶτιδα λίμνην ὀνομαζόμενον εἰσβάλλει. — Ἐκ τῶν Ἀνταλκίδου συνθηκῶν οὐ μόνον αἱ Ἑλληνίδες ἐν τῇ Ἀσίᾳ πόλεις, ἀλλὰ καὶ Κλαζομεναί τε καὶ Κύπρος αἱ νῆσοι τῇ τῶν Περσῶν ἀρχῇ προσετέθησαν, Λῆμνος δὲ καὶ Ἴμβρος καὶ Σκῦρος αἱ νῆσοι τοῖς Ἀθηναίοις ἐλείφθησαν. — Τὸν Ἀρίονα φασὶ πρὸς τῶν ναυτῶν καταπεποντισμένον ὑπὸ δελφῖνος ὑποδεχθῆναι καὶ ἐπὶ τὸ Ταίναρον ἀκρωτήριον μετακομισθῆναι. — Ἡ Χαλκίδος χώρα τῷ Ληλάντῳ ποταμῷ διαῤῥεομένη δένδροις ἐστὶ δασεῖα ἐξ ὧν τοῖς κατοικοῦσι χρημάτων εὐπορία γίγνεται. — Ἄντικρυς τῆς Χαλκίδος κεῖται τὸ κωμίδιον Αὐλὶς παρ' ᾧ μέγας κόλπος

ἐστὶν ὅπου τοσοῦτον χρόνον ἄνεμοι ἐναντίοι τὸν τοῦ Ἀγαμέμνονος στόλον κατέσχον.

2. Οὐκοῦν σὺ εἶ οὗτος ὁ μιαρὸς Ξέρξης ὃς πάντας τοὺς ἐλευθέρους τῆς Ἑλλάδος ἄνδρας ἠξίου καταδουλῶσαι; — Οὐ δύναμαι φέρειν πανοῦργον οἰκέτην τὰ πάντα ἃ ποιῶ παρατηροῦντα. — Ὁ πανοῦργος ἐκεῖνος Φίλιππος ὑμᾶς εἰρήνην ἄγειν παρακαλεῖται μόνον ὥστε ῥᾷον ἀπατῆσαι μηκέτι φυλασσομένους. — Ἡ ὀνομαστὴ Ποικίλη στοὰ ὑπ' αὐτοῦ τοῦ Πολυγνώτου ἐκεκόσμητο. — Ἡ τῶν Ἀθηναίων πόλις οἷον εἰς τρία μέρη διήρηται· ἡ μὲν ἀκρόπολις ἐπὶ πέτρας ἱδρυθεῖσα, ἡ δὲ πόλις ἀμφὶ ταύτην τὴν πέτραν κειμένη, οἱ δὲ λιμένες Μουνυχία καὶ Φαληρὸς καὶ Πειραιεύς. — Οὐχ ὁρῶ, εἶπεν ὁ Διογένης εἰς Ἅδην καταβὰς, τί δὴ παθὼν ἐκεῖνος ὁ χαῦνος Μαύσωλος οὕτως ἐπὶ τῷ τάφῳ μέγα φρονεῖ· ἆρ' ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖ; — Τίς Μάρκου τοῦ Αὐρηλίου υἱὸν νομίσαι ἂν εἶναι ἐκεῖνον τὸν σαννίωνα Κόμμοδον τὴν τοῦ Ἡρακλέους λεοντῆν ἐνδεδυμένον; — Οἵα ἐπεράνθη ἐν τῇ Ἑλλάδι γῇ ἐλαχίστῃ μὲν οὔσῃ, ὅμως δὲ πλείστους ἄνδρας μεγάλους γεννησάσῃ. — Ἆρ' οὐκ αἰσχρὸν τοῖς Ἀθηναίοις τὸν Σόλωνα σχεδὸν φυγάδα ἐν τῇ Κύπρῳ νήσῳ ἀποθανεῖν; — Ἐκεῖνος ὁ καλὸς ψάλτης ὁ Νέρων τὴν μὲν Ῥώμην ἐκέλευε καταπιμπράναι, τοὺς δὲ χριστιανοὺς πίσσῃ κεχρισμένους ζῶντας καίειν.

201ᵉ Exercice.

Suite de la préposition *de* (*Grammaire*, § 644, *Remarque*).

1. Κλεομένης ὁ τῶν Σπαρτιατῶν βασιλεὺς πάντων τῶν ἄλλων ἐγίγνετο διδάσκαλος, τὸν βίον οὔτε φορτικὸν οὐδὲν οὔτε τῶν ἰδιωτῶν διαφέρον τι ἔχοντα ὥσπερ παράδειγμα σωφροσύνης ἐν μέσῳ θέμενος. — Οὐδὲν δεινὸν εἰ νέος τις τύραννος, οἷος ἦν ὁ Διονύσιος, πρὸς τὸ κακὸν παρηνέχθη τῶν περὶ αὐτὸν πολὺν ἤδη χρόνον πάσαις ταῖς πονηρίαις διεφθαρμένων. — Οὐδὲν χαλεπώτερον εἶναι τῷ βασιλεύοντι νομίζω ἢ τὰς ἐπιβουλὰς φυλάξασθαι ἃς κατ' αὐτοῦ διατελοῦσι ποιούμενοι οἷς μάλιστα πιστεύει. — Ἀριστείδης παρὰ τῶν πολιτῶν δίκαιος ἐπωνομάσθη· ἆρ' ἔστι τις καλλίων ἐπωνυμία; — Ἡ μὲν τοῦ Ἀριστείδου πρὸς τὸν Θεμιστοκλέα, ὕστερον δὲ ἡ τοῦ Κίμωνος πρὸς τὸν Περικλέα ἀντιπολιτεία οὐδὲν εἶχεν ἀδιάλλακτον καὶ ἔληγεν εὐθὺς τῆς πατρίδος ἀπαιτούσης. — Οἱ ἔπειτα γεγονότες τοῖς τῶν μεγάλων συγγραφέων συγγράμμασιν ἀρεσκόμενοί τε καὶ πεπαιδευμένοι οὐκ ὀκνοῦσιν αὐτοὺς ἐν τοῖς μεγίστοις ἀνδράσιν ἐξισοῦν τοῖς πλείστου ἀξίοις. — Ἐγὼ ἐν συγγραφεῖ μέγα τι καὶ γενναῖον εὑρίσκων χαίρω, δι' οὗ ὑψηλότερος ἐμαυτοῦ γενόμενος τῶν παρόντων χρόνον τινὰ ἐπιλανθάνομαι ὡς σχέτλια καὶ μικρὰ ὑπάρχει. — Ὅταν οἱ κακοὶ πιστόν τινα βούλωνται εὑρίσκειν ᾧ τὴν

οὐσίαν ἢ τὸν βίον δύνανται πιστεύειν, οὐ μὴ εἰς κακοὺς τράπωνται. — Ἐὰν τῶν πολεμίων μάχην συναψάντων ἐννεακισχίλιοι ἢ μύριοι ἄνδρες θάνωσιν ἢ τρωθῶσιν, ὁ λογοποιὸς καὶ τρισμυρίους ἀριθμεῖ.

202e Exercice.

Suite de la préposition *de* (*Grammaire*, § 645).

1. Παρὰ μὲν τοῖς Ἕλλησιν ἡ γενέθλιος παίδων ἡμέρα ἑορτάσιμός ἐστι, παρὰ δὲ ἐνίοις τῶν βαρβάρων ἐθνῶν πενθητήριος. — Ὁ Ἡρακλῆς τὰ Ὀλύμπια ἀγωνίσματα ἔθηκε κρίνας χωρίον πρὸς τὴν τηλικαύτην πανήγυριν ἐπιτηδειότατον εἶναι τὸ πεδίον τὸ τῷ Ἀλφειῷ διαῤῥεόμενον. — Ἴων ὁ Χῖος ἐν Ἀθήναις τραγῳδίᾳ νικήσας ἑκάστῳ τῶν Ἀθηναίων ἄγγος τι τῶν ἐν ταύτῃ τῇ νήσῳ εἰργασμένων ἔδωκεν. — Ὁ Ἀλέξανδρος οὐ παντάπασι ἔλαβε τὴν Μηδικὴν ἐσθῆτα ἅτε οὖσαν πολυτελεστέραν καὶ ἁβροτέραν. — Αἱ θαλάσσιαι χελῶναι τὰ ᾠὰ ἐπὶ τῆς ἀκτῆς κατατίθενται. — Ὦ ἐφέστιοι καὶ πατρῷοι θεοὶ, οἵ με ἐθρέψατε ὅτε νεώτατος ἔτι ὢν πρὸ τῶν ὑμετέρων βωμῶν ἔτρεχον, νῦν με σώσατε. — Ὅμηρος πάντας τοὺς ἥρωας ἀθανάτους ἀπέφηνεν ὅσοι τοῦ Τρωϊκοῦ πολέμου μετέσχον. — Ἐν τῷ δευτέρῳ Μεσσηνιακῷ πολέμῳ ὁ Ἀριστομένης τῇ ἑαυτοῦ ἀνδρείᾳ τὴν τῆς Σπάρτης τύχην ἀντεταλάντευσεν. — Ὁ Ῥωμαῖος νομοθέτης ἀπεῖπε μὴ τοὺς συζύγους ἀλλήλοις δοῦναί τι ἵνα πάντα τὰ ἀγαθὰ ἑαυτῶν κοινὰ εἶναι νομίζωσιν. — Ὁ Δαρεῖος βουλόμενος τὸ ἐκ τῆς Σκυθικῆς στρατείας αἶσχος ἀφανίσαι τὰ τῷ Ἰνδῷ παροικοῦντα ἔθνη ἐχειρώσατο. — Ἱστιαῖος ὁ Μιλήσιος εἰς τὴν τῶν Σούσων αὐλὴν ἐξωρισμένος, τὴν δὲ πατρίδα πάλιν ὁρᾶν ἐπιθυμῶν, τὰς ἐν Ἰωνίᾳ στάσεις λάθρα ἐκίνησεν. — Ὁ Θησεὺς εἰς Ἀθήνας ἐπανελθὼν ἐπὶ τοὺς Μαραθωνίους ἀγροὺς ἐξορμᾷ οὓς ταῦρός τις λυσσώδης ἀπὸ πολλῶν ἐτῶν ἐπόρθει. — Οἱ τὸν Καίσαρα βασιλέα ἀναγορεύεσθαι βουλόμενοι λόγον διέσπειρον τοῖς Σιβυλλείοις συγγράμμασι μαντεύεσθαι τοὺς Πάρθους οὐ νικηθήσεσθαι εἰ μὴ τοῦ Ῥωμαϊκοῦ στρατεύματος βασιλεὺς ἡγήσεται.

2. Οἱ δεισιδαίμονες ἄνθρωποι ἀεὶ τὰς ὀδυρτικὰς τοῦ βύου ἢ τῶν ἄλλων νυκτερινῶν ὀρνίθων βοὰς ἐφοβήθησαν ὡς συμφοράν τινα σημαινούσας. — Τῷ μὲν ἀνθρωπίνῳ νῷ ἔνεστιν ἄπληστός τις τοῦ ἀϊδίου ἐπιθυμία, τοῦτο δὲ σχεδὸν ἀεὶ ἐκεῖνος ἐν πτωσίμοις καὶ φθορίμοις διώκει. — Ἄξιόν ἐστι λόγου τὰ ἔθνη τὰ μάλιστα τῇ πολεμικῇ εὐδοξίᾳ διενεγκόντα τὰ αὐτὰ καὶ τοῖς λόγοις πρωτεύειν καὶ τῇ ἐμπορίᾳ καὶ πᾶσι τοῖς ἀγαθοῖς ὅσα πόλεσιν εὖ πεπολιτευμέναις ὑπάρχει. — Παρὰ πᾶσαν τὴν Λακωνικὴν καὶ τὴν περὶ Κύθηρα παραλίαν ὄστρακα ταῦτα ἀφθόνως ἀγρεύουσιν ἐξ ὧν πορφυροῦν βάμμα ἕλκουσι πλείστου ἄξιον καὶ μάλιστα ῥοδοειδές. — Ἐν τῇ Ἀργείᾳ

ἀκροπόλει ἄγαλμα Διὸς εἴδομεν ὃ πάλαι ἐν τοῖς τοῦ Πριάμου βασιλείοις ἔστη. — Ὁ μὲν Ἀχιλλεὺς καὶ γυναικεῖα ἱμάτια ἠμφιεσμένος ὅμως ἦν Ἀχιλλεύς· ὁ δὲ Θερσίτης καὶ Ἡφήστεια ὅπλα ἐνδὺς ὅμως Θερσίτης γένοιτο ἄν. — Οἱ θαλάσσιοι ὄρνιθες πτερὰ ἔχουσιν ἰσχυρότατα δι' ὧν ἄπειρα διΐπτανται διαστήματα μὴ ἀναπαυόμενοι. — Οἱ τῶν μὲν ἀδελφῶν ἑαυτῶν ἀμελοῦντες, ἄλλους δὲ φίλους ποιήσασθαι σπουδάζοντες ὅμοιοί εἰσιν ἀνθρώποις οἳ τῶν μὲν σφετέρων ἀγρῶν ἀμελοῖεν ἄν, τοὺς δὲ ἀλλοτρίους ἐργάζοιντο.

203ᵉ Exercice.

Suite de la préposition *de* (*Grammaire*, § 646).

Τῶν ζώων τὰ μὲν μυζᾷ, τὰ δέ τρώγει, τὰ δὲ βιβρώσκει, τὰ δὲ ἐσθίει. — Ὦ νεανία, ἀπεκρίνατο ὁ Ὀδυσσεὺς τῷ Νεοπτολέμῳ, οὐκ ἦς τῶν τὰ πρῶτα σὺν ἡμῖν ἐπὶ τὴν Τροΐαν στρατευσαμένων. — Ὁ Ἀντωνῖνος οὐκ ἦν τῶν φιλοσόφων οἵτινες ἐπεὶ τῶν πραγμάτων κεκρατήκασι ἀναξίους ἑαυτοὺς τούτου τοῦ ὀνόματος καὶ τοῖς ἤθεσι καὶ τῷ βίῳ παρέχουσιν. — Δόξα, τιμαὶ, πλοῦτος, οὐ τούτων τῶν ἀγαθῶν εἰσιν ἅπερ ἴδια τῷ κτωμένῳ ὑπάρχει. — Ὁ Περικλῆς καὶ εἰ μάλιστα τῷ δήμῳ συσπουδάζοντι ἐχρήσατο, οὐκ ἦν τῶν φιλοτίμων ἐκείνων τῶν πραττόντων ὅσα τοῖς πολλοῖς ἔδοξεν. — Οὐκ ἦν μὲν ὁ Ἀττικὸς ἐκείνων τῶν φίλων τῶν τήν τε οὐσίαν καὶ τὸν βίον ὑπὲρ τῶν πλησίον προέσθαι ἐθελόντων, οἷος δὲ ἦν, ὑπὸ τῶν ἐπιφανεστάτων τῶν κατ' αὐτὸν ἀνδρῶν ἐσπουδάσθη. — Πάντων τῶν μεγάλων ἀνδρῶν τῶν σφόδρα τὴν οἰκουμένην κατασεισάντων, ἆρ' εἷς ἐστιν ὅστις μακρὰν τῆς ἡλικίας ἤλασεν; — Πάντων τῶν τῆς Ἰλιάδος ἐπεισοδίων οὐδέν ἐστι γνωριμώτερόν τε οὔτε οἰκτρότερον τῆς τελευταίας Ἀνδρομάχης πρὸς Ἕκτορα ἐντεύξεως. — Ὡράτιος καὶ Οὐεργίλιος οὐ μὲν ἦσαν τῶν βασκάνων ποιητῶν ἐκείνων οἳ τὰ σφέτερα μόνον ἐπαινοῦσι καὶ περὶ πολλοῦ ποιοῦνται, ἔστεργον δὲ ἀλλήλους καὶ ἤγαντο. — Νόμους ἔθηκεν ὁ Πλάτων οὐ μὲν τῶν παρ' ἡμῖν ἰσχύειν δυναμένων, ὅμως δὲ ἀξίους οἷς νοῦν προσέχωσι πάντες οἱ τὰ τῆς πόλεως πράττοντες. — Οἱ μὲν ζωγράφοι ὡς παραδείγματα ἐκλέγουσι τὰ ζῶα τὰ κάλλει διαφέροντα· τί δὲ οἱ ἄνθρωποι οὐκ ἀεὶ τοὺς τῶν πλησίον μιμεῖσθαι πειρῶνται τοὺς ταῖς ἀρεταῖς διαφέροντας;

204ᵉ Exercice.

Suite de la préposition *de* (*Grammaire*, § 646, *Remarque*).

1. Φουλβία γυνὴ ἐν τοῖς μάλιστα τῶν Ῥώμης ἐπιφανής, νυκτὸς τῷ Κικέρωνι προσῆλθε διακελευσομένη τὸν Κέθηγον φυλάξασθαι. — Ἡ περὶ τοὺς μύθους σπουδὴ τοῖς μὲν παισὶν ἐν τοῖς μάλιστα ἡδεῖα, ἅμα δὲ τοῖς ποτε τοὺς τῶν Λατίνων καὶ τῶν Ἑλλήνων συγγραφεῖς ἀναγνωσομένοις ἐν τοῖς

μάλιστα χρησίμη. — Ὁ Χείλων, εἷς τῶν τῆς Ἑλλάδος σοφῶν τῶν ἐν τοῖς μάλιστα ἐνδόξων, ἐν Λακεδαίμονι ἐγένετο καὶ δὴ κατὰ τὴν πεντηκοστὴν ἕκτην Ὀλυμπιάδα ἔφορος ἦν. — Δοκεῖ ὁ Ἰάσων τύραννος γενέσθαι ἐν τοῖς μάλιστα δεξιός· διὸ καὶ τὴν ἀρχὴν ἄχρι τῆς τοῦ βίου τελευτῆς κατέσχεν. — Στυμφαλὶς ἦν ποτε πόλις τῆς Ἀρκαδίας ἐν τοῖς μάλιστα ἀκμάζουσα. — Οἱ πλεῖστοι τῶν νομοθετῶν τὴν μουσικὴν εἶναι τέχνην ἡγήσαντο τοὺς ἀγρίους ἀνθρώπους ἡμεροῦν ἐν τοῖς μάλιστα ἐπιτηδείαν. — Ὁ Πλάτων οὐ μόνον μέγας ἐστὶ φιλόσοφος, ἀλλὰ καὶ συγγραφεὺς ἅμα ἐν τοῖς μάλιστα τέλειος καὶ δεινὸς, ὁμιλήτης τε ἐν τοῖς μάλιστα κομψός. — Ὁ Τηλέμαχος τὸ πρῶτον Περιάνδρῳ ἀπήντησεν Λοκρῷ τινι ἐν τοῖς μάλιστα φοβερῷ καὶ τὸ δέρος ἐνδεδυμένῳ λέοντος ὅνπερ ἐν τῇ Κιλικίᾳ ἀπέκτεινεν. — Ἡ μὲν τοῦ κόρακος πτίλωσίς ἐστιν ἐν τοῖς μάλιστα μέλαινα, ἡ δὲ φωνὴ ἐν τοῖς μάλιστα ἀηδής· ὅθεν οὐκ ὀλίγον διεβλήθη.

2. Τὸν ὄφιν, εἰ καὶ ζῶόν ἐστι τῶν χρωμάτων τὸ κάλλος καὶ τὴν ποικιλίαν καὶ τοῦ σώματος τὴν ὑγρότητα καὶ ταχύτητα ἐν τοῖς μάλιστα θαυμάσιον, ὅμως οὐδὲν ἄλλο ἢ στυγοῦμεν καὶ βδελυσσόμεθα. — Φασὶ τὸ κώνειον φάρμακον εἶναι ἐν τοῖς μάλιστα ὀξὺ κατὰ τὰς θερμὰς χώρας, ἔλασσον δὲ ὀξυθάνατον κατὰ τὰς ἡμετέρας. — Τὸν πεζὸν δρόμον νικᾶν ἐν τοῖς μάλιστα ἔντιμον νομίζεται διότι οὗτος ὁ ἀγὼν πάντων ἀρχαιότατός ἐστιν. — Τὰ πλεῖστα τῶν ἀγαλμάτων ὅσα ἐν τῷ Ἥρας κατ' Ὀλυμπίαν τεμένει ἴδοις ἂν, τέχνην ἐν τοῖς μάλιστα ἄκομψον ἀποφαίνει καίπερ οὐκ ὄντα παλαιότατα. — Αἱ κιγκλίδες αἱ τὸ πλῆθος ἀπὸ τοῦ θρόνου ἐφ' ᾧ Ζεὺς ὁ Ὀλύμπιος ἐπικάθηται διαχωρίζουσαι γραφαῖς κεκοσμημέναι εἰσὶν ὑπὸ Παναίνου τοῦ Φειδίου ἀδελφοῦ καὶ ἑνὸς ἐκ τῶν αὐτοῦ μαθητῶν ἐν τοῖς μάλιστα δεινοῦ. — Ὁ Κικέρων ἐν πολλοῖς συγγράμμασιν παρέχει ἑαυτὸν Πλάτωνος ἑρμηνευτὴν ἐν τοῖς μάλιστα δεινόν. — Τῶν Κελτῶν τινὸς τὴν ἀνδρείαν ἐν τοῖς μάλιστα εὐδοκιμοῦντος πρὸς τὸν Μάλλιον μονομαχήσαντος καὶ κρατηθέντος, τοῦτο τοὺς βαρβάρους εἰς ἀθυμίαν ἐνέβαλεν. — Οἱ τοῦ Κικέρωνος κατὰ τοῦ Βέρρου λόγοι ἐν τοῖς μάλιστα τελείως ὑποτυποῦσιν ἡμῖν ὅσα παρὰ τῶν στρατηγῶν καὶ τῶν ἀνθυπάτων αἱ ὑπήκοοι ἐπαρχίαι ἠδικοῦντό τε καὶ ἐκακοῦντο.

205e Exercice.

Plus de, moins de (*Grammaire*, § 647).

1. Ὁ Νικίας, ὁ τοσοῦτον ἐν τῇ κατὰ τῆς Σικελίας στρατείᾳ ἀτυχήσας, μεταλλουργοῦντί τινι δούλους χιλίους ἐμίσθου, οὐ μεῖον χιλίων ὀβολῶν (ou οὐ μεῖον ἢ χιλίους ὀβολοὺς) αὐτῷ καθ' ἑκάστην ἡμέραν ἀποφέροντας. — Οἱ Αἰγύπτιοι καυχῶνται τὴν γλυπτικὴν εὑρεῖν πλέον δισχιλίων ἐτῶν

(ou πλέον ἢ δισχιλίοις ἔτεσιν) πρὸ τῶν Ἑλλήνων. — Τὸ τῶν Ἀθανάτων τάγμα τὸ τῶν Περσῶν βασιλέων τὰ σώματα φυλάσσον οὐ συνέστηκεν ἐξ ἐλασσόνων ἢ μυρίων ἐκλεκτῶν ἀνδρῶν. — Πλέον εἴκοσιν ἐτῶν (ou πλέον ἢ εἴκοσιν ἔτη) παρῆλθεν ἐξ οὗ ὁ Ὀδυσσεὺς καὶ Ἰθάκην τὴν πατρίδα καὶ Πηνελόπην τὴν γυναῖκα καὶ Τηλέμαχον τὸν υἱὸν τότε δὴ νήπιον ὄντα κατέλιπεν. — Ξέρξης τριακοντάκις μυρίων μαχητὰς μὲν πλείους (ou πλείους ἢ τριακοντάκις μυρίους) ἐκ τῆς Θρᾴκης καὶ τῆς Μακεδονίας καὶ τῆς Παιονίας ἔλαβεν· αἱ δὲ πλησίον νῆσοι τριήρεις αὐτῷ πλέον ἢ ἑκατὸν εἴκοσιν ἐχορήγησαν ἐχούσας οὐκ ἐλάττους δισμυρίων καὶ τετρακισχιλίων ἀνδρῶν (ou οὐκ ἐλάττους ἢ δισμυρίους καὶ τετρακισχιλίους ἄνδρας). — Εἰ μὴ ἐν τῇ Αἰγύπτῳ ὁ Καῖσαρ οὐκ ἀνήλωσε πλέον ἓξ μηνῶν (ou πλέον ἢ ἓξ μῆνας), ἡ τοῦ Πομπηΐου στάσις οὔτε ἐν τῇ Ἰβηρίᾳ οὔτε ἐν τῇ Λιβύῃ οὐκ ἂν ἐπανέστη. — Οὐ πλέον ἕνδεκα ἐτῶν (ou πλέον ἢ ἕνδεκα ἔτη) διέλιπε μεταξὺ τῆς μὲν Φαρσαλίας μάχης δι' ἧς ἔπεσεν ἡ ἐλευθερία, τῆς δὲ Ἀκτιακῆς δι' ἧς τὸ τελευταῖον ἡ μοναρχία κατεστάθη. — Τῶν δελφίνων οἱ μόσχοι ταχέως αὐξάνονται· ἐν ἔτεσι γὰρ μείοσιν ἢ δέκα (ou μείοσι τῶν δέκα) πᾶσαν τὴν ἐπίδοσιν λαμβάνουσι. — Σπανιώτατον μέν ἐστι τοὺς ἵππους πλέον τριάκοντα ἐτῶν (ou πλέον ἢ τριάκοντα ἔτη) ζῆν, τὰς δὲ ἵππους πλέον εἴκοσιν ἐτῶν (ou ἢ εἴκοσιν ἔτη)· ὅμως δὲ λέγονταί τινες ἵπποι καὶ μέχρι τῶν τεσσαράκοντα ἐτῶν βιῶναι. — Τοῦ πολέμου ἤδη ἀπ' ἐτῶν πλειόνων ἢ δέκα ἐκραγέντος, οἱ Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι πολλὰ ἀλλήλους κακὰ εἰργάσαντο, οὐδαμῶς δ' ἔτι τὰ πράγματα μετεβλήθη.

206ᵉ Exercice.

Suite de *plus de*, *moins de* (*Grammaire*, § 647, *Remarque I*).

Συγγραφεῖς τινες, ὡς Ἀριστοτέλης λέγει, φασὶ τοὺς ἐλέφαντας ζῆν ὑπὲρ διακόσια ἔτη. — Ἡ μὲν αἲξ οὐχ ὑπὲρ ὀκτὼ ἔτη ζῇ, ἡ δὲ ὄϊς οὐχ ὑπὲρ δέκα. — Τὸ χῶμα τὸ ἐν Σάμῳ τὰς ναῦς ἀπὸ τοῦ νότου σκεπάζον ὑψηλὸν μέν ἐστιν ἀμφὶ εἴκοσιν ὀργυιάς, μακρὸν δὲ ὑπὲρ εἴκοσι στάδια. — Τὸ ἐκ τῶν δασμῶν ἀργύριον ἦν ἐν τῇ τῶν Περσῶν βασιλέων ἀρχῇ ὑπὲρ μύρια τετρακισχίλια ἑξήκοντα εὐβοϊκὰ τάλαντα. — Τιμαγένης ὁ ἐν τῇ τῶν Μυρίων ἀναβάσει αἰχμαλωτισθεὶς καὶ ὡς ἀνδράποδον ἐν τῇ Σκυθίᾳ πεπωλημένος οἴκαδε ἐπανῆλθεν ὑπὲρ τριάκοντα ἑπτὰ ἔτη ἀπογενόμενος. — Οἱ Φωκεῖς τὸν ἐν Δελφοῖς θησαυρὸν καταλαβόντες πάντα τὸν χρυσόν τε καὶ ἄργυρον ἐχώνευσαν ὃν ἐκεῖ εὗρον ὑπὲρ χίλια τάλαντα τετιμημένον. — Πλὴν οἴκων τινῶν ἐξ ἐμπορίας ἢ ἐκ τῶν τοῦ Λαυρίου μετάλλων πλουτησάντων οἱ εὐπορώτατοι ἐν ταῖς Ἀθήναις πολῖται οὐχ ὑπὲρ πεντεκαίδεκα ἢ εἴκοσι τάλαντα κέκτηνται, οὐδὲ ὑπὲρ διακοσίας μνᾶς προῖκα δι-

δοῦσι ταῖς θυγατράσι. — Ἐν τῇ Κῷ νήσῳ κατὰ τὸν νόμον ἔξεστι τοὺς ἐγχωρίους τοὺς ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας καὶ μηκέτι τὴν πατρίδα ὠφελῆσαι οἵους τε ὄντας θάνατον αἱρεῖσθαι. — Ἐκ Μιλήτου ἐξῆλθον ἀποικίαι ὑπὲρ τὰς ἑβδομήκοντα τὴν δόξαν αὐτῆς παρὰ τὴν Προποντίδα καὶ τὸν Ἑλλήσποντον ἀθάνατον καταστήσασαι.

207e Exercice.

Suite de *plus de, moins de* (*Grammaire*, § 647, *Remarque II*).

Ὁ Πλάτων ἔτη οὐ πολὺ ἀποδέοντα τῶν εἴκοσι γεγονὼς ἐνὶ τῷ Σωκράτει προσέσχετο.— Ὁ Πύῤῥος ἐν τῇ Ἰταλίᾳ τρία ἔτη ἐπολέμησε μικρὸν ἀπολείποντα. — Ὁ Εὐριπίδης παρὰ τῷ Ἀρχελάῳ ἀπέθανε πρὸς ὃν κατέφυγεν ἔτη γεγονὼς ὀλίγον τῶν ἓξ καὶ ἑβδομήκοντα ἀποδέοντα. — Ὁ Σοφοκλῆς ἐξ ἀγαθῶν Ἀθήνησιν ἐγένετο ἐν ἑβδομηκοστῇ δευτέρᾳ Ὀλυμπιάδι κατὰ τὸ τέταρτον ἔτος, τοῦ μὲν Αἰσχύλου νεώτερος ὢν ἔτη ἑπτὰ καὶ εἴκοσιν οὐ πολὺ ἀπολείποντα, Εὐριπίδου δὲ ἀμφὶ τὰ τεσσαρακαίδεκα γεραίτερος. — Ὁ Ξέρξης μετὰ μῆνας οὐ πολὺ τῶν ἓξ ἀποδέοντας τὸν Ἑλλήσποντον φυγὰς ἐν λεπτῷ τινι σκαφιδίῳ διεπεραιώθη ὃν πρότερον ὡς θριαμβεύων διέπλευσεν. — Ὁ μὲν Εὐριπίδης τραγῳδίας ποιεῖν ἤρξατο εἴκοσιν ἔτη γεγονὼς ἀποδέοντα δυοῖν, καὶ πολλοὺς ἐφεξῆς ἐνιαυτοὺς εὐτυχῶς πρὸς τὸν Σοφοκλέα ἠγωνίσατο· ὁ δὲ τὰ πρῶτα περὶ τὴν λυρικὴν ποίησιν διατρίψας τῆς τραγῳδίας ἥψατο οὐ πρότερον ἢ ἔτη γεγονὼς τριάκοντα δυοῖν δέοντα. — Τὸ ὄρος ὁ Ἄθως εἰς χεῤῥόνησόν τινα προτεινόμενον πρὸς τὴν ἤπειρον αὐχένι τινὶ συνῆπται δώδεκα στάδια εὐρεῖ μικρὸν ἀπολείποντα. — Τοῦ Κλέωνος τελευτήσαντος ὁ Νικίας πρὸς τοὺς Λακεδαιμονίους συνθήκας συνέθετο πεντήκοντα μὲν ἐτῶν ἔσεσθαι λεγομένας, τῶν ἑπτὰ δὲ οὐ πολὺ ἀποδέοντα διαμεινάσας.

208e Exercice.

De suivi d'un infinitif (*Grammaire*, § 648).

Ὁ Τηλέμαχος αἰσχυνόμενος ὅτι ξένος πρὸ τῶν θυρῶν τῆς οἰκίας μένει, προσδραμὼν αὐτῷ καὶ τῆς χειρὸς λαβὼν αὐτὸν εἴσω εἰσάγει. — Ἐμαυτὸν εὐδαιμονίζω, εἶπεν ὁ Μενέλαος, ὅτι ἀντιξενίζειν δύναμαι, ἐγὼ ὁ τοσοῦτον τῆς ξενίας δεηθεὶς ἐν αἷς διῆλθον χώραις οἴκαδε ἐπανερχόμενος. — Οἱ ἄνθρωποι οἱ πολλάκις τὴν πίστιν παραβάντες πάνυ ἀναιδεῖς εἰσὶ τοῖς ἄλλοις ἀπιστίαν τε καὶ δολιότητα μεμφόμενοι. — Οἱ Ἕλληνες ἦσαν εὐήθεις ὅτι τοὺς Ῥωμαίους πρὸς τὸν Φίλιππον ἀνελέσθαι πόλεμον ἐνόμιζον διὰ τοῦτο μόνον ὥστε αὐτοὺς εἰς τὴν αὐτονομίαν ἀποκαταστῆσαι· οὐ πολὺν δὲ χρόνον οὕτω φενακισθέντες διετέλεσαν. — Ἡμῖν μὲν

δοκοῦσιν οἱ Ὀδυσσέως ἑταῖροι πάνυ ἄβουλοι γενέσθαι ὅτι εἰς τὴν τῆς φαρμακευτρίας Κίρκης οἰκίαν εἰσελθόντες πάνθ' ὅσα παρεῖχεν αὐτοῖς θαῤῥοῦντες ἔπινόν τε καὶ ἔφαγον· ὅμως δὲ τίς ἡμῶν γένοιτ' ἂν φρονιμώτερος αὐτῶν; — Φρόνιμος ἐγένετο ὁ Ὀδυσσεὺς ὅτι τὰ τῶν ἑταίρων ὦτα κηρῷ ἐπιπλάσας αὐτὸς πρὸς ἱστὸν ἐδέθη ἵνα τῶν Σειρήνων ἀκινδύνως ἀκούσῃ. — Ὥσπερ τἄλλα ἀγαθὰ, οὕτως ἡ ἀρετὴ ἡμῖν ἐκ τοῦ θεοῦ γίγνεται· πάνυ οὖν ἁμαρτάνεις σεμνυνόμενος ἀγαθῷ οὐκ ἐκ σοῦ γιγνομένῳ. — Οἱ Ἐθνικοὶ πάντα τὰ ἀγαθὰ πλὴν τῆς ἀρετῆς τοῦ θεοῦ ἴδια εἶναι ἐνόμιζον, τυφλοὶ δὴ ὄντες ὅτι τὸν θεὸν τὸ κάλλιστον αὐτῷ ὑπάρχον ἀποστεροῦντες οὐκ ᾐσθάνοντο. — Καλὸν δὴ γέρας ἔλαβεν ὁ Παλαμήδης ὅτι τὴν τοῦ Ὀδυσσέως παράκρουσιν φανερὰν ποιήσας ἠνάγκασεν αὐτὸν ἅμα τοῖς Ἕλλησιν ἀποπλεῖν. — Ναυσικάα ἡ τοῦ τῶν Φαιάκων βασιλέως θυγάτηρ οὐκ ᾐσχύνετο ὅτι πρὸς τὸν ποταμὸν σὺν ταῖς ἀκολούθοις ἐλθοῦσα τὰς στολὰς ἔπλυνεν, οὐδὲ ἡ μήτηρ ἐκείνης ἐνόμιζεν ἑαυτῇ ὄνειδος εἶναι ὅτι τὰ τοῦ ἀνδρὸς καὶ τῶν υἱῶν ἱμάτια ὑφῆνεν. — Θυμωθεὶς ὁ Ξέρξης ὅτι χειμῶνι ἡ γέφυρα ἡ ἐπὶ τοῦ πελάγους κατασκευασθεῖσα διελύθη, τὴν κεφαλὴν πᾶσι τοῖς ἐργάταις ἀποταμεῖν καὶ τὴν θάλασσαν μαστιγῶσαι ἐκέλευσεν. — Οἱ δῆμοί τε καὶ οἱ βασιλεῖς πάνυ ἄδικοί εἰσιν ἀξιοῦντες τοὺς ὑπηρετοῦντας πάντα ἀεὶ καλῶς πράττειν. — Ὡς εὐδαίμων ἐστὶν ἡ μήτηρ ὅτι τὸν μὲν υἱὸν ἀπὸ μάχης καλοῖς λαφύροις βρίθοντα ὁρᾷ ἐπανερχόμενον, τοὺς δὲ πολίτας ἀκούει αὐτὸν φιλοτίμως ἐπαινοῦντας.

209e Exercice.

De suivi d'un infinitif (*Grammaire*, § 648, *Remarque I*).

Ὁ Τιμολέων ἐν Συρακούσαις ἰδιωτικῶς διέτριψεν ἄσμενος τὸ λοιπὸν τοῦ βίου, ἐκεῖνος ὁ τοσαύταις πόλεσι καὶ τοσαύταις ἀνθρώπων μυριάσι ἡσυχίαν τε καὶ εὐδαιμονίαν βεβαίαν περιποιήσας. — Ὡς ἄθλιοί εἰσιν οἱ τύραννοι οἵτινες οὔτε φίλῳ οὔτε συγγενεῖ τολμῶσι πιστεύειν. — Ὁ Περικλῆς μέγα τι ἥμαρτεν ὃς ἐκ τῆς πολιτείας πλέον ἢ τὸ τέταρτον τῶν πολιτῶν μέρος περιέγραψεν ὅτι οὐ πατρόθεν καὶ μητρόθεν ἦσαν Ἀθηναῖοι. — Ἔκλαυσεν ὁ Ξέρξης ὃς τοῖς τοῦ Λακεδαιμονίου Δημαράτου λόγοις οὐκ ἐπείθετο. — Οἱ Πλαταιεῖς δικαίως σεμνύνονται οἵτινες μόνοι σὺν τοῖς Ἀθηναίοις ἐν τῷ Μαραθωνίῳ πεδίῳ ἐμαχέσαντο. — Ὡς τυφλοί εἰσιν οἵτινες ἐν τοῖς τοῦ Ὁμήρου οὐ πανταχοῦ αἰσθάνονται τὴν περὶ τῆς ψυχῆς ἀθανασίας δόξαν κατ' ἐκείνους τοὺς χρόνους παρὰ πᾶσιν ἐκ τοῦ πάλαι ἤδη κρατῆσαι. — Οἱ Καρχηδόνιοι ἦσαν πάνυ ἄδικοι ἅμα καὶ πάνυ ἀσύνετοι οἳ τῷ Ἀννίβᾳ ἱκανὴν βοήθειαν οὐκ ἔπεμπον ἵνα ἐν τῇ Ἰταλίᾳ διαμείνῃ. — Φίλιππος ὁ Μακεδὼν μέγα τι ἥμαρτεν, ἐπεὶ τὰ τοῖς Ῥωμαίοις ἐναντία εἰ-

λετο, ὃς οὐκ ἐνεργέστερον τῷ Ἀννίβᾳ συνέπραξεν. — Ὁ Ἀλέξανδρος μάλα ὠργίσθη ἀκούσας Ἡφαιστίωνά τε καὶ Κράτερον πρὸς ἀλλήλους τὸ ξῖφος σπάσασθαι.

210e Exercice.

De suivi d'un infinitif (*Grammaire*, § 648, *Remarque II*).

Πάνυ γε αὐστηροί εἰσιν οἱ Στωϊκοὶ τὸ δὴ ἐλεεῖν καὶ τὸ καλῶς πράττοντα ἥδεσθαι ἀναιροῦντες. — Ὡς μεμπτοί εἰσιν οἱ πατέρες οἱ τοὺς παῖδας τοῖς ἑαυτῶν παραδείγμασι διαφθείροντες ἢ καὶ ὅσα ἐμπέφυκεν ἐκείνοις ἀγαθὰ τούτων ἀμελοῦντες. — Οἱ πλεῖστοι τῶν μεγάλων ἀνδρῶν εὖ ποιοῦντες νέοι θνήσκουσιν ὅτε ἡ δόξα αὐτῶν μάλιστα ἑαυτῆς ἔτι ἀκμάζει. — Οἱ πατέρες ἁμαρτάνουσι νομίζοντες ἑαυτοὺς παντάπασιν τῆς περὶ τοὺς παῖδας ἐπιμελείας ἀπηλλαγμένους εἶναι, ἐπεὶ παιδαγωγοῖς αὐτοὺς ἐπέτρεψαν. — Οἱ ἄνθρωποι οὐχ ἧσσόν εἰσι μεμπτοὶ τῷ ἑαυτῶν βίῳ ἐγχειροῦντες ἢ ἀλλότριόν τι διατιθέμενοι. — Ὁ Σενέκας καλῶς μὲν ἐποίησε τῶν χρημάτων καταφρονῆσαι παραινῶν· ἄμεινον δ' ἔτι ποιῶν αὐτὸς ἂν κατεφρόνει αὐτῶν. — Ἔκλαυσαν οἱ τοῦ Ὀδυσσέως ἑταῖροι οἱ καθεύδοντος ἐκείνου τὰς τοῦ Ἡλίου βοῦς ἀποσφάξαντες. — Οἱ ἔφοροι τυφλοὶ ἐγένοντο μὴ ὁρῶντες ὅτι τὸν χρυσόν τε καὶ τὸν ἄργυρον εἰς τὰς τῆς πόλεως χρείας εἰσάγοντες καὶ τοῖς ἰδιώταις τὸν τῶν χρημάτων πόθον ἐμβάλλουσιν. — Ἀνόητοί εἰσιν οἱ ἄνθρωποι τῆς κοινῆς πᾶσι φύσεως ἐπιλανθανόμενοι, διότι ἀπ' ἀλλήλων ὀλίγοις ποταμοῖς καὶ ὄρεσιν ἢ τῇ διαλέκτῳ ἢ τρόποις μικρόν τι διαφέρουσι διακεχωρισμένοι εἰσίν.

211e Exercice.

De quoi (*Grammaire*, § 649).

1. Ὁ ὀνομαστὸς Ὠριγένης τὴν γραμματικὴν ἐδίδαξεν ὥστε ἔχειν ὁπόθεν βίον ποριεῖται (ou πορίσηται). — Οὐχ ὁρῶ ὁπόθεν σεμνύνεσθαι δυνήσεται (ou δυνηθῇ) ὁ ἄνθρωπος εἰς τὸ φῶς ἐρχόμενος, ἐπεὶ κλαίων γε καὶ στενάζων ὥσπερ οἱ ἕτεροι ἔρχεται ὁ καὶ ἐξ εὐγενεστάτων γενόμενος. — Ῥήτωρ τις τῶν χριστιανῶν ἀστείως τὰς τοῦ ἀνθρωπίνου βίου ἡμέρας ἥλοις εἰκάζει μακρῷ τοίχῳ ἐμπεπηγμένοις οἵτινες δοκοῦσι μὲν χωρίον μέγα ἔχειν· εἰ δὲ αὐτοὺς συλλέξεις, οὐχ ἕξεις ὁπόθεν τὰς χεῖρας ἐμπλήσεις (ou ἐμπλήσῃς). — Ὦ θάνατε, οὐκ ἔχεις ὁπόθεν με φοβήσεις (ou φοβήσῃς)· οὐδὲν γὰρ τῶν μὲν ἀγαθῶν ἅπερ ἀγαπῶ με ἀφαιρήσεις, τούτου δὲ τοῦ μισητοῦ σώματος ἀπαλλάξεις. — Οἱ θερισταὶ ἐν τοῖς ᾄσμασιν τοῖς βατράχοις φθονοῦσι τῆς τύχης τοῖς ἀεὶ ἔχουσιν ὁπόθεν ἀφθόνως πίονται (ou πίωσιν). — Ὁ γεωργὸς ἐκ τοῦ κήπου λαμβάνει

ὁπόθεν καὶ τῶν ἐφεστίων θεῶν τοὺς βωμοὺς καὶ τὰ ἀγάλματα κοσμήσει (ou κοσμήσῃ), καὶ κατὰ τὰς ἑορτασίμους ἡμέρας ἐν τοῖς συμποσίοις καὶ ταῖς ἱεραῖς τελεταῖς στεφανωθήσεται (ou στεφανωθῇ). — Ἕως οἱ βάρβαροι εὗρον ὁπόθεν λῄσωνται ἐν αἷς ἐπέβαινον χώραις, τούτοις τοῖς ἀφθόνοις λαφύροις ἀρεσκόμενοι οὐδαμοῦ στάσιμον ἕδραν ἐποιήσαντο. — Ὅσοι ἄνθρωποι στενάζοντες ὅτι οὐκ ἔχουσιν ὁπόθεν τοὺς παῖδας ἑαυτῶν παιδεύσουσι (ou παιδεύσωσι) τὰ χρήματα ὑπὲρ τῶν περισσῶν προΐενται. — Τῆς πόλεως οὐκ ἐχούσης ὁπόθεν εὐχὰς τῷ Ἀπόλλωνι ἀποτελέσει (ou ἀποτελέσῃ), αἱ Ῥωμαῖαι γυναῖκες τὰ ψέλλια προϊέμεναι πάντα τὸν χρυσόν τε καὶ τὸν ἄργυρον ἀνήνεγκον.

2. Πλίνιος ὁ νεώτερος πολλὰ πρὸς τὸ τοὺς φίλους ὠφελεῖν ἐδαπάνα, ὑπὲρ τοῦ μὲν χρέος διαλύων, τῷ δὲ διδοὺς ὁπόθεν τὴν θυγατέρα προικιεῖ (ou προικίσῃ), ἄλλῳ δὲ ὁπόθεν εἰς τοὺς Ῥωμαίους ἱππεῖς ταχθήσεται (ou ταχθῇ), ἔτι δ' ἄλλῳ ὁπόθεν οἴκαδε ἐπανελεύσεται (ou ἐπανέλθῃ). — Αὐρηλιανὸς ὁ δὴ ὕστερον αὐτοκράτωρ ἀναγορευθεὶς, ἐπεὶ ὕπατος ἀπεδείχθη, ταύτην τὴν τιμὴν διὰ τὴν πενίαν ἀπαρνεῖσθαι ἠναγκάσθη ἂν, εἰ μὴ Οὐαλεριανὸς ὁ αὐτοκράτωρ αὐτῷ ἐκ τοῦ ταμιείου ἔδωκεν ὁπόθεν ταῖς τῆς λειτουργίας δαπάναις ἀρκέσει (ou ἀρκέσῃ). — Οἱ πάλαι συγγραφεῖς ἀφθόνως ἡμῖν παρέχουσιν ὁπόθεν τῶν νεανιῶν τὸν μὲν νοῦν θρέψομεν (ou θρέψωμεν), τὴν δὲ μνήμην κοσμήσομεν (ou κοσμήσωμεν). — Ὁ μύρμηξ εἰδὼς τὸν μὲν χειμῶνα μακρὸν ὄντα, τὸν δὲ πέπειρον σῖτον οὐκ ἐπὶ πολὺ ἐν ἀγροῖς προκεῖσθαι, ἐν ὀλίγαις ἡμέραις συλλέγει ὁπόθεν μῆνα ὅλον βιοτεύσει (ou βιοτεύσῃ). — Ποῦ εὑρίσκουσιν αἱ μέλισσαι ὁπόθεν μέλι οὕτω καθαρὸν καὶ εὐῶδες ποιήσουσιν (ou ποιήσωσιν); — Ἐν ταύταις ταῖς ἐρήμοις χώραις ἡ γῆ ψιλὴ οὖσα καὶ ξηρὰ μόλις τοῖς ἐνοικοῦσι παρέχει ὁπόθεν σχετλίως βιοτεύσουσιν (ou βιοτεύσωσιν). — Ἠξίουν οἱ πάλαι νομοθέται τοὺς οὐκ ἔχοντας ὁπόθεν εἰς τὰ δημόσια δαπανήματα εἰσοίσουσι (ou εἰσενέγκωσι) μηδαμῶς τῆς πολιτείας μετασχεῖν. — Ἡ Καρχηδὼν, ἅτε μόνον διὰ μισθοφόρων πολεμοῦσα, οὐ διετέλεσε φοβερὰ οὖσα ἐπειδὴ τάχιστα οὐκ ἔσχεν ἔτι ὁπόθεν μισθὸν ἀποδῷ αὐτοῖς. — Οἱ τῶν Ῥωμαίων εὐπατρίδαι τὰς ἐπαρχίας ληϊζόμενοι ἐφ' αἷς ἐτάχθησαν, εὕρισκον ὁπόθεν καὶ τὴν πλεονεξίαν ἐμπλήσωσι καὶ τρυφαῖς τε καὶ ἀναλώμασιν αἰσχροῖς ἀρκέσωσιν. — Οἱ πρόγονοι ἡμῶν οὐ μὲν εἶχον ὁπόθεν πολυτελεῖς οἰκίας οἰκοδομήσωσιν, οὐδὲ δρυμοὺς μεγάλους τείχεσι τῷ παραδείσῳ ἐμπεριλάβωσιν, ὅμως δὲ ἡμῶν ἐντιμότεροι, ἡμῶν ἀληθέστερον ἦσαν μεγάλοι.

212ᵉ Exercice.

A suivi d'un infinitif (*Grammaire*, § 650).

Ἐὰν τὰ πράγματα ἀπαθῶς κρίνωμεν, ἡ δόξα οὐκ ἀξία ἐστὶν ὅσου πωλεῖται. — Οἱ βασιλεῖς, ὡς ἀληθῶς εἰπεῖν, οὐ πολλάκις τὰς τῶν βωμολόχων λιπαρήσεις τῶν αὐτοὺς κολακευόντων παρακρούονται. — Ἐὰν καὶ μόνον τὴν τοῦ ἀνθρωπίνου σώματος κατασκευὴν ἀθρῶμεν, αἰσθανόμεθα τὸ τελειότατον ἔργον τοῦτο ἐξ ἀνάγκης εἶναι θεοποίητον. — Οἱ εὐπατρίδαι τε καὶ ὁ δῆμος τῷ προσχήματι ἀμυνόμενοι, οἱ μὲν ὑπὲρ τοῦ ἀξιώματος, οἱ δὲ ὑπὲρ τῆς ἐλευθερίας, οὐδὲν ἄλλο διενοοῦντο, ὡς ἀληθῶς εἰπεῖν, εἰ μὴ πάντα εἰς ἑαυτοὺς περιστῆσαι καὶ πάντων κρατεῖν. — Χαλεπώτατόν ἐστιν, ὥστε μὴ ψεύδεσθαι, ἡμᾶς, ὥσπερ τοὺς Ἕλληνας, τὴν τῶν ἀθλητῶν αὐτῶν ἰσχύν τε καὶ δεξιότητα ὑπεράγασθαι. — Ἡ Εὐρώπη, εἰ μόνον τὸ τῆς χώρας μέγεθος μετροῦμεν, μικρότατόν τι ἐστι πρὸς τὰς ἄλλας ἠπείρους. — Ἐάν τις τοὺς περὶ τοὺς βασιλεῖς κρίνῃ ἐκ τῆς αὐτῶν εὐπροσηγορίας καὶ τῶν περισσῶν ἀσπασμῶν, πᾶσα φιλανθρωπία, πᾶσα πραότης, πᾶσα εὔνοια εἶναι δοκοῦσι. — Ὡς ὀλίγοι ἄνθρωποι, ὥστε ἁπλῶς εἰπεῖν, δύνανται παντελῶς φθόνου ἀποσχέσθαι, ὅταν ὑποδεέστερόν τινα ἑαυτῶν προκριθέντα ἴδωσιν. — Ἐὰν τῷ Ἐμπεδοκλεῖ πείθῃ, ἐκ διαδοχῆς αὐτὸς ἐφάνη τοτὲ μὲν ἐν νεανίου σχήματι, τοτὲ δ' ἐν παρθένου, τοτὲ δ' ἐν ὄρνιθος, τοτὲ δ' ἐν ἰχθύος, τέλος δ' ἐν βοτάνης. — Ἀριστοτέλης φησὶν τὸν Νεῖλόν τε καὶ τὸν Τάναϊν καὶ πάντας τοὺς μεγάλους ποταμοὺς οὕστινας ἀενάους ὀνομάζομεν οὐδὲν ἄλλο γενέσθαι, ὡς ἀκριβῶς λέγειν, ἤπερ ὕδατα ἐξ αἰφνιδίων ἐπικλυσμῶν πεδία ἄκαρπα λιμνώσαντα καὶ τῇ τῶν ἀνθρώπων τέχνῃ ἢ ἐξ ἄλλης τινὸς αἰτίας ὁδὸν διὰ τῆς γῆς ποιήσασθαι ἀναγκασθέντα. — Ἐὰν τοῖς Ἐπιδαυρίοις πειθώμεθα, ποιμήν τις τὸν κύνα καὶ μίαν ἐξ αἰγῶν ἀποβαλὼν ἐπὶ τοῦ πλησίον ὄρους ἀνεῦρεν αὐτοὺς παρὰ παιδίῳ τινὶ, ὅπερ ἐτίτθευε μὲν ἡ αἴξ, ἐφύλασσε δὲ ὁ κύων· τοῦτο δὴ τὸ παιδίον Ἀσκληπιὸς ἦν ὁ Ἀπόλλωνός τε καὶ Κορώνιδος.

213ᵉ Exercice.

A entre un adjectif et un infinitif (*Grammaire*, § 651).

Οἱ διδάσκαλοι οἱ ἐμπειρότατοί τε ὄντες καὶ τοὺς παῖδας παιδεύειν δεινότατοι οὐδὲν ἰσχύουσιν πρὸς τινὰς ἰδίας τῆς φύσεως λαχόντας. — Στρατὸς εὔτακτος κάλλιστον μέν ἐστιν ἰδεῖν (ou ὀφθῆναι) τοῖς φίλοις, φοβερώτατον δὲ τοῖς πολεμίοις. — Ἡ γεωργία οὐ μόνον ἡδίστη καὶ χρησιμωτάτη ἐστὶν ἀσκεῖν, ἀλλὰ καὶ ῥάστη μανθάνειν. — Τὸ ἐκ τῶν δρυμῶν πνεῦμα ὑγιεινότερόν ἐστι καὶ εἰσπνεῖν ἥδιον τῶν ἀρωμάτων τῶν νύκτα καὶ

ἡμέραν ἐκκαιομένων ἐν τοῖς τῶν τῆς ἀνατολῆς βασιλέων μεγάροις. — Τὰ μὲν τοῦ θηρίου ἴχνη ἄρτι τῇ γῇ ἐγκεχαραγμένα, οἱ δὲ ὀδόντες τῷ τῶν δένδρων φλοιῷ ἐμβεβλημένοι, μυρία τε ἄλλα σημεῖα ἀμήχανα διεξιέναι, τῷ θηρῶντι τὸν τοῦ κάπρου φωλεὸν ἐμήνυσε. — Μυρία τέρατα τὴν τοῦ Καίσαρος τελευτὴν ἐσήμηνεν· οἱ γὰρ ποταμοὶ πρὸς τὰς πηγὰς ἀνεῤῥύησαν, καὶ ἡ γῆ διεῤῥάγη, καὶ ὃ δὴ λέγειν (ou λεχθῆναι) δεινὸν, τὰ θηρία ἐφθέγξατο. — Ἔστι τέχνη τις τὰ μὲν μακρότατα συγγράμματα ἀποφαίνουσα σύντομα, τὰ δὲ καὶ σεμνότατα ὄντα καὶ σπουδαιότατα ἀναγιγνώσκειν ἡδέα. — Ἠξίωσεν ἡ φύσις τροφὴν τὴν ἀφελεστάτην καὶ εὑρεῖν (ou εὑρεθῆναι) ῥάστην ἅμα καὶ ὑγιεινοτάτην εἶναι. — Ἡ τῶν πατέρων δόξα πολλάκις ἄχθος φέρει βαρύτατον τοῖς παισί. — Κἂν σοφὸς ᾖς καὶ τῶν πραγμάτων ἔμπειρος, καὶ χρηστὸς, κἂν τοὺς ἀνθρώπους παιδεύσῃς, κἂν μάχας νικήσῃς, κἂν τὴν πατρίδα σώσῃς, ὅμως (καὶ τοῦτο δὴ λέγειν [ou λεχθῆναι] λυπηρόν), παρ' οὐδὲν τεθήσῃ εἰ μὴ ἡ σοῦ εὐφυΐα τῇ ἔξω πομπῇ προσεπικεκόσμηται. — Ἡ κακία εἴη ἂν ἰδεῖν (ou ὀφθῆναι) αἰσχίστη, εἰ φαίνοιτο ἡμῖν οἵα ἀληθῶς ἐστιν. — Οὐδὲν ἥδιον ἦν ἀκούειν ἢ τὴν Ἀντιόπης φωνὴν ὅτε τὰ περὶ τοὺς θεοὺς θαυμάσια ᾄδοι. — Οὐδὲν ὀχληρότερόν ἐστιν ἀκροᾶσθαι λόγου ἀσυνδέτου καὶ τρόπον τινὰ εἰκῇ πλανωμένου.

214ᵉ Exercice.

Être homme à, être femme à, être d'humeur à (*Grammaire*, § 652).

1. Ὁ λάλος οἷός τε ἐστὶν ἀγνώστῳ τινὶ παρακαθήμενος εὐθὺς περὶ τῶν ἑαυτοῦ οἰκείων διαλέξασθαι. — Ὁ ὑπερήφανος οἷός τε ἐστὶ μηδενὶ πρότερος προσελθεῖν βούλεσθαι. — Πορκία οὐχ οἵα τε ἦν τὸν Βροῦτον τῆς προαιρέσεως ἀποτρέψαι. — Φίλιππος ὁ Μακεδὼν οὐχ οἷός τε ἦν εἰρήνῃ ἐμμένειν ἢ βλάπτεσθαι ἑαυτὸν ἐνόμιζεν. — Ἀγριππίνα οὐχ οἵα τε ἦν μύσους ἀπέχεσθαι ὥστε τὴν βασιλείαν τῷ Νέρωνι περιποιῆσαι. — Πῶς τῇ ἐκείνων τῶν ἀνθρώπων φιλίᾳ πιστεύειν δυνάμεθα οἵτινες οἷοί τε εἰσὶν ἐκ πάντων κερδαίνειν; — Ἀγριππίνα, ἡ χήρα τοῦ Γερμανικοῦ γυνὴ, οὐχ οἵα τε ἦν τὸ ἄλγος κρύψαι. — Αἱ Ἀθηναῖαι οὐχ οἷαί τε ἦσαν ὥσπερ αἱ Λακεδαιμόνιαι τοὺς υἱοὺς τῷ θανάτῳ ὁμόσε χωροῦντας ἀδακρυτὶ ἰδεῖν. — Φουλβία ἡ τοῦ Ἀντωνίου γυνὴ οἵα τε ἦν τὴν τοῦ ἀνδρὸς ἀπήνειαν μᾶλλον παροξῦναι ἢ μαλάξαι. — Ὁ ὀχληρὸς οἷός τε ἐστὶν εἰς μὲν τὸν τοῦ φίλου κοιτῶνα εἰσιέναι κοιμωμένου ἤδη, αὐτὸν δὲ ἐξυπνίζειν ὥστε φλυαρίας αὐτῷ λαλῆσαι. — Οὐχ οἷός τε γένοιτο ἂν ὁ Ἀχιλλεὺς ὥσπερ Ὀδυσσεὺς τὰς μὲν τῶν μνηστήρων ὕβρεις τλημόνως ὑπομένειν, τοὺς δὲ τοῦ τιμωρήσασθαι καιροὺς ἡσύχως τηρεῖν.

2. Οὐχ οἷός τε ἦν ὁ Ὀκτάβιος ἐπεὶ τοῦ Ἀντωνίου ἐκράτησεν ἐᾶν τὴν

ἑαυτοῦ ἐξουσίαν ἐντὸς τῶν νόμων συστέλλεσθαι. — Ὁ φειδωλὸς οἷός τε ἐστὶ τὴν φίλου πενιχροῦ ἔντευξιν φυγεῖν, μὴ δέηται ἐκεῖνος ὀλίγον τι αὐτῷ βοηθῆσαι. — Οἱ Ἀθηναῖοι οὐχ οἷοί τε ἦσαν τοῦ Τίμωνος τοῖς τραχέσι λόγοις ἄχθεσθαι οὐδὲ τοῖς νουθετήμασιν ἐπανορθοῦσθαι. — Οἱ Ῥωμαῖοι τοὺς Ταρκουϊνίους ἐξελάσαντες οὐχ οἷοί τε ἦσαν τὴν τῶν δεκάρχων τυραννίδα ὑπομεῖναι. — Ἤλπιζον οἱ Ἀθηναῖοι τοὺς Ἰλλυρίους τε καὶ τοὺς Παιονίους ἄρτι ὑπὸ τοῦ Φιλίππου χειρωθέντας οὐχ οἵους τε ἔσεσθαι δουλεύοντας ἐπὶ πολὺ διατελεῖν. — Ὁ Ἰσοκράτης οὐχ οἷός τε ἦν τοῦ περὶ ἑαυτοῦ κομπάζειν καιρὸν ἕνα παριέναι. — Ὁ Φίλιππος καίπερ καθ' ἡμέραν προσβολὰς τῇ Ὀλύνθῳ μάτην ποιούμενος, οὐκ ἦν οἷός τε διὰ τοῦτο ἀθυμῆσαι. — Ἡ Κλεοπάτρα οὐ μὲν οἵα τε ἦν κατὰ τὰς μάχας τῷ θανάτῳ ὁμόσε χωρῆσαι· ἐπεὶ δὲ μέντοι ᾔσθετο μηκέτι εἶναι ὅπως σωθήσεται, ἑαυτὴν διαχρήσασθαι ἐτόλμησεν.

215e Exercice.

Pour suivi d'un infinitif (*Grammaire*, § 653).

1. Οἱ Λακεδαιμόνιοι ἀδαδούχητοι ἐκ τῶν συσσιτίων ἐξήρχοντο ἐπὶ τῷ (ou ὥστε) εἰθίζεσθαι θρασέως καὶ ἀδεῶς σκοταῖοι νυκτοπορεῖν. — Τοῦ Ἀπόλλωνος ἐξ οὐρανοῦ ἐκπεσόντος, τὸ κενὸν ἅρμα τὸν συνήθη δρόμον αὐτόματον ἐπορεύετο ἐπὶ τῷ (ou ὥστε) τοῖς ἀνθρώποις τὰς ἡμέρας τε καὶ τὰς νύκτας καὶ τὴν τεταγμένην τῶν ὡρῶν ἀμοιβὴν παρέχειν. — Εὐφυὴς διδάσκαλος πάσῃ μηχανῇ χρῆται ἐπὶ τῷ (ou ὥστε) τὸν μὲν τῆς δικαιοσύνης ἔρωτα τοῖς μαθηταῖς ἐμποιῆσαι, ἀπὸ δὲ τῶν κακιῶν ἀποτρέψας αὐτοὺς πρὸς τὴν ἀρετὴν ἀγαγεῖν. — Ὁ ἄνθρωπος, κἂν μάλα σπουδάζῃ ἐπὶ τῷ (ou ὥστε) μέγας καὶ ὑψηλὸς δοκεῖν, ὅμως καὶ πᾶσι τοῖς κακοῖς ὑποκείμενος μένει ὅσα τῶν ἀνθρώπων ἐστὶν ἴδια. — Αἰσχρόν ἐστι τοσούτους μὲν ἀνθρώπους τὰ ἐπικινδυνότερα πελάγη διαπλεῖν ἐπὶ τῷ (ou ὥστε) πλείω κτήσασθαι, οὕτω δὲ ὀλίγους ὁδοιπορεῖν ἐπὶ τῷ (ou ὥστε) πλείω μαθεῖν. — Ὁ Ῥωμύλος τὴν προστατείαν κατέστησεν ἐπὶ τῷ (ou ὥστε) βεβαίοις καὶ ἱεροῖς δεσμοῖς συνάψαι τοὺς εὐπατρίδας καὶ τοὺς δημότας, τούς τε πλουσίους καὶ τοὺς πένητας, καὶ τὸν ὅλον δῆμον ὡς εἰς ἕνα οἶκον συναγαγεῖν. — Αἱ παρὰ τοῖς Λακεδαιμονίοις τίτθαι ἐπὶ τῷ (ou ὥστε) τοὺς παῖδας καὶ νηπίους ὄντας πρὸς τὸ ψύχος ἐθίζειν, λεπτὰ μόνον ἱμάτια αὐτοὺς ἀμπέχουσιν. — Οἱ Μιλήσιοι οὐ βελτίονα μηχανὴν ἐπενόουν ἐπὶ τῷ (ou ὥστε) ἔθνη τινὰ χειρωθέντα ἐν δουλείᾳ κατασχεῖν, ἢ τὸ ἀπαγορεύειν αὐτοὺς μὴ τοὺς παῖδας τὰ γράμματα διδάσκειν. — Οἱ γραμματοδιδάσκαλοι ἐπὶ τῷ (ou ὥστε) τὴν τῶν νεανιῶν Ἀθηναίων μνήμην ἀσκῆσαι, ἐδίδοσαν αὐτοῖς ἐκλεκτά τινα Ὁμήρου καὶ Ἡσιόδου καὶ τῶν λυρικῶν ποιητῶν μανθάνειν.

2. Ἡ Σύγκλητος ἐξεταστὰς ἀπεδείκνυ ἐπὶ τῷ (ou ὥστε) πάνθ' ὅσα ἐξαίσια ἐν τῇ Ῥώμῃ καὶ τῇ Ἰταλίᾳ ἀδικεῖται γιγνώσκειν τε καὶ κρίνειν· ἀλλὰ δὲ καὶ πρέσβεις ἀπέστελλεν ἐπὶ τῷ ἀκοῦσαι (ou ὥστε ἀκοῦσαι ou seulement ἀκοῦσαι) τὰς παρὰ τῶν συμμάχων ἐθνῶν ἐγκλήσεις, καὶ τῶν χωρίων ὅρους διαθέσθαι καὶ τὰς ἐπαρχίας εὖ κοσμῆσαι, καὶ τὰς πόλεις τούς τε βασιλεῖς πρὸς ἀλλήλους ἐρίζοντας διαλῦσαι. — Μέμνησο ὅτι βασιλεύεις ἐπὶ τῷ (ou ὥστε) τοῖς ἄλλοις ἐπικουρεῖν τε καὶ ἀμύνειν καὶ ἀπ' ἀδικίας καὶ ὕβρεως φυλάσσειν αὐτούς, καὶ εἰρήνην καὶ ἡσυχίαν αὐτοῖς παρέχειν, καὶ τούτοις ἀεὶ χαρίζεσθαι οἵτινες ἄριστοι εἶναι νομίζονται, καὶ ἑκάστῳ τῶν πολιτῶν κατ' ἀξίαν χρῆσθαι. — Τῷ μὲν λόγῳ ὥσπερ ὀργάνῳ τινὶ χρώμεθα ἐπὶ τῷ (ou ὥστε) μανθάνειν· τοῖς δὲ μαθήμασιν ἔδει ἂν χρῆσθαι ἐπὶ τῷ (ou ὥστε) τελειότερον τὸν λόγον ἡμῶν ἀποφαίνειν. — Τίς τῷ ἀνθρώπῳ χεῖρας μὲν ἐπὶ τῷ (ou ὥστε) τῆς τροφῆς δράξασθαι, ὀδόντας δὲ ἐπὶ τῷ (ou ὥστε) μασήσασθαι αὐτήν, στομαχὸν δὲ ἐπὶ τῷ (ou ὥστε) πέψαι ἔδωκε; — Πολλοὶ ἰχθύες καὶ βέλτιστοι τὰ γένη εἰς τὰ τῶν ποταμῶν στόματα εἰσβάλλοντες μέχρι τῶν πηγῶν ἀνανήχονται οἷον ἐπὶ τῷ (ou ὥστε) τῶν ἐκ τῆς θαλάσσης ἀγαθῶν ταῖς ἀφεστηκυίαις χώραις μεταδοῦναι.

216ᵉ Exercice.

Pour suivi d'un infinitif (*Grammaire*, § 653, *Remarque I*).

Οὐ μὲν ἐξαπατήσοντές σε, ἀπεκρίνατο ὁ Ὀδυσσεὺς τῷ Φιλοκτήτῃ, οὐδὲ βλάψοντες ἐρχόμεθα, ἐλευθερώσοντες δὲ καὶ ἰασόμενοι καὶ σοὶ τὸ Τροίαν ἑλεῖν δώσοντες καὶ οἴκαδέ σε κατάξοντες. — Οἱ ἀδελφοὶ τὸν Ἰώσηπον ἐκ λάκκου εἰς ὃν ἐνέβαλον αὐτὸν ἀνείλκυσαν ἐμπόροις περάσοντες οἵπερ εἰς τὴν Αἴγυπτον σῖτον ὠνήσασθαι ἐπορεύοντο. — Ἴσως ἄξιον ἂν εἴη τοὺς διδασκάλους τὴν περὶ τὴν γεωγραφίαν σπουδὴν ἧσσον τραχεῖαν καὶ ἀηδῆ ἀποφανοῦντας βραχέα τινὰ διηγημάτια παρεμβάλλειν δι' ὧν τὰ τῶν πόλεων χωρῶν τε ὀνόματα τῇ τῶν παίδων μνήμῃ ἐγχαράσσοιτ' ἄν. — Οἱ πάλαι φιλόσοφοι μακρὰς καὶ συχνὰς ὁδοιπορίας ἐπορεύοντο διδαχθησόμενοί τε καὶ ἄλλους ἀνθρώπους ὀψόμενοι καὶ τῆς ἐκείνων σοφίας ὀνησόμενοι. — Οἱ τῶν Περσῶν παῖδες πρὸς τὰ διδασκαλεῖα ἐφοίτων τὴν δικαιοσύνην μαθησόμενοι ὥσπερ ἄλλοθί που τὰ γράμματα. — Θεανὼ ἡ ἱέρεια οὐκ ἔφη ἀρὰς τῷ Ἀλκιβιάδῃ ἐπαράσεσθαι· ἀποδειχθῆναι γὰρ εὐλογίαν μὲν οὐκ ἐπαρὰν δὲ παρὰ τῶν θεῶν ἐπικαλέσουσαν.

217ᵉ Exercice.

Pour suivi d'un infinitif (*Grammaire*, § 653, *Remarque II*).

Ὁ Λυκοῦργος ἐκ τῶν πολιτῶν πολεμικόν τινα δῆμον ἐποίησεν οὐ μὲν ὡς (ou ἵνα) ἀδικήσωσιν, ἀλλ' ὡς (ou ἵνα) μὴ ἀδικηθῶσιν, οὐ μὲν ὡς (ou ἵνα) τῆς ἀλλοτρίας γῆς κρατήσωσιν, ὡς (ou ἵνα) δὲ ἐλεύθεροι καὶ ἥσυχοι ἐν τῇ σφετέρᾳ βιῶσιν. — Ὡς (ou ἵνα) μὴ τῶν ἄλλων συγγραφέων μιμνησκώμεθα, ἆρ' ἐστὶν ἄνθρωπος νοῦν ἔχων ὅστις τὸν Πλούταρχον ἀναγιγνώσκων κορέννυται; — Οἱ συγγραφεῖς ὡς (ou ἵνα) ὑπὸ τῶν ἀναγιγνωσκόντων πιστεύωνται, ἐν τῇ ἀρχῇ πάντες ἀτρεκέστατά τε καὶ ἀκριβέστατα ἀληθεύσειν ἐπαγγέλλονται. — Ὁ Περικλῆς τῷ δήμῳ τότε μὲν φόβον ἐνεποίει ὡς (ou ἵνα) τὴν ὑπερηφάνειαν ἀναστείλῃ τοῦ ταῖς νίκαις ἐπηρμένου, τότε δὲ ἐλπίδα ὡς (ou ἵνα) αὐτὸν τῇ δυστυχίᾳ καταβεβλημένον ἐπιθαῤῥύνῃ. — Ὁ Λυκοῦργος πολλὰς ἐπορεύθη ὁδοιπορίας ὡς (ou ἵνα) δι' αὑτοῦ τὰ τῶν διαφόρων ἐθνῶν ἤθη εἰδείη. — Οἱ δῆμοι οἱ τοῖς Ῥωμαίοις σύμμαχοι ὄντες ἢ φίλοι τὰ ἑαυτῶν εἰς δῶρα κατεδαπάνων ὡς (ou ἵνα) τὴν χάριν ἐκείνων διασώσωσιν ἢ μείζω λάβωσιν. — Οἱ βασιλεῖς οἱ τῆς τῶν Ῥωμαίων προστατείας δεόμενοι τὰ ἱερὰ ἐσύλων, καὶ τὰ τῶν πλουσιωτάτων πολιτῶν χρήματα ἐδημίευον καὶ μυρία ἄλλα ἠδίκουν ὡς (ou ἵνα) τοῖς Ῥωμαίοις τὸν πάντα τῆς οἰκουμένης χρυσὸν δίδοιεν. — Ὅτε στρατηγός τις Ῥωμαῖος τὴν εἰρήνην ποιοῖτο ὡς (ou ἵνα) τὸν στρατὸν σώζοι μικροῦ δεῖν ἀπολωλότα, ἡ σύγκλητος οὐ κυροῦσα τὴν εἰρήνην ταύτης μὲν ὠνίνατο, πολεμοῦσα δὲ διέμενεν.

218ᵉ Exercice.

Pour suivi d'un infinitif (*Grammaire*, § 653, *Remarque III*).

Οὐ δὴ μεγάλους καὶ εὐδαίμονας τοὺς χριστιανοὺς βασιλεῖς ὀνομάζομεν, λέγει ἅγιός τις πατὴρ, ὅτι ἐπὶ πολὺ ἐβασίλευσαν ἢ κατ' εἰρήνην ἀπέθανον τὴν βασιλείαν τοῖς παισὶ καταλείποντες διαδεξομένοις, ἢ τοὺς πολεμίους ἐνίκησαν ἢ τὰς στάσεις ἀνέστειλαν (ou διὰ τὸ ἐπὶ πολὺ βασιλεῦσαι ἢ κατ' εἰρήνην ἀποθανεῖν τὴν βασιλείαν τοῖς παισὶ διαδεξομένοις καταλείποντας, ἢ τοὺς πολεμίους νικῆσαι, ἢ τὰς στάσεις ἀναστεῖλαι). — Οἱ Λακεδαιμόνιοι ἐκ τῆς δόξης ἐξέπεσον διὰ τοῦτο μόνον ὅτι τῆς σοφῆς τοῦ νομοθέτου γνώμης ἀπέστησαν (ou διὰ τὸ τῆς σοφῆς τοῦ νομοθέτου γνώμης ἀποστῆναι). — Πολλοὶ συγγραφεῖς πίστεως οὐδεμιᾶς ἄξιοί εἰσιν ὅτι ἐν ταῖς διηγήσεσι μᾶλλον τὰ θαυμάσια ἢ τὰ ἀληθῆ ἐθήρευσαν καὶ πάντα τρόπον ἠξίωσαν τὰς τῶν μεγάλων πόλεων καὶ τῶν μεγάλων βασιλειῶν ἀρχὰς κοσμεῖν τε καὶ καλλωπίζειν (ou διὰ τὸ ἐν ταῖς διηγήσεσι μᾶλλον τὰ

θαυμάσια ἢ τὰ ἀληθῆ θηρεῦσαι καὶ πάντα τρόπον ἀξιῶσαι τὰς τῶν μεγάλων πόλεων καὶ τῶν μεγάλων βασιλειῶν ἀρχὰς κοσμεῖν τε καὶ καλλωπίζειν). — Πρόδικος ὁ Κεῖος τὸ κώνειον κατεδικάσθη ὅτι ἔφη (ou διὰ τὸ φάναι) ὑπὸ τῶν ἀνθρώπων, ἐξ ὧν ὄνησιν ἐλάμβανον, οἷον ἥλιόν τε καὶ σελήνην καὶ κρήνας, ταῦτα εἰς θεοὺς τεθῆναι. — Ὁ Πρωταγόρας ἐξ Ἀθηνῶν φεύγειν ἠναγκάσθη ὅτι συγγράμματός τινος ἀρχόμενος ἔλεξεν (ou διὰ τὸ λέξαι συγγράμματός τινος ἀρχόμενος)· «Οὐκ οἶδα πότερον εἰσὶ θεοὶ ἢ οὔκ.» — Ὁ Αἴσχυλος ἀσεβείας αἰτίαν οὐκ ἔσχεν ὅτι τὸν Δία ἀπείκασεν (ou διὰ τὸ τὸν Δία ἀπεικάσαι) ὥσπερ τύραννον καὶ τῆς βασιλείας ἐκβαλόντα πατέρα τὸν καὶ αὐτόν ποτε ὑπὸ τοῦ παιδὸς ἐκπεσεῖν μέλλοντα. — Ὁ Θησεὺς εἰς τοὺς ἥρωας ὑπὸ τῶν Ἀθηναίων ἐτάχθη ὅτι πρῶτος αὐτοῖς τῆς ἐλευθερίας αἴτιος ἐγένετο (ou διὰ τὸ πρῶτος αὐτοῖς τῆς ἐλευθερίας αἴτιος γενέσθαι). — Οὐ μὲν ὅτι ἀνδρῶν ἐν μάχῃ μυριάδας ἐνίας ἀπέβαλον, αἱ πόλεις ἀπώλοντο, ὅτι δὲ τῆς δικαιοσύνης καὶ τῆς μετριότητος καὶ τῆς σωφροσύνης ἐξέστησαν (ou οὐ μὲν διὰ τὸ ἀνδρῶν μυριάδας ἐνίας ἐν μάχῃ ἀποβαλεῖν αἱ πόλεις ἀπώλοντο, διὰ δὲ τὸ τῆς δικαιοσύνης καὶ τῆς μετριότητος καὶ τῆς σωφροσύνης ἐκστῆναι).

219ᵉ Exercice.

Pour peu que (Grammaire, § 654).

Ὁ ἄνθρωπος εἰ ὀλίγου τι συστρέφεται εἰς ἑαυτὸν, τοῦ θεοῦ τὴν εἰκόνα τῇ καρδίᾳ ἑαυτοῦ ἐγγεγραμμένην αἰσθάνεται. — Ἐὰν πρόσχημά τι ἀρετῆς προσῇ τῇ κακίᾳ, ῥᾳδίως αὕτη εὐδοκιμεῖ. — Βασιλεὺς ἐάν τι ἀνδρεῖος ἢ καὶ τολμηρὸς ᾖ, φάσκουσιν οἱ κολακεύοντες πάντως αὐτὸν τῶν μεγίστων στρατηγῶν διαφέρειν. — Εἴ τις τοῖς μεγάλοις συγγραφεῦσι προσέχει τι, ἐξ αὐτῶν λήψεται οὐ μόνον ὅπως τὰ καλὰ διαγνώσεται, ἀλλὰ καὶ ὅπως τὸν βίον ἀπευθυνεῖται. — Ἐὰν εἰς ταύτας τὰς πολυτελεῖς οἰκίας εἰσίητε, πρὸς ὧν τὴν λαμπρότητα ἐπτόησθε, τάχα αἰσθήσεσθε ταῦτα λαμπρὰ μὲν ἔξω ὄντα, ἔνδον δὲ φαῦλα καὶ μηδενὸς ἄξια. — Πάνυ παῦρά ἐστι ζῶα καὶ ἐκ τῶν τὰ χαλεπώτατα πονεῖν ἀναγκαζομένων ἅτινα χρόνῳ τὸν δεσπότην οὐ στέργει εἴ τι αὐτῶν φείδεται. — Ὑβρίσματα δή τινα καὶ οἱ ἀσθενέστατοι δῆμοι οὐ δύνανται ὑπομένειν, εἴ τις αἰδὼς αὐτοῖς ἔνεστιν. — Τοὺς περὶ βασιλέα κόλακας ὅρα· εἰ μὲν ὑπογελάσαι τι ἀξιοῖ, πάντες εἰς γέλωτα ὁρμῶσιν οὐκ εἰδότες πλειστάκις διὰ τί· εἰ δὲ σπουδαῖός τι καὶ σύννους δοκεῖ, πάντες αὖθις δειμαίνουσι καὶ σιγῶσι. — Τίνες χῶραι ἐπιτηδειότεραί εἰσι τοὺς ὁδοιποροῦντας θέλγειν τῆς Ἑλλάδος καὶ τῆς Ἰταλίας, εἴ τι φιλότεχνός τις ἐστίν; — Εἰ καὶ ὀλίγον ἀνελίξεις τὰς ἐννέα ἢ δέκα βίβλους τὰς ὑπὸ τοῦ πρεσβυτέρου Πλινίου περὶ τῶν φυσικῶν γεγραμ-

μένας, ὄψει πόσας ψευδεῖς τε καὶ μωρὰς δόξας καὶ οἱ σοφώτατοι ἄνδρες τότε ἀπεδέχοντο. — Ἐάν τις τῇ ἑαυτοῦ προαιρέσει ἐμμένῃ τι τόν τε καιρὸν ἡσύχως ὑπομένῃ, σχεδὸν ἀεὶ τὸ καλῶς πράξειν ἐν ἀσφαλεῖ ἐστιν αὐτῷ. — Πάντες οἱ σοφισταὶ, εἰ ῥᾳδίως μόνον καὶ λαμπρῶς φράζοιειν, πολλοὺς ἀκροατὰς ἔχοντες τάχα ἐπλούτουν. — Ἡ γῆ χρημάτων γέμουσα τοῖς ἀνθρώποις ταῦτα ἀφθόνως δίδωσιν, ἐὰν οὗτοι τῷ πόνῳ ἄξιοί τι ἐκείνων γένωνται.

220e Exercice.

Pour signifiant *eu égard à* (*Grammaire*, § 655).

Ὁ Φωκίων τὴν ἀρετὴν σκληρότατος ἦν ὡς Ἀθηναῖος. — Ὁ Εὐριπίδης, ὡς τραγικὸς ποιητὴς, τοῖς τε ἀποφθέγμασι καὶ ταῖς σοφαῖς παρεκβάσεσιν ἀπεχρήσατο δι' ὧν οἱ θεώμενοι ψυχροὶ καθίστανται. — Τῶν Αἰγυπτίων ἡ θεοσέβεια ἀγροικοτάτη ἦν ὡς ἔθνους οὕτω τῇ σοφίᾳ τε καὶ τῇ ἐπιστήμῃ εὐδοκιμοῦντος. — Εἰκότως λέγοις ἂν τὸν Θουκυδίδην οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἄδικον γενέσθαι ὡς Ἀθηναῖον ὄντα, οὔτε πρὸς τὴν ἑαυτοῦ πατρίδα ἀνεπιεικῆ ὡς φυγάδα. — Τῷ Δημοσθένει ἐμέμφοντο ὅτι γελοίως φιλοκοσμοῖ ὡς ῥήτωρ καὶ ἀνὴρ τὰ τῆς πόλεως πράττειν φιλοτιμούμενος. — Δημάδης ὁ ῥήτωρ τῷ χαριεντισμῷ καὶ τῷ ἀστείως παίζειν ἦν διαπρεπὴς, μάλιστα δὲ ὡς ἀνὴρ ἐν τριήρει νέος ὢν ὑπερέσας. — Ὅτε ὁ Αἰσχίνης ἐν τῇ ἀγορᾷ βάδην περιπατοῖ μετέωρος καὶ τὴν στολὴν σύρων, πάνυ σοβαρός τε καὶ γελοῖος ἐδόκει ὡς γραμματεύς ποτε γενόμενος, τοῦ γραμματοδιδασκάλου Τρόμητος υἱός. — Ἡ Ἀρτεμισία ἐν τοῖς Μηδικοῖς παρέσχεν ἑαυτὴν ἀνδρειοτάτην μὲν ὡς γυνὴ, φρονιμωτάτην δὲ ὡς βάρβαρος. — Ὁ Κράσσος εἰ καὶ ἥδετο τῶν χρημάτων ἐν καιρῷ ἐπίδειξιν ποιούμενος, ῥυπαρὸς ἦν ὡς ἄνθρωπος πλουσιώτατος. — Νικοστράτης ὁ Ἀργεῖος παράδοξόν τι ἐμαίνετο ὡς στρατηγὸς δεινός· ἐμάχετο γὰρ ἐν τῷ Ἡρακλέους σχήματι τὴν λεοντῆν περιβεβλημένος καὶ τὸ ῥόπαλον ἐν χειρὶ ἔχων. — Οἱ Γερμανοί τε καὶ οἱ Γαλάται ὡς ἀγροῖκα ἔθνη καὶ βάρβαρα δοκοῦντες εἶναι ἧσσον τῶν Ἑλλήνων καὶ τῶν Ῥωμαίων δεισιδαίμονες ἦσαν. — Ὁ Φίλιππος χρόνον πολὺν ὑπὲρ τῶν ἡδονῶν ἀνήλισκεν ὡς φιλότιμος ἀνὴρ καὶ πᾶσαν τὴν Ἑλλάδα καταστρέψασθαι ἐννοούμενος. — Ὁ Μασινισσᾶς ἱππαστὶ καὶ τὴν κεφαλὴν γυμνὸς ὁδοιπορῶν ἐνενήκοντα ἔτη γεγονὼς ἰσχὺν ἐπεδείκνυ θαυμασίαν ὡς τηλικοῦτος ἀνήρ.

221e Exercice.

Pour, signifiant *eu égard à*, devant un nom de chose (*Grammaire*, § 655, *Remarque*).

Οἱ τῶν ὀρεινῶν χωρῶν ἵπποι μικροὶ μέν εἰσι, τὴν δὲ ἰσχὺν θαυμάσιοι πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) τὸ μέγεθος. — Σκηπίων, κομιδῇ

νέος ὢν, πρὸς τὸν Ἰβηρικὸν στρατὸν ἀπεσταλμένος ἐμπειρίαν τε καὶ φρόνησιν παράδοξον πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) τὴν ἡλικίαν ἐπέδειξεν. — Οἱ μύρμηκες φορτία ὑπέρογκα ἕλκουσι πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) τὸ τοῦ σώματος μέγεθος. — Ὡς τὰ παχέα ταῦτα ὑφάσματα ἅπερ οἱ πρῶτοι ἄνθρωποι εἰργάζοντο, θαυμάσια δὴ ὄντα πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) χρόνους οὕτω παλαιούς, τῶν πολυτελῶν ἡμετέρων καὶ μαλθακῶν ἐσθήτων διαφέρει. — Εἰ καὶ μεγίστην οὐσίαν παρὰ τῶν γονέων παρέλαβεν ὁ Καῖσαρ, ἐλαχίστη δὴ ἦν πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) ἃ ἐβεβούλευτο. — Ἡ τοῦ βατράχου φωνὴ ὑπερμεγάλη ἐστὶ πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) τὸν τοῦ σώματος ὄγκον. — Εἰσὶ τινὲς ἐν τῇ πρὸ ταύτης ἑκατονταετίᾳ ἱκανῶς χρημάτων πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) ἐκεῖνον τὸν χρόνον εὐπορήσαντες οἳ νῦν μικροῦ δεῖν τῶν ἀναγκαίων ἀποροῖεν ἄν. — Τῆς Ἑλλάδος αἱ πόλεις μεγάλα στρατεύματα παρεσκευασμένα εἶχον πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) τὸ τῆς χώρας μέγεθος. — Ἡ Ῥωμαϊκὴ ἀρχὴ ἄχθος ἦν βαρύτερον πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) ἑνὸς ἀνδρὸς δύναμιν. — Οὐ δεῖ ἐν ἴσῳ τιθέναι τοὺς προετικοὺς τοὺς τὰ ἑαυτῶν περισσοῖς δαπανήμασι διασπαθῶντας καὶ τοὺς μᾶλλον ἢ πρὸς (ou κατὰ ou ὡς πρὸς ou ὡς κατὰ) τὴν οὐσίαν φιλοδώρους ὄντας, καὶ μήποτε τῷ ἀποροῦντι μὴ δοῦναι δυναμένους.

222ᵉ Exercice.

En suivi du participe présent (*Grammaire*, § 656).

Ὁ Ἀριστοτέλης φησὶ μελίσσας τινὰς σμήνη ὑπόγεια ποιεῖσθαι τὴν γῆν ἔξω ὥσπερ μύρμηκας φερούσας. — Τοὺς μὲν ἰδιώτας παιδεύοντες τούτους μόνον ὠφελοῦμεν, τοὺς δὲ μέγα δυναμένους καὶ βασιλεῖς παιδεύοντες καὶ αὐτοὺς καὶ τοὺς ὑπ' αὐτοῖς ἐσομένους ὠφελοῦμεν. — Ἔστι ζῷά τινα ἀναίσθητα ἃ νομίζει τὴν κεφαλὴν κρύπτοντα τὸ πᾶν σῶμα κρύψαι. — Ἑρμοκράτης ὁ φιλάργυρος ἀποθνήσκων ἑαυτὸν ἑαυτῷ κληρονόμον κατέστησε. — Φαέθων ὁ τοῦ Ἀπόλλωνος τῆς ἀτραποῦ ἐξέστη τὸ τοῦ πατέρος τέθριππον ἐλαύνων. — Ἡ γῆ τοῖς ἀνθρώποις πολλαπλάσια ὧν ἔλαβεν ἀποδιδοῦσα τὴν δικαιοσύνην αὐτοὺς καὶ τὴν εὐχαριστίαν διδάσκει. — Φιλώτας ὕποπτος καὶ ἀπεχθὴς τοῖς Μακεδόσιν ἐγένετο, ὑπερηφάνειαν καὶ φρόνημα ἐπιδεικνύμενος ἐπαχθέστερον ἢ κατ' ἄνθρωπον. — Οἱ δὴ θεοὶ ταχέως τοὺς ἀνθρώπους τοὺς φιλτάτους αὐτοῖς ὄντας τοῦ βίου ἀπαλλάσσοντες ἐπιδεικνῦσιν ἡμῖν ὡς καταγέλαστοί ἐσμεν τὸν θάνατον φοβούμενοι. — Ἆρα νομίζεις τοὺς Ἀθηναίους χάριν ἀξίαν τῷ Σόλωνι ἀποδοῦναι καὶ θανόντι ἀνδριάντα στήσαντας καὶ δημοσίᾳ θάψαντας αὐτόν; — Οὐδεὶς εἰς Ἅδην καταβαίνων τὰ χρήματα ἑαυτοῦ ἀποκομίζεται· οὐδεὶς δύναται λύτρον τι ἀποδοὺς τὸν

θάνατον καὶ τὰς δεινὰς νόσους καὶ τὸ σχέτλιον γῆρας ἐκκλῖναι. — Ὁ τῶν ἡδονῶν ἔρως τὰς ψυχὰς μαλάσσων ἡμᾶς τὴν ἰσχὺν ἀφαιρεῖ ἀναγκαίαν οὖσαν ὥστε τῇ κακίᾳ ἀνθίστασθαι. — Δυνάμεθα μὲν τοὺς παῖδας τὰ τῶν φυσικῶν στοιχεῖα διδάσκειν, οὐδὲν δὲ μεῖζον ἢ κατὰ τὴν αὐτῶν δύναμιν, οὐδὲν μὴ ἐφικτὸν αὐτοῖς προτιθῶμεν. — Τὴν μὲν τῶν ἐνύδρων ὀρνίθων πτίλωσιν σκεπτόμενος καθορῶ αὐτὴν ὑδατοστεγῆ καὶ ξηρὰν ἀεὶ μένουσαν· τοὺς δὲ τῶν αὐτῶν ὀρνίθων πόδας ἀποβλέπων, πτερυγίοις κατεσκευασμένους ὁρῶ ἐξ ὧν φανερόν ἐστι διὰ τί πεποίηνται. — Τῶν δένδρων ἔνια μὲν καρποὺς κατὰ δύο τοῦ ἔτους ὥρας δίδωσιν, ἄλλα δὲ καὶ τὰς διαφόρους ὥρας καὶ δὴ αὐτοὺς τοὺς ἐνιαυτοὺς οἷον συνάπτει ἀλλήλοις, ὁμοῦ καὶ νέα ἄνθη, καὶ ἀπέπτους καὶ πεπείρους καρποὺς φέροντα.

228e Exercice.

Suite de la préposition *en* (*Grammaire*, § 656, *Remarque I*).

Ἀλκιβιάδης πολλάκις ἐσφάλλετο τῇ γλώσσῃ καὶ ἐξαίφνης ἐπαύετο ἅμα (ou μεταξὺ) λέγων. — Οἱ μέγιστοι τῶν πάλαι φιλόσοφοι ἅμα ἀποδοκιμάζοντες τελετάς τινας τῶν ἐθνικῶν, ἐπέταττον ὅμως τοῖς μαθηταῖς ταύτας τὰς θρησκείας τά γ' ἔξω θρησκεύειν. — Κικέρων ἅμα (ou μεταξὺ) περὶ τὸ λέγειν διατρίβων οὐδὲ τῆς ποιήσεως ἠμέλει ὥστε τῶν κατ' αὐτὸν ποιητῶν ἄριστος δόξαι, ὥς φησιν ὁ Πλούταρχος — Ὅσους ἀνθρώπους ἰδεῖν ἔστιν οἵτινες τὰς τιμὰς ἀπωθούμενοι ἅμα (ou μεταξὺ) γλίχονται δέξασθαι αὐτάς. — Ἡ Ῥώμη ἅμα (ou μεταξὺ) χαλεπῶς ὑπὸ τοῦ Ἀννίβα ἐν μέσῃ τῇ Ἰταλίᾳ πολεμουμένη ὅμως οὔτε τὴν Σικελίαν οὔτε τὴν Ἰβηρίαν παρέλειπεν. — Εἰσὶν οἳ τοῦτο τὸ χαλεπώτατον ἐπίστανται· ἄλλοις γὰρ χαρίζονται ἅμα (ou μεταξὺ) τἀληθὲς λέγοντες. — Ξενοφῶν ἅμα (ou μεταξὺ) περὶ τὴν φιλοσοφίαν διατρίβων οὔτε τῶν πολιτικῶν πραγμάτων οὔτε τῶν κατ' αὐτὸν στρατειῶν ἀπεγένετο. — Οἱ Θηβαῖοι καίπερ ἐπὶ τῷ Πινδάρῳ σεμνυνόμενοι ἐζημίωσαν τὸν ποιητὴν ὡς τοὺς Ἀθηναίους ἐπαινέσαντα. — Οἱ ἀριστοκρατικοὶ τῷ Θεμιστοκλεῖ ἐμέμφοντο ὅτι τὸ ἄστυ τῷ Πειραιεῖ συνάπτων τὸ τοῦ ναυτικοῦ πλῆθος ἅμα καὶ τὴν τῶν πολλῶν δύναμιν αὐξῆσαι. — Ὁ Περσεὺς ἅμα (ou μεταξὺ) τὸν πόλεμον κατὰ τῶν Ῥωμαίων παρασκευάζων, δισμυρίους μὲν μισθοφόρους ἀφίη τὸν μίσθον ὃν ἀπήτουν ἀποδοῦναι αὐτοῖς οὐ βουλόμενος, τῆς δὲ τοῦ Γεντίου τοῦ τῶν Ἰλλυριῶν βασιλέως συμμαχίας διὰ φειδωλίαν ἡμάρτανεν. — Οἱ δοῦλοι ἅμα (ou μεταξὺ) ὑπὲρ τῶν δεσποτῶν ἐργαζόμενοι τελευτῶντες ἐνίοτε μικρόν τι ἀργυρίδιον συνέλεγον δι' οὗ τὴν ἐλευθερίαν ἑαυτῶν ὠνοῦντο. — Ὁ Φιλοκτήτης καίπερ ὁμολογῶν τὸν Ὀδυσσέα μόνον ἕνεκα τοῦ τῇ Ἑλλάδι συμφέροντος πρᾶξαι, οὐκ ἠδύνατο τῷ ἀνδρὶ τῷδε μὴ οὐ κεχολῶσθαι ὡς πάντων τῶν ἑαυτοῦ κακῶν αἰτίῳ.

224e Exercice.

Suite de la préposition *en* (*Grammaire*, § 656, *Remarque II*).

Λογίζου ἅμα (ou ἐν) τῷ ἐγείρεσθαι τί ἂν ἀγαθὸν ἐν τῇ ἡμέρᾳ ποιήσῃς. — Οἱ μονομάχοι εἰς τὸν κίρκον ἅμα (ou ἐν) τῷ εἰσιέναι τὸν αὐτοκράτορα ἠσπάζοντο οὗ θεωμένου θνήσκειν ἔμελλον.—Κῦρος ἥδετο ἐν (ou ἅμα) τῷ δειπνεῖν τὸν λόγον περὶ χαρίεντός τινος πράγματος ἐμβάλλων.—Συγγραφεῖς τινες φασὶ τὸν Κικέρωνα ἐν (ou ἅμα) τῷ εἰς Ἀθήνας ἀφικνεῖσθαι τὰ Ἐλευσίνια τελεσθῆναι ὧν οὕτως αἰδημόνως μνημονεύει ἐν τῷ περὶ τῶν νόμων συγγράμματι. — Ὁπότε ὁ Ἀλέξανδρος ὁδὸν βαδίζοι μὴ λίαν ἐπείγουσαν, ἐμάνθανεν ἅμα (ou ἐν) τῷ πορεύεσθαι καὶ τοξεύειν καὶ ἅρματος ἀνὰ κράτος ἐλαυνομένου ἐπιβαίνειν καὶ ἀποβαίνειν. — Ὁ Ἀλέξανδρος ἅμα τῷ ἐγείρεσθαι τοῖς θεοῖς ἔθυε καὶ ὀλίγον τι σχεδίως ἠρίστα. — Ὁ Κλώδιος ἅμα τῷ εἰς τὴν ἀρχὴν εἰσιέναι ἐσπούδασε τὸν δῆμον ἐπὶ τὸν Κικέρωνα διακινῆσαι. — Ὁ Κικέρων ἔλεγεν ἑαυτῷ ῥᾴδιον εἶναι ἐν τῷ τὴν Ἰταλίαν διέρχεσθαι τοὺς ἑκάστου τῶν φίλων ἀγρούς τε καὶ τοὺς οἴκους μηνύειν· καὶ δὴ πολλοὺς εἶχε φίλους. — Οἱ μεγάλοι συγγραφεῖς ποιηταί τε οἱ μεγάλοι ἐπιμέλονται ἅμα (ou ἐν) τῷ συγγράφειν ὅπως οὐ μόνον παρὰ τοῖς κατ' αὐτοὺς ἀλλὰ καὶ παρὰ τοῖς ἔπειτα εὐδοκιμήσουσιν.

225e Exercice.

Préposition *malgré* (*Grammaire*, § 657).

Ὁ Καῖσαρ πάντα τὰ χρήματα ἐκ τοῦ δημοσίου ἔλαβε βίᾳ τοῦ δημάρχου Μετέλλου.— Βίᾳ δὴ τοῦ Ἀρχιδάμου ὁ πόλεμος τοῖς Ἀθηναίοις ἐπηγγέλθη. — Ἡ Καρχηδὼν βίᾳ τῆς Ἥρας ἀναιρεθήσεται. — Ὁ Κικέρων ὀλίγον χρόνον φυγαδεύσας εἰς τὴν Ῥώμην ἐπανῆλθε βίᾳ τοῦ Κλωδίου καὶ τῶν μετ' ἐκείνου ὄντων. — Ἐὰν τῷ Σοφοκλεῖ πειθώμεθα, ὁ Νεοπτόλεμος τῷ Φιλοκτήτῃ τὸ τόξον καὶ τὰ βέλη βίᾳ τοῦ Ὀδυσσέως ἀπέδωκε. — Λέγεται κακὸς ποιητὴς στιχοποιεῖν βίᾳ τῆς Ἀθηνᾶς. — Οἱ λύκοι λιμώσσοντες ἐκ τῶν ὑλῶν κατὰ μέσην ἡμέραν ἐξερχόμενοι ἐπὶ τὰ ποίμνια βίᾳ κυνῶν καὶ ποιμένων ἐφώρμων. — Οὐκ ὀλίγους ποιητὰς τῶν ἐκπρεπῶν ἢ καὶ τῶν ἐπιφανεστάτων ὀνομάζειν ἔστιν οἳ βίᾳ τῶν οἰκείων τε καὶ τῶν φίλων ἑαυτοὺς τῇ ποιητικῇ ἔδοσαν. — Βίᾳ δὴ τοῦ Κασσίου ὁ Βροῦτος τῶν οἰκειοτάτων τῷ Καίσαρι φίλων ἐφείσατο. — Τί ποτε βούλευμα βίᾳ τῶν θεῶν ἀπέβη; — Ὁ Τερέντιος Βάῤῥων, ἐκ τοῦ ταπεινοτάτου γένους ὤν, πρὸς τὴν ὑπατείαν βίᾳ τῆς συγκλήτου καὶ μόνον ἐπὶ τῇ τῶν εὐπατριδῶν ὕβρει προήχθη. — Νομίζω τὸν Ἀννίβαν καὶ ἐναντιοῦντος Τίτου τοῦ Λιβίου ὅτι ἐλάχιστα χαριεντίζοιτο. — Ἆρ' οἱ Ἕλληνες εἰς τοῦτο ταπεινώσεως ἦλθον ὥστε μὴ τολμῆσαί τι βίᾳ Φιλίππου τοῦ Μακεδόνος πράττειν; — Ῥᾴδιον

ἦν τοὺς Καρχηδονίους κατὰ κράτος παραβαίνειν βίᾳ τῶν ὀρεινῶν τῶν ταῖς ὑπερβολαῖς ἐπικαθημένων. — Ἕκτωρ πρὸς τὴν μάχην ἐξώρμησε βίᾳ τῆς Ἀνδρομάχης τῆς πάλιν ὄψεσθαι αὐτὸν οὐκέτι μελλούσης. — Οὐδενὶ εἰς τὸν σκοτεινὸν Τάρταρον εἰσελθεῖν ἔξεστιν, οὐδὲ ἐξελθεῖν ἐκεῖθεν βίᾳ τοῦ Κερβέρου. — Οὐδενὶ νεκρῷ ἐξῆν τὴν Στύγα διαπλεῦσαι ἄνευ Κάρωνος τοῦ Ἅιδου πορθμέως. — Ὁ Ὀδυσσεὺς εἰς τὴν πατρίδα βίᾳ τοῦ Ποσειδῶνος ἐπανῆλθεν· τοῦτο γὰρ ἦν ἀμετακινήτως πεπρωμένον. — Φασὶ τὸν Πλάτωνα βίᾳ τῶν φίλων τὸν δεύτερον πλοῦν εἰς τὴν Σικελίαν ποιήσασθαι. — Ὁ Καῖσαρ τὴν τοῦ ποτε δικτάτωρος Κίννα θυγατέρα βίᾳ τοῦ Σύλλα γαμήσας τῆς Ῥώμης ἐξελθεῖν ἠναγκάσθη.

226ᵉ Exercice.

Suite de la préposition *malgré* (*Grammaire*, § 657, *Remarque*).

Κακῶς ποιοῦμεν ὅσα ποιοῦμεν ἄκοντες. — Ὅστις τοῦ βίου καταφρονεῖ, οὐ μὴ ἄκων ἐν δεσμοῖς κατασχεθῇ. — Πόσα ἡ ἀνάγκη ἡμᾶς ἀναγκάζει ποιῆσαι ἄκοντας. — Ἡ Καλυψὼ ἄκουσα τῷ Ὀδυσσεῖ παρέσχε τὰ ἐργαλεῖα ὡς τὴν σχεδίαν κατασκευάσαι ἀναγκαῖα. — Καθ' ἣν ἡμέραν ὁ Καῖσαρ ἀνῃρέθη, εἰς τὴν σύγκλητον ἀκούσης Καλπουρνίας τῆς γυναικὸς παρῆλθεν. — Ἄνθρωποι οἱ τὴν φύσιν μαλθακοὶ πολλάκις ἄκοντες παραφέρονται εἰς αἰσχρὰ ἐφ' οἷς στένουσιν. — Ὁ Ἀχιλλεὺς ἀκούσης δὴ τῆς μητρὸς Θέτιδος πρὸς τὴν τῆς Τροίας πολιορκίαν ἔπλευσεν. — Χαλεπόν ἐστι πιστεύειν τοῦτο ἄκοντος σοῦ πεπρᾶχθαι ὃ ῥᾳδίως ἂν ἐκώλυσας. — Ὁ πόλεμος ὁ τῶν Λατίνων κατὰ τῶν Τρώων τοῦ Λατίνου καὶ τοῦ Αἰνείου ἀκόντων ἐξεῤῥάγη. — Ἔξεστι λέγειν τὸν Θεμιστοκλέα ὅτι τοὺς Ἕλληνας ἄκοντας νικᾶν ἠνάγκασε παρὰ τῇ Σαλαμῖνι. — Ὁ Αὔγουστος ἐπιεικῆ ἑαυτὸν παρέχων πείθειν δήπου ἐβούλετο ὡς μόνον ἐξ ἀνάγκης καὶ τρόπον τινὰ ἄκων αἷμα ἀποχέαι ὅτε εἷς ἦν τῶν Τριῶν. — Αἱ ἐπαρχίαι οὐκ εἰ μὴ ἄκουσαι τῶν στάσεων ἐκοινώνουν ἐπεὶ ἥκιστα αὐταῖς συνέφερε πότερον ἡ σύγκλητος ἢ ὁ δῆμος ἐπικρατήσει. — Ἡ σύγκλητος τοὺς πάλαι στρατιώτας φοβηθεῖσα οἳ μετὰ τὸν τοῦ Καίσαρος θάνατον εἰς τὴν πόλιν συχνοὶ εἰσῆλθον, πάντα τὰ τοῦ μοναρχήσαντος πράγματα ἄκουσα ἐκύρωσεν. — Ζήνων ὁ φιλόσοφος στρεβλωθεὶς τὴν γλῶσσαν ἔταμε τοῖς ὀδοῦσι μὴ ἄκων τὸ ἀπόῤῥητον ἐκκαλύψῃ.

227ᵉ Exercice.

Suite de la préposition *malgré* (*Grammaire*, § 658).

Ἔτι νῦν ἕτοιμός εἰμι καὶ παρὰ τὴν ἡλικίαν τὰ ὅπλα ὑπὲρ τῆς πατρίδος ἀναλαμβάνειν, ἐὰν δέηταί μου. — Ταρκύνιος ὁ τύραννος τὴν ἀρχὴν παρὰ

τὸ νενομισμένον εἷλεν οὔτε ὑπὸ τῆς συγκλήτου οὔτε ὑπὸ τοῦ δήμου χειροτονηθείς.—Θρασύτατος ἦν ὁ Σκηπίων παρὰ τὴν τοῦ Κάτωνος καὶ ἐμπείρων τινῶν ἄλλων στρατηγῶν γνώμην διαπλέων εἰς τὴν Λιβύην. — Φανερά μοί ἐστιν ἡ Ἰλιὰς παρὰ τὴν πολυμαθῶν τινων γνώμην ὑφ' ἑνὸς συγγεγράφθαι. — Οὐκ ἐν ἴσῳ θήσονται οἱ ἔπειτα τοὺς ἐκ τῆς πατρίδος ὡς ἀδικήσαντας ἐκπέσοντας καὶ τοὺς παρὰ τὴν δικαιοσύνην καὶ τὸν λόγον ἐκβληθέντας. — Οἱ Ῥωμαῖοι ἐπεὶ ἔδοξεν αὐτοῖς οὐδενὶ τῶν ἐν Ἀσίᾳ βασιλευόντων ἐξεῖναι ἓν τῶν κατ' Εὐρώπην ἐθνῶν ὁτιδήποτε καταστρέψασθαι, τῷ Μιθριδάτῃ τῷ παρὰ ταύτην τὴν ἀπόρρησιν ἐνίους βαρβάρους χειρωσαμένῳ ἐπολέμησαν. — Οἱ Ῥόδιοι δικαίως ἐμέμφοντο ὅτι οἱ Ῥωμαῖοι παρὰ τοὺς ὅρκους τὴν Λυκίαν ἀπεστέρησαν αὐτούς. — Θεανὼ ἡ ἱέρεια παρὰ τὸ ῥητὸν τῶν ἀρχόντων ἐπάγγελμα οὐκ ἔφη τῷ Ἀλκιβιάδῃ καταράσεσθαι. — Τοῦ Κρέοντος ἀπειπόντος τοὺς πολεμίους κατὰ τὴν τῶν Θηβῶν πολιορκίαν θανόντας μὴ θάψαι, ἐτόλμησεν ἡ Ἀντιγόνη παρὰ ταύτην τὴν ἀπαγόρευσιν τὰ νόμιμα τῷ ἀδελφῷ Πολυνείκει ποιῆσαι.

228e Exercice.

Suite de la préposition *malgré* (*Grammaire*, § 658, *Remarque*).

Ὁ Ξάνθος ἤμελλεν ἀεί, εἰ καὶ ὑπέσχετο, τὸν δοῦλον Αἴσωπον ἐλευθερῶσαι. — Εἰ καὶ ἀφανεῖς εἰσιν οἱ πάλαι χρόνοι, ἔστι τινὰ παρὰ πάντων συγγραφέων ὁμολογούμενα. — Οἱ Καρχηδόνιοι, εἰ καὶ τῆς ναυτικῆς ἐμπείρως εἶχον, τὸ πρῶτον τοῖς Ῥωμαίοις μαχεσάμενοι παντάπασιν ἐνικήθησαν. — Ἡ Ἑλλάς, εἰ καὶ στασιαστικῶς ἔχουσα, φοβερὰ ἔτι ἐδόκει οὖσα τῇ τῶν πόλεων ὀχυρότητι διὰ θέσιν καὶ πλῆθος, καὶ τῷ τῶν στρατιωτῶν ἀριθμῷ, καὶ τοῖς ἤθεσί τε καὶ νόμοις. —Ἀλέξανδρος, εἰ καὶ ὑπόπτως εἶχε πρὸς τὸν Φιλώταν, διετέλει αὐτῷ εὐνοϊκῶς ὡς τὸ πρότερον χρώμενος. — Ὁ Πλούταρχός φησι τὴν τοῦ Κικέρωνος περὶ τοὺς λόγους εὐδοξίαν ἔτι νῦν διασώζεσθαι, εἰ καὶ μεγάλαι μεταβολαὶ ἐν τῷ λέγειν ἐγένοντο. — Οἱ Ἀθηναῖοι, εἰ καὶ πολλοὶ αὐτοῖς κίνδυνοι περιέστησαν, ἀησσήτους ἑαυτοὺς εἶναι ἐνόμιζον τὸν Ἀλκιβιάδην οἴκαδε ἀνακαλέσαντες. — Ὁ Φιλοκτήτης, εἰ καὶ πολλὰ καὶ μεγάλα ἐν ἐκείνῃ τῇ νήσῳ ἔπαθεν, οὐκ ἄνευ πόθου καταλιπεῖν αὐτὴν ἠδυνήθη. — Ἡ Αἴγυπτος, εἰ καὶ εὔγεως οὖσα, μεγάλῃ σιτοδείᾳ ἐπιέσθη βασιλεύοντος τοῦ Τραϊανοῦ. — Ἆρά τις ἔστιν ὅστις δύναται λέγειν ἑαυτόν, κἂν μάλα ἐγρηγορικὸς καὶ ταχυεργὴς ᾖ, οὔποτε καιρὸν παρεῖναι; — Ὁ Ἀλέξανδρος τὸν Κλεῖτον φονεύσας οὐδεμίαν παραμυθίαν προσεδέχετο, εἰ καὶ οἱ περὶ αὐτὸν ἐπειρῶντο τὸ πάθος αὐτοῦ κουφίσαι. — Οὐδεὶς θνητός, κἂν δυνατὸς ᾖ, οἷός τε ἐστὶ τὸ ἐλάχιστον ἔντομον κτίσαι. — Εἰ καὶ πολλὰ κακὰ τοὺς ἰατροὺς λέγομεν, ἐλάχιστοί

γε εἰσὶν ἄνθρωποι οἳ νοσοῦντες οὐ μεταπέμπονται αὐτούς. — Ὁ Κικέρων, εἰ καὶ λαμπρῶς τῶν κατ' αὐτὸν ῥητόρων ἐπρώτευε, μελετῶν διετέλεσε μέχρι τῆς τοῦ βίου τελευτῆς. — Ὁ Ἰσοκράτης, εἰ καὶ τὰ ἤθη αὐστηρὸς ἦν, ὅμως διεβλήθη ὡς τῇ τρυφῇ καὶ τῇ χλιδῇ χαίρων. — Τὸν Διογένην τῷ Σωκράτει παραβάλλοντες αἰσθησόμεθα τὸν μέν, εἰ καὶ τῷ καλῷ τῆς φιλοσοφίας ὀνόματι σεμνύνεται καὶ τοῦ πλούτου καὶ τῶν τιμῶν καταφρονεῖν ἐπαγγέλλεται, τοῦ δὲ πολλῷ μᾶλλον φθονητικῶς καὶ κενοδόξως ἔχειν.

229e Exercice.

Préposition *sans* (*Grammaire*, § 659).

1. Ὁ Αἴσχυλος οὐ καθαιμάξας τὴν σκηνὴν ἠπίστατο ὡς οὐδεὶς ἄλλος ποιητὴς τοῖς θεωμένοις φόβον ἐμβάλλειν. — Παγγέλοιός ἐστιν ὁ τοὺς ἄλλους χλευάζειν τε καὶ σκώπτειν ἀξιῶν, μὴ δυνάμενος αὐτὸς τὸ ἐλάχιστον σκωμμάτιον ὑπομεῖναι. — Τοῖς ἀποροῦσι φίλοις φθάσας ἐπικούρησον μηδὲ περιμένων ἕως ἂν σου δέωνται. — Ἄγριε Πολύφημε, ὃς τὴν ξενίαν μὴ αἰδούμενος τούς σε ἱκετεύοντας κατέφαγες, κατανόησον τῷ Διῒ καὶ τοῖς ἄλλοις θεοῖς διδοὺς δίκην. — Ὁ Καμβύσης εἰς τὰς μέσας τῆς Λιβύης ἐρημίας ἀφίκετο ἐνίοις τῶν τοῦ πατρὸς φίλων σοφὰ βουλεύσουσιν οὐ πειθόμενος. — Πολλοὶ εἰσὶν οἵτινες οὐχ οὕτω πεπαιδευμένοι ὄντες ὥστε εὖ γράφειν τε καὶ λέγειν, ὅμως οὕτω φιλόκαλοι πεφύκασιν ὥστε τὰ εὖ λεχθέντα τε καὶ γραφέντα διαγιγνώσκειν. — Πόσους ἀνθρώπους ἰδεῖν ἔστιν οἵτινες ὡς ἀληθῆ ἀποδέχονται οὐ σκεψάμενοι πολλὰ ἅπερ οὐ συνιᾶσιν. — Τίς ἄνθρωπός ἐστιν οὕτως ἑαυτῷ πιστεύων ὥστε τὸν βίον διελθεῖν κυβερνητοῦ καὶ ἡγεμόνος μὴ δεόμενος; — Νιγρῖνος ὁ φιλόσοφος τοὺς περὶ αὐτὸν ἔπειθε τὴν ἀρετὴν ἀσκῆσαι μὴ εἰς τὴν ὑστεραίαν ἀναβαλλομένους. — Δύο φίλοι τὸν ἀλλήλων νοῦν αἰσθάνονται καὶ μὴ φθεγγόμενοι. — Ὁ Κουϊντιλιανὸς τὰ λαμπρὰ ἐνθυμήματα οἷς οἱ κατ' αὐτὸν ὑπερήδοντο οὐκ ἀναιρῶν, τοὺς καταχρωμένους μόνον αὐτοῖς ἀποδοκιμάζει.

2. Οὕτως ἐπὶ τῇ ἀδιαφθαρσίᾳ ὁ Ἄρειος πάγος ηὐδοκίμει ὥστε οἱ ἀδικίας ἁλόντες τε καὶ καταδικασθέντες ὑπὸ τοῦ δικαστηρίου ἀνεχώρουν οὐ τολμῶντες μέμφεσθαι. — Ἀπόλωλεν ἡ ἐλευθερία καθ' ἣν πόλιν ἄριστοί τινες τοὺς πένητας φανερῶς ὑβρίζειν τολμῶσι, μὴ δυναμένων ἐκείνων δίκην ὧν πεπόνθασι λαβεῖν. — Ὁ Πρίαμος νομίζων τὴν τῆς Ἑλένης ἁρπαγὴν οὐδὲν ἢ ἀμοιβὴν εἶναι ἀνθ' ὧν ἡ Ἀσία ὑπὸ τῆς Ἑλλάδος ἠδικήθη τοὺς τῶν Ἑλλήνων πρέσβεις οὐκ ἀκούσας ἀπέπεμψεν. — Ὁ Κικέρων τὴν τοῦ Δημοσθένους φιλοδοξίαν διαγελᾷ αὐτὸς οὐκ ὢν ἧσσον φιλόδοξος. — Οἱ Ἕλληνες ἑαυτῶν καὶ τὰ ἐλασσώματα εἰς τοὺς θεοὺς καὶ τὰ πάθη εἰς τὰ θηρία ἀνέφερον, τοὺς μὲν ταπεινῶσαι, τὰ δὲ ὑψῶσαι οὐδαμῶς ἀξιοῦντες. —

Ἐπίστευον οἱ Ἕλληνες, εἴ τις ἀδικήσας ἀποθάνοι μὴ τὰς Εὐμενίδας ἱλασάμενος, τῆς αὐτοῦ ψυχῆς ἐκείνας ἐχομένας εἰς τὸν Τάρταρον κατασπᾶν. — Ὁ Ἐπιμενίδης τὰς Ἀθήνας εἰς ἡσυχίαν καταστήσας ἀπῆλθεν, οὐδὲν δῶρον εἰ μὴ κλάδον ἐλαίας τῆς τῇ Ἀθηνᾷ ἱερᾶς δέχεσθαι θελήσας. — Διέταξεν ὁ Σόλων μηδὲν μὲν πρᾶγμα πρὸς τὸν δῆμον εἰσενεχθήσεσθαι εἰ μὴ πρότερον ὑπὸ τῆς βουλῆς ἐπισκεφθὲν διὰ σχολῆς καὶ ἐξετασθὲν, μηδένα δὲ ῥήτορα τῶν δημοσίων ἅψεσθαι εἰ μὴ περὶ τοῦ βίου αὐτοῦ ἐξετάσεως γενομένης. — Ὁ Θησεὺς οὐχ, ὥσπερ ὁ Ἡρακλῆς, ἐκ Διὸς γεγονὼς, καὶ αὐτὸς τὴν Ἑλλάδα τῇ τῶν πράξεων φήμῃ ἐνέπλησεν.

230ᵉ Exercice.

Suite de la préposition *sans* (*Grammaire*, § 659, *Remarque I*).

Ὁ Σόλων τοὺς ὑπὸ Δράκοντος περὶ τῆς ἀνδροφονίας νόμους γεγραμμένους φυλάσσων οὐ μετεποίησεν. — Οἱ τῶν Ἰνδῶν βασιλεῖς καὶ εἰς στρατείαν τραπόμενοι καὶ τὰς ἐπαρχίας διερχόμενοι οὐδὲν τῆς συνήθους τρυφῆς ἀφαιροῦσι. — Παρὰ τοῖς Πέρσαις εἴ τις ἰδιώτης θύων μὴ τοῖς θεοῖς ὑπὲρ τοῦ βασιλέως ηὔχετο, δίκην ἐδίδου. — Ὁ Ζώπυρος τῷ Δαρείῳ οὐ προειπὼν ἑαυτῷ τὰς ῥῖνας καὶ τὰ ὦτα καὶ πάντα τὰ τοῦ σώματος μέρη ἐκολόβωσεν. — Οἱ Ἀθηναῖοι οὐ φανερῶς τὰ τῶν Ἑλληνίδων πόλεων ἐν τῇ κάτω Ἀσίᾳ προείλοντο ἐπικουροῦντες αὐταῖς κατὰ τοῦ Δαρείου συστάσαις. — Ὁ Ἀλέξανδρος τὸν Παρμενίωνα φονεῦσαι κελεύων οὐχ ἱκανοὺς εἶχεν ἐλέγχους ὡς ἀδικήσαι ἀνὴρ ἐνδοξότατος καὶ οἰκεῖος καὶ τοσαῦτα αὐτὸν ὠφελήσας. — Ἐάν τις τοὺς πάλαι ἐκ τῶν ἡμετέρων ἠθῶν καὶ τρόπων κρίνειν ἀξιώσας μὴ λόγον ἔχῃ ὅση διαφορά ἐστι τῶν χρόνων, παραδόξως σφαλήσεται. — Καλὸν δὴ καὶ τῷ Κικέρωνι καὶ τῷ Ὁρτησίῳ ἐστὶ δώδεκα ἔτη κατ' ἀγορὰν διαγωνισαμένοις οὐδέποτε οὐδὲν ἀλλήλοις βασκᾶναι. — Πόσοι Ἀθηναίων τῶν τῆς πόλεως πραγμάτων ἅπτεσθαι βουλόμενοι οὐκ ἴσασιν πόσοι εἰσὶν οἱ πολῖται, ποίαν δὲ δύναμιν ἡ πόλις κατὰ γῆν καὶ θάλασσαν τρέφειν δύναται, καὶ πόθεν τὰς μεγίστας προσόδους λαμβάνει.

231ᵉ Exercice.

Suite de la préposition *sans* (*Grammaire*, § 659, *Remarque II*).

Οἱ Ῥωμαῖοι τῆς πλείστης Ἀσίας σχεδὸν ἄνευ μάχης ἐκράτησαν. — Οὐκ ἀεὶ ῥᾴδιόν ἐστιν ἀπολογήσασθαι ἄνευ τοῦ ἐπιφέρεσθαι. — Ἐνίους ἀνθρώπους μνημονεύουσιν οἳ ἱκανὰς ἡμέρας ἄνευ πότου καὶ σίτου ἐβίωσαν. — Τῷ προετικῷ ἄβιος βίος ἄνευ τοῦ δαπανᾶν. — Εἰ οἷόν τε ἐγένετο τοὺς ἀνθρώπους ζῆν ἄνευ τοῦ πονεῖν, πόσων εὑρημάτων θαυμασίων ἀποστερη-

θεῖμεν ἄν. — Ὁ Εὐριπίδης τοὺς τελευταίους τοῦ βίου ἐνιαυτοὺς ἐν τῇ Μακεδονίᾳ παρ' Ἀρχελάῳ διαγαγὼν ἐδήλωσεν ὅτι παρὰ βασιλεῖ ζῆν ἔξεστιν ἄνευ τοῦ κολακεύειν καὶ τὴν ἀλήθειαν κρύπτειν. — Ὡς διέφερον ἐκεῖνοι οἱ εὔτακτοι στρατοὶ ἐπαρχίας ὅλας ἄνευ βλάβης καὶ ὕβρεως διερχόμενοι τοῦ πλανητικοῦ τῶν βαρβάρων πλήθους πάντα κατὰ τὴν ὁδὸν πορθούντων καὶ διαφθειρόντων. — Οἱ πλεῖστοι τῶν ἀνθρώπων οὐκ ἄνευ γέλωτος τὰ ἴδια ἑαυτῶν ἐλασσώματα ἐν τοῖς πλησίον κατιδεῖν δύνανται. — Τὰ μνημεῖα ὅσα μόνον πρὸς τὴν πομπήν τε καὶ ἐπίδειξιν ἀνήκει χωρὶς οὐδεμιᾶς βεβαίου χρείας, οἷον αἱ ἐν τῇ Αἰγύπτῳ πυραμίδες, οὐχ οὕτω θαυμάζεσθαι ἄξιά ἐστι. — Οὐεσπασιανός καὶ Τίτος τὴν πατρῴαν οἰκίαν κατ' ἀγρὸν διασώζειν ἐφιλοτιμήσαντο οὐδέν τι μεταποιήσαντες. — Ὁ Φιλοποίμην εἰώθει λιτὴν ἐσθῆτα φορεῖν καὶ τὸ πλεῖστον ἄνευ παραπομπῶν καὶ ἀκολούθων ἐπορεύετο. — Τῶν Ῥωμαίων οἱ νέοι οὐδεμίαν σχεδὸν ἡμέραν διέλειπον μὴ τοῦ πρὸς τὸν δρόμον καὶ τὴν νῆξιν καὶ τὴν ὁπλομαχίαν ἀσκούμενοι. — Αἱ τοῦ Δαρείου δυνάμεις ἦσαν ἄνευ ὑπερβολῆς τῶν τοῦ Ἀλεξάνδρου ἑκατονταπλάσιαι. — Ἀπὸ τῆς τῶν Σάρδεων ἁλώσεως ὁ Δαρεῖος τοῦ Ἀθηνῶν ὀνόματος ἀκούειν οὐκ ἠδύνατο ἄνευ ὀργῆς.

222ᵉ Exercice.

Suite de la préposition *sans* (*Grammaire*, § 659, *Remarque III*).

Οὐ ῥᾴδιόν ἐστι τὴν ἀρχὴν ἐν πόλει ἀναμαχικτὶ ἑλεῖν· ὃ μέντοι ἐποίησεν ὁ Πεισίστρατος. — Εἰ ἄνθρωποί τινες ἀπαίδευτοι αὐτῇ τῇ ἑαυτῶν ἀρετῇ εἰς τὰς πρώτας τῆς πόλεως τιμὰς προήχθησαν, οὐ διὰ τοῦτο ἡ παιδεία τοῖς τῶν δημοσίων ἅπτεσθαι ἀξιοῦσιν ἀνωφελής ἐστιν. — Τίς ἡμῶν οὐκ ἐνίοτε τῷ Γύγῃ τῆς τύχης ἐφθόνησεν ὃς πάντα μὲν ὁρᾶν, πάντα δὲ ἀκούειν ἠδύνατο αὐτὸς ὢν ἀόρατος; — Οἱ τῶν Λακεδαιμονίων νέοι μάστιξι πρὸ τῶν θείων βωμῶν ξαίνονται ἀβόητοί τε καὶ ἀστένακτοι (ou ἀβοητί τε καὶ ἀστενακτί). — Ὁ ἀδικήσας οὐδὲν βέλτιον εὔχοιτο ἂν ἢ καταγνωσθῆναι ἀνήκουστος. — Οἱ ποιηταί φασι κατὰ τὴν χρυσῆν γενεὰν τὸ μὲν τῶν οἰῶν ἔριον χρώμασι τοῖς λαμπροτάτοις στίλβειν, τὴν δὲ γῆν φέρειν ἀβίαστον (ou ἀβιάστως) καρποὺς παντοίους. — Ἔπιεν ὁ Ὀδυσσεὺς ἀγοήτευτος τὸ φάρμακον ὃ προσέφερεν αὐτῷ ἡ θεὸς Κίρκη. — Πρὸ τοῦ Δουϊλίου τῶν ἀνδρῶν καὶ οἱ ἐπιφανέστατοι τῆς δείλης οἴκαδε ἐπανήρχοντο ἀδᾳδούχητοι. — Εἰ καὶ μάλ' ἀνδρεῖος ἦν ὁ Ὀδυσσεύς, χαλεπὸν ἦν θνητὸν ὄντα εἰς Ἅδην καταβαίνειν ἄφοβον (ou ἀφόβως). — Εἰσὶ μὲν νόμοι γεγραμμένοι οὓς ἀγνοεῖν ἔξεστιν· εἰσὶ δ' ἄλλοι οὓς καὶ ἀγράφους πάντες οἱ ἄνθρωποι ἴσασιν. — Ὁ Ἀλέξανδρος ὥσπερ τῇ ὀργῇ οὕτως τῇ λύπῃ ἀκρατὴς ou) ἀκρατῶς) ἑαυτὸν ἐπεδίδω. — Ἀπέθανεν ὁ Ἐτεοκλῆς ἄκλαυστος κα

ἀνοίκτιστος. — Ἱππόδαμος ὁ Μιλήσιος πρῶτος τῶν πολιτικῶν οὐ μεταςχὼν νέον τι πολιτείας εἶδος ἐνενοήσατο. — Ὁ δικτάτωρ ταῖς δημοσίας προσόδοις ἀνεύθυνος (ou ἀνευθύνως) ἐχρῆτο. — Οἱ Ῥωμαῖοι στρατιῶται ὁδοῦ εἴκοσι σημεῖα καὶ ἔνιοτε τέσσαρα καὶ εἴκοσιν ἐν πέντε ὥραις ἀκάματοι (ou ἀκαμάτως) ἐπορεύοντο, εἰ καὶ πεντήκοντα λιτρῶν σταθμὸν ἐβάσταζον.

233e Exercice.

Suite de la préposition *sans* (*Grammaire*, § 659, *Remarque IV*).

Ὁ Ἀχιλλεὺς τὴν Τροίαν δέκα ἔτη πολιορκήσας ἀπέθανεν ἐκείνης μήπω ἁλούσης. — Τίς πιστεύσει τὸν Ἀντώνιον τὸ διάδημα τῷ Καίσαρι προσενεγκεῖν ἐκείνου τὴν δωρεὰν μὴ προειδότος καὶ ἐπαινέσαντος; — Οἱ Ἀθηναῖοι ἐγέλων τοῦ Εὐριπίδου ὑπὸ τοῦ Ἀριστοφάνους κατασκωπτομένου, μηδαμῶς αὐτοῦ τῆς δόξης ἐλαττουμένης. — Μίλωνά φασι τὸν ἀθλητὴν ἐνίοτε ἐπὶ δίσκου ἐλαίῳ κεχρισμένου ἑστηκέναι μὴ δυναμένων τῶν ῥωμαλεωτάτων ἀνδρῶν ἀποσεῖσαι αὐτόν. — Οὐ δίκαιον ἦν ἀπαιτεῖν τὸν Καίσαρα τὴν ἑαυτοῦ δύναμιν ἀφεῖναι, τοῦ Πομπηΐου τὴν ἑαυτοῦ μὴ ἀποπέμποντος. — Καῖσαρ ὡς πρὸς τῆς συγκλήτου ἐνίους τῆς Ἀσίας βασιλεῖς φίλους τε καὶ συμμάχους τοῦ Ῥωμαίου δήμου ἀπεδείκνυ, μήτε τοῦ πράγματος πρὸς τὴν σύγκλητον ἀνενεχθέντος, μήτε εἰδυίας ἐκείνης ὅτι καὶ εἰσίν. — Ὁ Καῖσαρ ἐν μέσῳ τῷ βουλευτηρίῳ ἐσφάγη μηδενὸς τῶν πολλὰ ὑπ' αὐτοῦ εὐεργετουμένων ἀμύνεσθαι αὐτῷ τολμῶντος. — Ὁ Ὀρφεὺς καὶ ὁ Λίνος σχεδὸν τοσαύτην δόξαν ἔσχον ἐν τῇ Ἑλλάδι ὅσην ὁ Ὅμηρος, μηδενὸς τῶν αὐτῶν ποιημάτων διασεσωσμένου. — Συγγραφεῖς μέν τινες τὴν τοῦ Ἀλκιβιάδου μνήμην κατῄσχυναν, ἄλλοι δὲ ἐπαίνοις ἐκόσμησαν μηδετέρων ἢ ἀδικίαν ἢ χάριν κατηγορεῖν δυναμένων ἡμῶν. — Ὁ Ἀχιλλεὺς πικρῶς ὠδύρετο πάντας τοὺς νεκροὺς ἐν τῷ σκότῳ συμμίγνυσθαι, μηδὲν τότε τῶν εὐμόρφων ἀπὸ τῶν ἀμόρφων καὶ τῶν ἀνδρείων ἀπὸ τῶν δειλῶν διαφερόντων. — Πόσον μάρμαρον ἐκ τῆς Πάρου ἐξειλκύσαμεν τῶν τῆσδε τῆς νήσου λατομιῶν μήπω κενωθεισῶν. — Ἀπὸ τῆς τοῦ Κόδρου τελευτῆς εἰς τὴν πρώτην Ὀλυμπιάδα πλέον τριακοσίων ἐτῶν παρῆλθε τῆς Ἀττικῆς ἔνδον μὴ στασιαζούσης μηδὲ ἔξωθεν πολεμίων ἐμβαλόντων.

234e Exercice.

Conjonctions : conjonction *que* (*Grammaire*, § 660).

1. Οἱ τύραννοι τὰ τέλη πληθύνουσιν ὅτι οὐδὲν ἄλλο ἐννοοῦσιν ἢ πάντα μὲν τὰ τῆς πόλεως χρήματα πρὸς ἑαυτοὺς ἕλκειν, εἰς δὲ τὰς ἐπιθυμίας χρῆσθαι αὐτοῖς. — Τοῦτο διαφέρει τύραννος βασιλέως ὅτι ὁ μὲν μόνον τὸ

ἴδιον συμφέρον ὁ δὲ τὸ κοινῇ συμφέρον σκοπεῖ. — Ἐν ταῖς πάλαι πόλεσιν ἐπειδὴ τάχιστα πολίτης τις πλούσιος καὶ δυνατὸς ἐγίγνετο, καὶ ἐνίους περὶ αὐτὸν εἶχε σπουδάζοντας, ἀπωστρακίζετο ἢ ἐφυγαδεύετο. — Ἕως μὲν ὁ κάπρος τῶν ὀρῶν τοῖς ἄκροις καὶ ὁ ἰχθὺς τῶν ποταμῶν τῷ βυθῷ ἡσθήσεται, αἱ δὲ μέλισσαι θύμῳ, καὶ οἱ τέττιγες δρόσῳ τραφήσονται, σοῦ τὸ ὄνομα, ὦ Δάφνι, ἀεὶ παρ' ἡμῖν διαμενεῖ. — Εἰ καὶ στρατηγῶν ἀπειρότατος καὶ ἀνθρώπων ἐν Ἀθήναις πονηρότατος ἦν ὁ Χάρης, καὶ δὴ καὶ ἐπὶ τῇ ἑαυτοῦ κακίᾳ καυχώμενος, οὐδεὶς μεῖζον ἴσχυε παρὰ τῷ δήμῳ. — Δέδοικα, εἶπεν ὁ Κάτων, μὴ τούτῳ μὲν τῷ πλούτῳ δουλεύωμεν οὗ κρατῆσαι νομίζομεν, οἱ δὲ ὅμοροι δῆμοι ἡμᾶς ἀντινικῶσι τῇ τῶν ἐν αὐτοῖς κακιῶν μεταδόσει. — Ἡ Ἀθηνᾶ οὕτω τῷ τοῦ Ὀϊλέως Αἴαντι ἐχολώσατο ὥστε ἐκεραύνωσεν αὐτὸν καὶ σκοπέλῳ ὀξεῖ προσέπηξεν.

2. Εἰ ὁ Βροῦτος τολμηρότερον ἑαυτὸν μετὰ τὸν τοῦ Καίσαρος φόνον παρέσχε καὶ εὐθὺς πάντα τὰ ὑπὸ τοῦ μοναρχήσαντος πραχθέντα ἠκύρωσεν, οὔτε ὁ Ἀντώνιος οὔτε ὁ Λέπιδος ἐτόλμων ἂν ἀνθίστασθαι. — Ἡ Τύρος εὐδαιμονεστέρα ἦν καὶ δυνατωτέρα ἢ ὡς οἱ Φοίνικες δουλεύοντες ὑπομένοιεν ἂν καὶ ἐπὶ πολὺ ἀποδίδοιεν τὸν δασμὸν ὃν ὁ Σέσωστρις αὐτοῖς ἐπέταξεν. — Ὁ Πυγμαλίων ἀνθρώποις οὕτω κλεψίνοις καὶ ἀπίστοις ἐχρήσατο ὥστε οὐδεμίαν μὲν ἀρετὴν ἀληθῆ ἐνταῦθα εἶναι ὑπελάμβανε, πάντας δὲ τοὺς ἀνθρώπους σχεδὸν ὁμοίους εἶναι ἐνόμιζε. — Τῶν Κυπρίων οὕτως ὑπερευφραινομένων καὶ τοῦ πελάγους ὡς σφαλερόν ἐστιν ἐπιλανθανομένων θύελλά τις ἐξ ἀφνιδίου οὐρανόν τε καὶ πόντον ἐτάραξεν. — Εἰ μὴ Ἀθηνᾶ τῷ Ὀδυσσεῖ βοηθὸς παρέστη καὶ μὴ ἐπέῤῥωσεν αὐτὸν καὶ παρεθάρσυνε καὶ τρόπον τινὰ κατὰ πόδα ἡγήσατο αὐτοῦ, ποσάκις ἀπέκαμεν ἂν ἐν τοῖς κινδύνοις. — Ὦ παῖ, μεγάλα σοι πεπρωμένα ἐστὶν ἐπεὶ ὁρῶ σε εἰς Ἅδου καταβαίνοντα ἐπὶ τῷ τὸν πατέρα ζητῆσαι, καὶ οἱ θεοὶ ἐπιχειροῦντι τοῦτο παρεστήκασιν. — Ἐπὰν εἰς τὴν Ἰθάκην ἐπανέλθῃς καὶ τὴν πατρῴαν βασιλείαν ἀνακτήσῃ, μέμνησο τοῦ Ἰδομενέως.

235ᵉ Exercice.

Suite de la conjonction *que* (*Grammaire*, § 660).

Ἦν πρῶτον μὲν τῷ Δημοσθένει τραυλότης τις τῆς γλώσσης καὶ τοῦ πνεύματος κολοβότης· ταῦτα δὲ τὰ ἐλασσώματα τῇ ἀσκήσει οὕτως ἐπανωρθώσατο ὥστε ὕστερον οὐδὲν μὲν γράμμα ἐμποδὼν ἦν αὐτῷ, τὰς δὲ μακροτάτας περιόδους μὴ ἀναλαμβάνων πνεῦμα ἐφθέγγετο. — Ἐν Σπάρτῃ ἐπεὶ παῖς τις ἐγένετο, ἑκάστης φυλῆς οἱ πρέσβεις ἐπεσκέπτοντο αὐτόν· εἰ δὲ ἢ στρεβλὸς αὐτοῖς ἢ ἄῤῥωστος ἢ ἀσθενὴς ἐδόκει καὶ οὔτε ἰσχυρὸς οὔτε ὑγιεινὸς ἔσεσθαι ἐπίδοξος ἦν, ἀπολέσθαι αὐτὸν ἠξίουν καὶ ἐκτίθεσθαι ἐκέλευον. —

Ὁ Πελοπίδας, εἰ καὶ μεγάλην οὐσίαν ἀπὸ γενεᾶς εἶχε καὶ μάλ' ηὔξησεν αὐτὴν μόνος πλουσιωτάτου καὶ εὐδαιμονεστάτου οἴκου κληρονόμος κατασταθεὶς, τὸν βίον λιτότατον ἔζη. — Κἂν πάντες οἱ ἄλλοι Ἕλληνες ἀναχωρήσωσιν, εἶπεν ὁ Διομήδης, ἐγώ τε καὶ ὁ Σθένελος μαχεσόμεθα μέχρις ἂν τὰ ὑπὸ τῶν θεῶν ἐπιτεταγμένα τελέσωμεν καὶ τὸ ὀλέθριον τῆς Ἰλίου ἦμαρ ἔλθῃ. — Ὁσάκις πόλεμός τις μεταξὺ δυοῖν ἐθνοῖν ἀναῤῥήγνυτο, ἀεὶ εἰς τοῦτον παρενέπιπτεν ἡ Ῥώμη καὶ τῷ ἀσθενεστέρῳ ἐβοήθει. — Ὁ μὲν Πλάτων οὐκ ἠξίωσε νόμους τοῖς Μεγαλοπολίταις οὔτε τοῖς Κυρηναίοις θεῖναι ὡς λίαν διεφθαρμένοις· εἰ δὲ οἱ ἄνθρωποι ἐπεφύκεισαν χρηστοὶ, καὶ χρημάτων καὶ πλαστῶν ἀγαθῶν οὐκ ἐπιθυμητικῶς εἶχον, καὶ ἀπλεονέκτητοι καὶ ἀβάσκανοι καὶ ἀφιλότιμοι ἦσαν, τί τῆς τοῦ Πλάτωνος σοφίας δέοιντ' ἄν;

236e Exercice.

Suite de la conjonction *que* (*Grammaire*, § 661).

1. Ὁ Δημοσθένης πρὸς τὸν αἰγιαλὸν καταβαίνων τότε ὅτε (ou ὁπότε) ἡ θάλασσα σφοδρότατα ἐκλυδωνίζετο, λόγους προέφερεν ὥστε πρὸς τοὺς τῶν ἐκκλησιῶν θορύβους εἰθίζεσθαι. — Ἐννέα ἡμέραι καὶ νύκτες ἦσαν ὅτε (ou ὁπότε) ὁ Ὀδυσσεὺς τῶν ναυαγίων τινὶ περιφυόμενος ἔνθα καὶ ἔνθα ἐπὶ τῶν κυμάτων ἐφέρετο. — Κατὰ τοὺς χρόνους ὅτε (ou ὁπότε) τὰ ζῶα ἔφραζεν, ἡ δρῦς ποτε τῷ καλάμῳ συνδιελέξατο. — Ὅτε (ou ὁπότε) ἀπέθανον οἱ Γράκχοι, ὁ Μάριος τότε φαίνεσθαι ἤρχετο ὁ μέλλων τὴν δημοτικὴν στάσιν ἐπανορθώσειν. — Νῦν ὅτε (ou ὁπότε) οὐκέτι ζῇ ὁ Σωκράτης, οἱ Ἀθηναῖοι θεὸν εἶναι τοῦτον νομίζουσιν οὗ θάνατον κατέγνωσαν ὡς ἀσεβοῦς. — Ὅτε (ou ὅποτε) δεύτερον Ἀλέξανδρος εἰς τὴν Βαβυλῶνα εἰσῆλθε, τῷ τοῦ Ἡφαιστίωνος θανάτῳ ἐλυπεῖτο καὶ ἀπαισίοις σημείοις ἐνωχλεῖτο. — Ὁ Πριάμου καὶ ὁ Ἀγαμέμνονος οἶκος πρὸς ἀλλήλους ἀπεχθῶς ἔχειν τότε δὴ ἤρξαντο ὅτε (ou ὁπότε) ὁ Τάνταλος τῆς Λυδίας ἐβασίλευεν, ἐπεὶ οὗτος ἄνακτά τινα τῶν Τρώων Γανυμήδην τοὔνομα εἰς δέσμα κατέθετο.

2. Ὅτε (ou ὁπότε) πρῶτον οἱ βάρβαροι πρὸς τὰ τῆς Ῥώμης τείχη ἀφίκοντο, τῆς ἀϊδίου πόλεως τὸ μέγεθος καὶ τὴν πολυτέλειαν ἐξεπλάγησαν. — Ὅτε (ou ὁπότε) οἱ Ἕλληνες καλοὺς λόγους ποιεῖν ἥκιστα δεινοὶ ἦσαν, τὰ μέγιστα τότε ἐποίησαν. — Οὐκ ἔστιν ἔτη εἴκοσιν ὅτε (ou ὁπότε) ἐν τῇ ἑτέρᾳ ἠπείρῳ μέταλλα χρυσοῦ εὑρέθη πάντων τῶν πρότερον εὑρεθέντων ἀφθονώτερα. — Νῦν ὅτε (ou ὁπότε) οὕτω ταχέως πορευόμεθα, οὐ δυνάμεθα ἐννοεῖν τοὺς ἡμετέρους προγόνους τοσοῦτον χρόνον ἀρκεσθῆναι οὕτω βραδέως ὁδοιποροῦντας. — Τότε ὅτε (ou ὁπότε) ὁ Θησεὺς τὴν Ἑλλάδα διήρχετο τοῦ Ἡρακλέους τὰς πράξεις ζηλώσας, οἱ Παλλαντίδαι σὺν τοῖς τῶν πολιτῶν πρώτοις τῆς ἀρχῆς ἀντεποιοῦντο. — Τότε δὴ ὅτε (ou

ὁπότε) ὁ Εὐριπίδης τὴν μὲν φιλοσοφίαν παρὰ τοῦ Ἀναξαγόρου, τὴν δὲ λογιότητα παρὰ τοῦ Προδίκου ἐμάνθανεν, ἤδη διενοεῖτο πρὸς τὸν Σοφοκλέα περὶ τῶν ἐν τραγῳδίᾳ πρωτείων ἁμιλλᾶσθαι.

237e Exercice.

Suite de la conjonction *que* (*Grammaire*, § 661, *Remarques*).

Ἡ τοῦ Ξέρξου ἐπιστρατεία ἐστὶν ὡς ὀρθῶς εἰπεῖν αὐτὸς ὁ χρόνος ὅτε ἡ Ἑλλὰς μάλιστα ἀκμάζειν ἄρχεται. — Τοιαῦτα ἦν τὰ τούτων τῶν ἡρωϊκῶν χρόνων, τῶν ὀλβίων, ἤθη, ὅτε δὴ ἡ χλιδή τε καὶ τρυφὴ ἄγνωστοι ἦσαν, καὶ ἡ μὲν δόξα ἐν τῇ ἐργασίᾳ καὶ τῇ ἀρετῇ, ἡ δὲ αἰσχύνη ἐν τῇ ἀργίᾳ καὶ ταῖς κακίαις ἔκειτο. — Πολλὰ ἦν ἔτη ἐξ οὗ (ou ἐξ ὅτου ou ἐξ οὗτινος) οἱ Τρῶες τῇ πεπρωμένῃ ἐλαυνόμενοι κατὰ πάντα τὰ πελάγη ἐπλανῶντο. — Τῶν Λατίνων οἱ ποιηταὶ τὴν χρυσῆν γενεὰν ἔφασαν ἐκεῖνον τὸν χρόνον εἶναι ὅτε ὁ Κρόνος τῆς Ἰταλίας ἐβασίλευεν. — Πλέον ἢ δισχίλια ἔτη ἐστὶν ἐξ οὗ (ou ἐξ ὅτου ou ἐξ οὗτινος) ὁ Σοφοκλῆς καὶ ὁ Εὐριπίδης οὐκέτι ζῶσιν· πόσα μέντοι ἐν ταῖς τραγῳδίαις αὐτῶν χθὲς καὶ πρῴην γεγραμμένα δοκεῖ. — Ἆρα δεῖ σὺν τοῖς ποιηταῖς πιστεύειν χρόνον ποτὲ γενέσθαι ὅτε πάντα ἡ γῆ αὐτομάτη ἔφερεν, οἵ τε ἄνθρωποι πανευδαίμονές τε καὶ παμμάκαρες ἔζων; — Ἓξ ἔτη μόλις ἦν ἐξ οὗ (ou ἐξ ὅτου ou ἐξ οὗτινος) οἱ Οὐήϊοι ἑαλώκεισαν, ὅτε ἡ Ῥώμη ὑπὸ τῶν Κελτῶν ᾑρέθη. — Πολλὰ ἦν ἔτη ἐξ οὗ (ou ἐξ ὅτου ou ἐξ οὗτινος) ὁ Ἀγαμέμνων ἐτεθνήκει, καὶ ὁ Αἴγισθος καὶ ἡ Κλυταιμνήστρα ἀδεῶς τῶν δι' ἀδικήματος κεκτημένων ἀπέλαυον. — Πολλάκις ἐν ἐκείνοις τοῖς ἔτεσιν ὅτε ἐκ τοῦ ἔαρος τὰ κάλλιστα ἐξῆν ἐλπίζειν, οἱ γεωργοὶ τῶν εὐχῶν σφάλλονται. — Ὅσον μισθὸν τῶν πόνων ὁ Ἡρόδοτος κατ' ἐκείνην τὴν ἡμέραν ἔλαβεν ὅτε ἡ Ἑλλὰς ἐν τοῖς Ὀλυμπίοις ἠθροισμένη ἐνόμιζεν ἀκούουσα αὐτοῦ αὐτῶν τῶν Μουσῶν ἀκούειν διὰ τοῦ ἐκείνου στόματος φωνουσῶν.

238e Exercice.

Ne.... que (*Grammaire*, § 662).

Οἱ μὲν Καρχηδόνιοι οὐδὲν μέγα εἰ μὴ τῇ τῶν ἰδιωτῶν ἀρετῇ ἔπραξαν, ὁ δὲ τῶν Ῥωμαίων δῆμος πολλάκις τῇ καρτερίᾳ ἐπανώρθωσεν ἃ τῶν στρατηγῶν τῇ ἀβουλίᾳ ἢ δειλίᾳ διεφθάρη. — Ἐν τῇ Σπάρτῃ αὐτοὶ οἱ παῖδες τοῖς συσσιτίοις παρεγίγνοντο ἐν οἷς οὐδὲν ἑώρων ἢ ἤκουον εἰ μὴ παιδεύειν ἐπιτήδεια. — Τοῖς πλείστοις τῶν ἀνθρώπων οὐδὲν καλὸν εἶναι δοκεῖ εἰ μὴ δυνατή τις καὶ μεγάλη ἀρχή. — Οὐδὲν ἄλλο εἰ μὴ ῥυθμικὸς καὶ ἀπηρτισμένος λόγος οἷός τε ἐστὶ τὰς ἀκοὰς ἐνηδύνειν. — Οὐκ ἔξεστι τῷ δικολόγῳ σκώμμασι χρῆσθαι εἰ μὴ σπανίως, καὶ ἐπὶ τῷ δίκην αἱρεῖν,

οὔποτε δὲ μόνον ἐπὶ τῷ γέλωτα ποιεῖν. — Πᾶς λόγος ὅστις οὐ δύναται συνίεσθαι εἰ μὴ δι' ἑρμηνέως κακός ἐστι λόγος. — Νῦν οἱ Ἀθηναῖοι παρὰ τῶν ῥητόρων οὐδὲν εἰ μὴ τὴν εὐέπειαν καὶ τὰς τοῦ λόγου χάριτας ἀπαιτοῦσιν. — Οὐδὲν ὡς ἀληθῶς μέγα ἐν τοῖς ἀξιώμασίν ἐστιν εἰ μὴ ὁ περιστὰς κίνδυνος. — Ὁ Διονύσιος αἰσθόμενος ἑαυτὸν τῶν ἐχθρῶν οὐκ ἂν περιγίγνεσθαι εἰ μὴ δόλῳ, ἐπειράθη τὸν Δίωνα τοῖς πολλοῖς ὕποπτον παρασχεῖν. — Τὰ πλεῖστα τῶν πρὸς τὰς ἀνατολὰς ἐθνῶν οὐ μάχεται εἰ μὴ ἱππαστὶ, καὶ μάλιστα ὅταν φεύγῃ ἐστὶ φοβερά.

239ᵉ Exercice.

Suite de *ne.... que* (*Grammaire*, § 662, *Remarque I*).

Καὶ φυτὰ, καὶ δένδρα, καὶ θέρη ταῦτα οὐχ ὑπάρχει ὅτι μὴ εἰς ἀνθρώπων χρῆσιν. — Οἱ τῷ Φιλώτᾳ ἐχθροὶ οὐ διέλειπον φάσκοντες τῷ Ἀλεξάνδρῳ τὸν Δίμνον αὐτῷ ἐπιβουλεύσαντα οὐδὲν ὅτι μὴ δυνατωτέρου τινὸς ὑπηρέτην γενέσθαι. — Ὁ Παῦλος Αἰμίλιος τὰ ἄπειρα τοῦ Περσέως χρήματα συλλαβὼν οὐδὲν Τυβέρωνι τῷ γαμβρῷ ἔδωκεν ὅτι μὴ φιάλην ἀργυρᾶν πεντάλιτρον. — Οἱ ὕπατοι, ἕως ἐν Ῥώμῃ διέτριβον, πάντων ἦσαν κύριοι τῶν δημοσίων πραγμάτων· τῶν γὰρ ἀρχόντων οὐκ ἦσαν ὅτι μὴ οἱ δήμαρχοι οἳ οὐχ ὑπετάττοντο αὐτοῖς. — Μάγειρος παρὰ τοῖς πάλαι οὐδὲν ὢν ὅτι μὴ δοῦλος φαῦλος, ηὐδοκίμησε τότε καὶ πολλοῦ ἠξιώθη. — Ὁ Μάρκελλος ἐκ τῶν Συρακουσῶν οὐδὲν ἀνεῖλεν ὅτι μὴ ἀγάλματα ὀλίγα ἐπὶ τῷ ναόν τινα κοσμῆσαι.

240ᵉ Exercice.

Suite de *ne.... que* (*Grammaire*, § 662, *Remarque II*).

Ὁ Πελοπίδας πρέσβυς πρὸς τὸν τῶν Περσῶν βασιλέα ἀπεσταλμένος οὐδὲν ἄλλο ἐσπούδασεν ἢ τὸ πάσῃ τῇ Ἑλλάδι συμφέρον. — Ὁ Παυσανίας ἐπὶ πολὺ τοὺς στρατιώτας τοῖς τῶν Περσῶν βέλεσι προκεῖσθαι εἴασε μὴ τολμῶν ἐπιθέσθαι διότι τὰ ἱερεῖα οὐδὲν ἄλλο ἢ ἀναίσια σημεῖα παρεῖχεν. — Ὁ Σκηπίων τοῦ καλλίστου θριάμβου ἔτυχεν ὃς πώποτε ὤφθη· ἐν τούτῳ γὰρ οὐδὲν ἄλλο ἀπῆν ἢ τοῦ βασιλέως Σύφακος ἡ παρουσία τοῦ ὀλίγαις ἡμέραις πρότερον ἐν Τίβυρι θανόντος. — Οἱ Ῥωμαῖοι οὐδὲν ἄλλο διενοήσαντο ἢ τὸν πόλεμον εἰς Μακεδονίαν εἰσφέρειν ὥστε τὸν Φίλιππον κωλύειν μὴ εἰς Ἰταλίαν περαιωθέντα τῷ Ἀννίβᾳ συμμῖξαι. — Ὁ Παῦλος Αἰμίλιος ἐν τῷ μεταξὺ τῶν δυοῖν ὑπατειῶν χρόνῳ ἀμφὶ οὐδὲν ἄλλο ἔσχεν ἢ τὴν τῶν παίδων παιδείαν.

241ᵉ Exercice.

Suite de *ne.... que* (*Grammaire*, § 662, *Remarque III*).

Ὁ Πελοπίδας τῶν δώρων ὧν ἐδίδου ὁ βασιλεὺς ταῦτα μόνον ἐδέξατο, δι' ὧν αὐτὸς μὲν οὐκ ἐπλουτίζετο, ἡ δὲ τοῦ βασιλέως εὔνοια μόνον ἐδηλοῦτο. — Ὁ μὲν δεύτερος Μηδικὸς πόλεμος δύο μόνον ἔτη ἔμεινεν· οὐδέποτε δὲ ἐν οὕτω βραχεῖ χρόνῳ τηλικαῦτα πράγματα ἐγένετο. — Ὁ Κικέρων ἐν ὀλίγοις ἔτεσιν τὴν ῥωμαϊκὴν διάλεκτον εἰς τοῦτο τελειότητος ἤλασεν ὃ μόνον ἐκ μακρᾶς ἐμπειρίας γίγνεσθαι φιλεῖ. — Τοῦ Δημοσθένους λέγοντος, μόνον τὰ ὑπ' αὐτοῦ λεγόμενα ἐννοούμεθα, αὐτοῦ δὲ ἐπιλανθανόμενοι μόνον Φιλίππου τοῦ πάντα ἐπιόντος φροντίζομεν. — Τί σοι περὶ τούτων τῶν ῥητόρων δοκεῖ τῶν σπουδαζόντων μόνον ὅπως τὰς τῶν ἀκροωμένων ἀκοὰς ἡδεῖ τινι μέλει καὶ κενῷ ῥημάτων ψόφῳ ἐνηδυνοῦσιν; — Οὔποτε μὲν ἐγὼ τῆς τάξεως ἧσπερ ἔχω ἐπεθύμησα, ἔλεγεν ὁ Πρόβος τινὶ τῶν περὶ αὐτὸν, ἄκων δὲ μόνον εἰς ταύτην κατέστην καὶ διαμένω ἐν αὐτῇ μόνον ἵνα μὴ τὴν πόλιν εἰς ἄλλους κινδύνους ἐμβάλω.

242ᵉ Exercice.

Suite de *ne.... que* (*Grammaire*, § 662, *Remarque IV*).

Τῶν βασιλέων οἱ πλεῖστοι τὰ ἑαυτῶν ἐπιχειρήματα κατὰ τὴν ὠφέλειαν μόνην, ἀλλ' οὐ κατὰ τὸ δίκαιον ἀπευθύνουσιν. — Ὁ ῥήτωρ ταῦτα μόνα (ou αὐτὰ ταῦτα) λέξει ἅπερ οἱ ἀκροώμενοι δύνανται συνιέναι. — Τέχνη ἐστὶν ἐπικίνδυνος αὕτη ἡ μαλακὴ καὶ ἁβρὰ μουσικὴ δι' ἧς αἱ ψυχαὶ διαθηλύνονται καὶ διαφθείρονται. — Ὁ Ξέρξης μόνῃ τῇ προδοσίᾳ τὰς Θερμοπύλας διαβαίνειν ἠδύνατο εἰ καὶ πάνυ ὀλίγοι Σπαρτιᾶται αὐτῷ ἀντέστησαν. — Οἱ μὲν Ῥωμαῖοι πολλῶν ἐθνῶν οὔτε ἀνδρείᾳ οὔτε ῥώμῃ οὔτε πλούτῳ διέφερον· μόνῃ δὲ τῇ ἐμμονῇ (ou μιᾷ δὲ τῇ ἐμμονῇ ou αὐτῇ τῇ ἐμμονῇ) ὑπερέβαλλον αὐτά. — Ὁ Ἰδομενεὺς τῶν πρώτων τῆς πολέως διέφερε λεπτῷ τινι μόνῳ (ou αὐτῷ τῷ λεπτῷ) ἀμφὶ τὸ τῆς στολῆς κράσπεδον χρυσῷ ποικίλματι. — Τοῖς Τυρίοις ἤδη μία (ou μόνη) σωτηρίας ἐλπὶς λοιπὴ ἦν, εἰ ἡ θάλασσα τὰ τῶν Μακεδόνων ἔργα ἀνατρέψει. — Τῷ Φιλοκτήτῃ μόνος (ou εἷς) ἦν βίου πόρος τοὺς ὄρνιθας τῷ ἄντρῳ προσιπταμένους διατοξεῦσαι.

243ᵉ Exercice.

Suite de *ne.... que* (*Grammaire*, § 662, *Remarque V*).

Πασῶν ὧν ἡ Ῥώμη τότε ἐν Ἰταλίᾳ εἶχεν ἀποικιῶν οὐδεμία πλὴν δώδεκα μετὰ τὴν ἐν Κάνναις μάχην ἀπηξίωσε τῇ πόλει στρατιώτας χορηγῆσαι. — Οὐδεὶς νῦν πλὴν ὁ Φωκίων (ou πλὴν τοῦ Φωκίωνος) τἀληθὲς

τοῖς Ἀθηναίοις λέγειν τολμᾷ· διὸ καὶ οὐκ ἀκροῶνται αὐτοῦ. — Οὐδεὶς πλὴν ὁ Ὀρφεὺς (ou πλὴν τοῦ Ὀρφέως) οὕτως ἄρκτους καὶ τίγρεις ἡμεροῦν καὶ δὴ ὕλας καὶ δένδρα κηλεῖν οἷός τε ἦν. — Οὐδεὶς πλὴν ὁ Ἡρακλῆς (ou πλὴν τοῦ Ἡρακλέους) οἷός τε ἐστὶ τὴν τοῦ Διομήδους τοῦ τῶν Θρᾳκῶν βασιλέως ὠμότητα ἐπέχειν καὶ κωλύειν ἐκεῖνον μὴ τοὺς ἵππους ἀνθρωπείοις κρέασι τρέφειν. — Ἐμέμφοντο οἱ Μακεδόνες ὅτι οὐδενὶ πλὴν οἷς ἐνίκησαν βαρβάροις, Πέρσαις τε καὶ Μήδοις (ou πλὴν ὧν ἐνίκησαν βαρβάρων, Περσῶν τε καὶ Μήδων) εὐπρόσιτος ἦν Ἀλέξανδρος. — Πάντες σχεδὸν οἱ τῆς Ἑλλάδος δῆμοι πλὴν οἱ Ἀθηναῖοι (ou πλὴν τῶν Ἀθηναίων) τοῖς δούλοις πάνυ ἀπανθρώπως χρῶνται.

244ᵉ Exercice.

Suite de *ne.... que* (*Grammaire*, § 662, *Remarque VI*).

Ὁ Ἀλέξανδρος πρὸς τῷ τοῦ βίου τέλει οὐδὲν ἐπεχείρει πρὶν ἂν τοῖς μάντεσι, μάλιστα δὲ τῷ Ἀριστάνδρῳ χρήσαιτο ᾧ μάλιστα ἐπίστευεν. — Οἱ Ῥωμαῖοι οὔποτε πολεμοῦντες ἐπαύοντο πρὶν ἂν τοὺς πολεμίους νικήσαιεν. — Ὁ Περικλῆς οὔποτε μάχην συνῆπτε πρὶν ἂν βέβαιος γένοιτο νικήσειν. — Ἔδοξε τῷ Νουμᾷ τοὺς Ῥωμαίους μήποτε ἅπτεσθαι πολέμου πρὶν ἂν παρὰ τῶν πολεμίων ποινὴν ἀπαιτήσωσι διὰ κήρυκός τινος σπονδοφόρου τὴν ἐπίκλησιν. — Ὁ Φίλιππος οὐδέποτε πόλιν ἐπολιόρκει πρὶν ἂν ἐνίους τῶν πρώτων πολιτῶν χρήμασι πεῖσαι. — Οἱ Ἀθηναῖοι οὐκ ἀρεσθήσονται πρὶν ἂν ὥσπερ ἤδη πάσας τὰς νήσους οὕτω πᾶσαν τὴν Ἑλλάδα ὑποτελῆ ποιήσωσιν.

245ᵉ Exercice.

Voici que, *voilà que* (*Grammaire*, § 663).

Ἰδοὺ ἐξορμῶσιν οἱ ἄνεμοι ᾗπερ ἔξοδος δέδοται αὐτοῖς. — Ἰδὲ μελισσῶν σμῆνός τι ἐκ τῶν ἀνεῳγμένων τῶν ταύρων πλευρῶν ἀνίπταται. — Ἠνὶ προσέρχεται ὁ ἔσχατος αἰὼν ὁ ὑπὸ τῆς Κυμαίας Σιβύλλης προφητευθείς· ἠνὶ πάλιν φαίνεται ἡ Ἀστραία ἐκ πολλοῦ ἀπὸ τῆς γῆς ἀνακεχωρηκυῖα. — Ὁ Ἰάσων τὴν ἐπῳδὴν λέγει ἣν ἐδίδαξεν αὐτὸν ἡ Μήδεια, καὶ ἰδοὺ τὸ πρῶτον ὕπνος τοὺς τοῦ δράκοντος ὀφθαλμοὺς κατέχει. — Ὁ Ὀρφεὺς τὴν λύραν ἀναλαμβάνει Ἡρακλέα τὸν τοῦ ὠμοῦ Διομήδους νικητὴν ὄντα ὑμνήσων, καὶ ἰδὲ ὁ μὲν Ἕβρος παύεται ῥέων, ἡ δὲ δρῦς καὶ ἡ αἴγειρος ἐκ τῶν τοῦ Αἵμου ἄκρων καταβαίνουσιν. — Ἠνὶ ἔρχεται Παλαίμων· ἀμφοτέρων ἡμῶν ἔστω δικαστής. — Τοῦ Ὀδυσσέως ταῦτα κατὰ νοῦν περιστρέφοντος, ἰδοὺ δεινὸν κῦμα αὐτὸν ὀξεῖ σκοπέλῳ προσβάλλει. — Ἰδὲ ποιμένες Τρῶες πρὸς τὸν βασιλέα Πρίαμον νέον τινὰ τῶν Ἑλλήνων ἄγουσιν

ὃς τὰς χεῖρας ὀπίσω δεδεμένος ἐβάδιζε. — Ἰδοὺ αἱ Τρῳάδες τοῖς τῆς Ἥρας τεχνήμασιν παροξυνθεῖσαι, δᾷδας ἡμμένας ἁρπάζουσαι ἐπὶ τὰς ναῦς ἀφιεῖσιν.

246ᵉ Exercice.

Conjonction *comme* signifiant *de même que* (*Grammaire*, § 664).

1. Ὡς (ou ὥσπερ) οἱ ποιηταὶ πλάσσουσι τὸν Ἡρακλέα μόνον τὴν λεοντῆν καὶ τὸ ῥόπαλον ἔχοντα τὴν οἰκουμένην διελθεῖν ληστῶν καὶ κλεπτῶν ἐκκαθαίροντα αὐτήν, οὕτως ἡ Σπάρτη μόνον μετά τινος παπύρου ταινίας σκυτάλης ὀνομαζομένης, ἦρχε πάσης τῆς Ἑλλάδος, τὰς μὲν τυραννίδας καὶ τὰς ἀδίκους ἀρχὰς ἐν ταῖς πόλεσιν ἐπέχων, τοὺς δὲ πολέμους, ὡς αὐτῇ ἐδόκει, παύουσα καὶ τὰς στάσεις καταπραΰνουσα. — Ὡς (ou ὥσπερ) ποταμός τις βραδέως μὲν καὶ ἠρέμα τὰ ἀνθιστάμενα χώματα ὑπερείπει, τέλος δὲ ἐν ἀκαρεῖ χρόνῳ ἀναστρέφει καὶ πᾶν τὸ πεδίον ἐπικλύζει ὅπερ δι' αὐτῶν ἐσώζετο, οὕτως ἡ αὐτοκρατορία λαθοῦσα μὲν ἐπὶ τοῦ Αὐγούστου προέκοψε, βιαίως δὲ ἐπὶ τοῦ Τιβερίου τὰ καθεστῶτα ἀνέστρεψεν. — Ὡς (ou ὥσπερ) τρία κεφάλαιά ἐστι τῷ ῥήτορι προσήκοντα, τὸ παιδεύειν, καὶ τὸ ἀρέσκειν, καὶ τὸ κινεῖν, οὕτω καὶ τρία ἐστὶ τοῦ λόγου εἴδη. — Ὡς (ou ὥσπερ) ὁδοιπόρος ὄφιν ὑπὸ πόας κατιδὼν ἀναποδίζει περιτρέμων, οὕτως ὁ Πάρις τὸν Μενέλαον κατιδὼν εἰς τὴν τῶν Τρώων τάξιν ἀναχωρεῖ. — Ὡς (ou ὥσπερ) ἡ περὶ τὰς τραπέζας καὶ τὰς ἐσθῆτας τρυφή, λέγει ὁ Σενέκας, τὴν τῶν τρόπων διαφθορὰν σημαίνει, οὕτως ἡ τῆς λέξεως ἀκοσμία δηλοῖ ἡμᾶς ὅτι τὸν νοῦν διεστραμμένοι ἐσμὲν καὶ διεφθαρμένοι. — Ὡς (ou ὥσπερ) αἱ μέλισσαι τὸ μέλι ἐκ τῶν ἀνθέων ἕλκουσιν ἃ μόνον τὴν ὀσμὴν καὶ τοὺς ὀφθαλμοὺς εὐφραίνειν ἱκανὰ δοκεῖ, οὕτως ἡμεῖς εὑρήσομεν ὁπόθεν θρέψομεν τὴν ψυχὴν ἐν οἷς οἱ ἄλλοι μόνον ἡδονὴν καὶ τέρψιν ζητοῦσιν.

2. Ὡς (ou ὥσπερ) ὁ Τραϊανὸς ὀλίγα μνήματα νέα ἵδρυσεν, οὕτω πλείστην ἐπιμέλειαν ἐποιήσατο ὅπως τὰ ὑπὸ τῶν πρὸ αὐτοῦ οἰκοδομηθέντα σώσῃ τε καὶ κατασκευάσῃ. — Ὡς (ou ὥσπερ) καλόν ἐστι τῆς εὐγενείας ἐπιλανθανομένους μὴ σεμνύνεσθαι αὐτῇ, οὕτω καὶ καλὸν τοὺς τῇ ἑαυτῶν ἀρετῇ προαχθέντας μὴ τῆς τοῦ γένους ταπεινότητος ἐπιλανθάνεσθαι μηδὲ αἰσχύνεσθαι ταύτῃ. — Ὡς (ou ὥσπερ) ἡ Μήδεια τοῦ πατρὸς διώκοντος, φεύγουσα ἐπὶ τῶν ὁδῶν τὰ τοῦ ἀδελφοῦ μέλη διεσκέδασεν, τὸ σῶμα αὐτοῦ διαμελίσασα ἵνα ὁ κακοδαίμων Αἰήτης τὰ σκεδασθέντα λείψανα συλλέγων βραδύτερον πορευθῇ, οὕτως ὁ Μιθριδάτης ἐν τῇ αὐτῇ χώρᾳ τοὺς Ῥωμαίους φεύγων τοὺς νικήσαντας διέδρα μέρος τι τῶν χρημάτων ἐπὶ τῆς ὁδοῦ διασπείρων. — Ὡς (ou ὥσπερ) εἰσὶν ὧν ὁ στόμαχος εὔπεπτα μόνον καὶ ἁπαλὰ κρέα οἷός τε ἐστὶ πέπτειν, οὕτως εἰσὶν ὧν ὁ νοῦς περὶ

τὰ ἀληθῆ, μόνον εἰ καὶ ῥᾴδιά ἐστι καὶ τοῖς τῆς λέξεως σχηματισμοῖς κεκοσμημένα, οἷός τε ἐστὶ σπουδάζειν. — Ὡς (ou ὥσπερ) οὐδὲν παρ' ἡμῖν συνηθέστερον τοῦ ἄρτῳ καὶ οἴνῳ χρῆσθαι, οὕτως οὐδὲν σπανιώτερόν ἐστιν ἢ παῖδας εὑρεῖν ἐπισταμένους πῶς ἀμφότερα παρασκευάζεται. — Ὡς (ou ὥσπερ) τὰ φυτὰ ὀλίγῳ μὲν ὕδατι τρέφεται, περισσῷ δὲ φθείρεται, οὕτω μετρίοις μὲν πόνοις ὁ νοῦς ἐπιῤῥώννυται, περισσοῖς δὲ καταπιέζεται. — Ὡς (ou ὥσπερ) οἱ γεωργοὶ χάρακας τοῖς φυτοῖς παρατιθεῖσιν, οὕτως οἱ χρηστοὶ διδάσκαλοι τοὺς νέους βουλαῖς καὶ γνώμαις ὀρθαῖς κατασκευάζουσιν αἷς ὁ νοῦς αὐτῶν ἐρείδεται καὶ εὐθύνεται. — Ὡς (ou ὥσπερ) θυμοειδὴς ἵππος, ἐπὶ πολὺ δέσμιος κατασχεθεὶς, τὰ δεσμὰ διαῤῥηγνὺς εἰς τὸ πεδίον γαυριῶν ἐκπηδᾷ, οὕτως ὁ Πάρις περιλαμπῆ ὅπλα ἐνδὺς ἐπὶ τὸν τῶν Τρώων στρατὸν ἀνατρέχει.

247ᵉ Exercice.

Comme signifiant *puisque*, *attendu que* (*Grammaire*, § 665).

Ὡς (ou ἐπεὶ ou ἐπειδὴ) οὐδέποτ' οὐδενὶ τυράννῳ ὑπηρέται πρὸς τὴν τυραννίδα ἐπέλιπον, ὁ Τιβέριος ἀεὶ δικαστὰς εὗρε τοσούτων ἀνδρῶν καταγιγνώσκειν ἑτοίμους ὅσους δι' ὑποψίας ἔσχεν. — Ὁ Ὁρτήσιος, ὡς (ou ἐπεὶ ou ἐπειδὴ) μετὰ τὴν ὑπατείαν οὐδὲν ἔτι ἐφίετο, ἀνίεσθαι ἤρξατο καὶ πολὺ ἐκείνης τῆς σπουδῆς ὑφιέναι ἧς ἀεὶ ἐκ μειρακίου ἔσχε πρὸς τὸ ἐργάζεσθαι. — Ὡς (ou ἐπεὶ ou ἐπειδὴ) ἐν Τύρῳ γέρας ἦν τοῖς ἀγαθοῖς κυβερνήταις καὶ ναύταις τοῖς ἀγαθοῖς τεταγμένον, οἱ πατέρες προθύμως τοὺς παῖδας ἐν τέχνῃ οὕτω κερδαλέᾳ καὶ εὐδοκίμῳ ἔτρεφον. — Ὡς (ou ἐπεὶ ou ἐπειδὴ) ἁπαλὴ καὶ εὔκαμπτός ἐστιν ἡ τῶν παίδων ἡλικία, ἡ ἀλήθεια ῥᾳδίως τοῦ νοῦ αὐτῶν ἔχεται καὶ οὐ χαλεπῶς ἐμφύεται αὐτῷ. — Ὡς (ou ἐπεὶ ou ἐπειδὴ) ᾔδεισαν οἱ πολέμιοι τοὺς Λακεδαιμονίους ὅτι οὔποτε μὲν τοὺς φεύγοντας διώκουσιν, ἀεὶ δὲ τοὺς μαχομένους σφάζουσι, τὰ πολλὰ μᾶλλον ᾑροῦντο φεύγειν ἢ ἀντιμάχεσθαι. — Ὡς (ou ἐπεὶ ou ἐπειδὴ) οἱ μεγάλοι τῶν παρ' ἡμῖν βασιλέων ᾐσθάνοντο οἷον ἐν ὑπηκόοις ἡ παιδεία δύναται, σοφοὺς ἄνδρας ἐκ πάσης χώρας γέρασι καὶ τιμαῖς ταῖς καλλίσταις πρὸς ἑαυτοὺς ἐπεκαλοῦντο. — Ὡς (ou ἐπεὶ ou ἐπειδὴ) τὰ τὴν Γερμανίαν οἰκοῦντα ἔθνη ἐν χώραις πάνυ ὑλώδεσιν ἔζων, οὔτε σῖτον οὔτε οἶνον οὔτε καρποὺς ἀγαθοὺς ἔνθεν ἔχοντα, οὐδεμία αὐτοῖς τροφὴ ἦν εἰ μὴ ἀπὸ θήρας. — Ὡς (ou ἐπεὶ ou ἐπειδὴ) ἐδεδοίκει ὁ Ἀλέξανδρος μὴ οἱ φανερῶς τὸν τοῦ Παρμενίωνος φόνον μεμφόμενοι στάσιν τινὰ κινήσειαν, τοῦ ἄλλου στρατεύματος τούτους διεχώρισε καὶ εἰς ἕνα λόγον συνήγαγε Λεωνίδαν ἐπιστήσας.

248e Exercice.

Comme si (*Grammaire*, § 666).

Ἡ τύχη οὐδὲ ταφὴν τῷ Πομπηΐῳ ἔδωκεν ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς εἰ ou ὡς ἂν εἰ) μετεμέλησεν αὐτῇ τοσαῦτα ζῶντι χαρισαμένῃ. — Ὁ Κικέρων τὸν Δημοσθένην κενοδοξίας μέμφεται ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς εἰ ou ὡς ἂν εἰ) αὐτὸς ἀκενόδοξος ἐγένετο. — Ὁ Ἄννων κωλύων τοὺς Καρχηδονίους μὴ βοηθείας τῷ Ἀννίβᾳ πέμψαι οὕτως ἔπραττεν ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς εἰ ou ὡς ἂν εἰ) παρὰ τῶν Ῥωμαίων ἐδωροδοκήσατο. — Οἱ Ἀθηναῖοι τοὺς Λακεδαιμονίους τῆς ἄγαν πλεονεξίας καὶ τῆς πρὸς τοὺς συμμάχους τραχύτητος ἐμέμφοντο ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς εἰ ou ὡς ἂν εἰ) αὐτοὶ ἧσσον καὶ πλεονεκτικοὶ καὶ ὑβριστικοὶ καὶ τυραννικοὶ ἐγένοντο. — Πολυτελεῖς τάφους ζῶντες οἰκοδομοῦμεν ἡμῖν ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς εἰ ou ὡς ἂν εἰ) φοβοίμεθα μὴ ἡ κόνις ἡμῶν τῇ τῶν πλησίον συμμιχθείη. — Οἱ πλεῖστοι τῶν ἀνθρώπων ἢ νόσῳ καταλαμβανόμενοι, ἢ μέρος τι τῶν χρημάτων ἀποβάλλοντες, ἢ τῶν οἰκείων τινὸς τετελευτηκότος, θαυμάζουσι καὶ ἀγανακτοῦσιν ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς εἰ ou ὡς ἂν εἰ) συνθήκας πρὸς τὴν τύχην ἐποιήσαντο. — Ὁ Ἀλέξανδρος οὐκ ἠξίωσεν αὐτὸς τὸν διάδοχον μηνύειν ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς ἂν εἰ) προεῖδε τοὺς περὶ αὐτὸν τεθνεῶτος αὐτοῦ τὰς διαθήκας παρ' ὀλίγον ἡγήσεσθαι. — Λέγεται ὁ Ἀννίβας δεινῶς ἁμαρτεῖν τὴν Ῥώμην μετὰ τὴν ἐν Κάνναις μάχην οὐ πολιορκήσας ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς εἰ ou ὡς ἂν εἰ) μὴ ἐν ταύτῃ τῇ πόλει δῆμος ἐγένετο πολεμικὸς καὶ οὐδενὸς ἀτυχήματος ἥσσων. — Μετὰ τὴν παρὰ ταῖς Κυνὸς κεφαλαῖς μάχην οἱ Ἕλληνες μωρῶς ἐχάρησαν ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς εἰ ou ὡς ἂν εἰ) ἐλεύθεροι ἐγένοντο διότι οἱ Ῥωμαῖοι ἀνεκήρυσσον αὐτοὺς ἐλευθέρους εἶναι. — Οἱ Αἰτωλοὶ ἀνύποιστοι τὴν αὐθάδειαν ἐγένοντο, ὥσπερ εἰ (ou ὥσπερ ἂν εἰ ou ὡς εἰ ou ὡς ἂν εἰ) μόνοι τὸν Φίλιππον ἐνίκησαν.

249e Exercice.

Suite de *comme si* (*Grammaire*, § 666, *Remarque*).

Εἰσὶν οἳ πάντα σχηματισμὸν τῶν λόγων ἐκβάλλουσιν ὡς (ou ὥσπερ) τῆς ἀληθείας γυμνῆς ἀεὶ κρατησούσης. — Καθ' ὃν χρόνον οἱ Ῥωμαῖοι εἰς τὴν Ἑλλάδα εἰσέβαλον, οἱ Βοιωτοὶ ὅτι ἥκιστα τῶν κοινῶν πραγμάτων μετελάμβανον ὡς οὐδὲν αὐτοῖς προσηκόντων. — Οἱ ἄνθρωποι μυρία ὅπλων γένη ἐπὶ τῷ ἀλλήλων ὀλέθρῳ εὗρον, ὡς τῆς φύσεως οὐχ ἱκανῶς αὐτοὺς πρὸς ἀλλήλους ἐξοπλισάσης. — Ἆρα δεῖ τὴν τοῦ λόγου δεινότητα ἀπο-

δοκιμάζειν διότι εἰσὶν οἳ καταχρῶνται αὐτῇ ὡς (mieux ὡς ἂν) ἡμῶν καὶ τοῖς βελτίστοις καὶ χρησιμωτάτοις πράγμασι οὐ καθ' ἡμέραν καταχρωμένων; — Ἀναγκάζομεν καὶ τὴν γῆν καὶ τὸ ὕδωρ καὶ τὸν ἀέρα δασμὸν ἡμῖν ἀποδιδόναι ὡς τῆς γῆς οὐχ ἱκανὴν ἡμῖν τροφὴν παρεχούσης. — Ὁ Τιβέριος τοὺς βουλευτὰς τῆς ταπεινοφροσύνης καὶ τῆς δουλοπρεπείας ἐμέμφετο ὡς ἂν τῆς ἐλευθερίας καὶ τῆς τυραννίδος συνυπαρχουσῶν. — Ἐν τοῖς πρώτοις τῆς πόλεως χρόνοις οὐκ ἐξῆν τοὺς εὐπατρίδας καὶ τοὺς δημότας ἀλλήλοις κηδεῦσαι ὡς (ou ὥσπερ) δυοῖν ἐθνῶν διαφόρων ὄντων. — Ἐν τῇ μὲν Ἑλλάδι ὁ Δημοσθένης μετὰ τὸν Σοφοκλέα καὶ τὸν Ἀριστοφάνην ἐφάνη· ἐν δὲ τῇ Ῥώμῃ τοὐναντίον ὁ Οὐεργίλιος καὶ ὁ Ὁράτιος μετὰ τὸν Κικέρωνα ἤκμασαν ὡς ἂν τῆς λογιότητος καὶ τῆς ποιήσεως οὐχ ἅμα καὶ ἴσον τρόπον λάμπειν δυναμένων.

250ᵉ Exercice.

Prépositions et conjonctions composées : 1° Conjonctions composées formées de prépositions simples (*Grammaire*, p. 311 et suivantes).

1. Ἐπεὶ (ou ἐπειδὴ) ὁ Φίλιππος τὴν ἐν Χαιρωνείᾳ μάχην ἐνίκησεν, ἐνόμισεν ἑαυτὸν ἤδη δυνήσεσθαι ἐπὶ τοὺς Πέρσας τὴν στρατείαν ποιεῖσθαι ἣν ἀπὸ τοσούτου διενοεῖτο. — Ὁ Ἀνταλκίδας ἐρωτηθεὶς διὰ τί τῶν Σπαρτιατῶν ξίφη οὕτω βραχέα ἐστίν· « Ὅτι (ou διότι), ἔφη, ἐκ χειρὸς μαχόμεθα. » — Ὁ Κριτίας φησὶ τὸν Θεμιστοκλέα πρὶν ἢ ἤρξατο (ou πρὶν ἢ ἄρχοιτο ou πρὶν ἤρξατο ou ἄρχοιτο ou πρὶν ἂν ἄρξηται) τὰ τῆς πόλεως πράττειν, τρία μόνον τάλαντα ἔχειν, τριακόσια δὲ κεκτῆσθαι ὅτε ἔφυγεν. — Κλαίει τὸ νήπιον, ἐπεὶ τάχιστα (ou ἐπειδὴ τάχιστα) τὸ φῶς ὁρᾷ, τοῦ ζῆν ἀπὸ λύπης ἀρχόμενον. — Παρὰ τοῖς Ῥωμαίοις σπάνιαι ἦσαν αἱ αὐτομολίαι ὅτι (ou διότι) οἱ στρατιῶται ἐκ μεγαλοφρονεστάτου καὶ ὑπερηφανεστάτου δήμου συλλεγέντες ταπεινωθῆναι ἂν ἐνόμιζον μηκέτι Ῥωμαῖοι ὄντες. — Εἰ καὶ ἡ περὶ τοὺς λόγους σπουδὴ οὐκ ἄλλο τι ὠφελεῖ, ἀλλά γε τοὺς παῖδας τοῦ τῇ ἀργίᾳ ἐνεθίζεσθαι κωλύει. — Οἱ Λακεδαιμόνιοι τῶν Μεσσηνίων ὅσοι λοιποὶ ἦσαν ἐφείσαντο, ἐφ' ᾧ (ou ἐφ' ᾧτε) οἱ ἄθλιοι οὗτοι ἀναχωρήσουσι τῆς Ἑλλάδος. — Τοῖς τὸν Ὅμηρον ψέγουσιν ὅτι τοὺς ἥρωας τῆς ῥώμης καὶ τῆς τοῦ σώματος δεξιότητος ἢ ἐλαφρότητος ἐπαινεῖ, εἰκὸς ἦν Σαλλούστιον παγγέλοιον δοκεῖν τὸν Πομπήϊον ἐπαινοῦντα ὅτι ἔτρεχε καὶ ἥλλετο καὶ ἠχθοφόρει ὡς οὐδεὶς ἕτερος τῶν κατ' αὐτόν.

2. Ἐξ οὗ ἡ σύγκλητος μισθὸν ἔταξε τοῖς στρατιώταις οὐκέτι διένεμεν αὐτοῖς τοὺς τῶν νικηθέντων ἐθνῶν ἀγρούς. — Ὅτε (ou ἡνίκα) τὸ πλεῖστον τῆς Εὐρώπης ἔτι βαρβαρικῶς εἶχεν, πολλὰ τῆς Ἀσίας ἔθνη πάντων τῶν ἀγαθῶν ἀπέλαυεν ὅσα ἐκ τοῦ ἡμέρου βίου γίγνεται. — Ὁ Σόλων τῇ πα-

τροκτονίᾳ δίκην οὐκ ἔθηκεν ὅτι (ou διότι ou ἐπεὶ ou ἐπειδὴ) οὐκ ἐνόμιζεν ἄνθρωπον οἷόν τε εἶναι πρᾶγμα πράττειν οὕτως ἀνόσιον. — Ὅπως (ou ὡς) ἡ σελήνη αὐξάνεται ἢ φθίνει, καὶ ὁ ἥλιος πορρωτέρω ἢ ἐγγυτέρω γίγνεται, ἐπὶ τοῦ ἡμετέρου πλανήτου θαυμάσιαι γίγνονται μεταβολαί. — Οἱ δῆμοι οἱ ὑπὸ τῶν Ῥωμαίων χειρωθέντες, ἅτε τοὺς ἰδίους νόμους σώζοντες, αὐτονομίαν ἔχειν ἐδόκουν πλὴν ὅτι οὐκ ἐξῆν αὐτοῖς οὔτε πόλεμον πολεμῆσαι οὔτε συμμαχίας ποιήσασθαι. — Ὅπως (ou ὡς) πλούσιος ἢ πένης, δυνατὸς ἢ ἄθλιος ἔσῃ, πανταχοῦ κόλακας εὐαρέστους ἢ δικαστὰς χαλεποὺς εὑρήσεις (ou ὅπως ἂν ou ὡς ἂν πλούσιος ἢ πένης, δυνατὸς ἢ ἄθλιος ᾖς, πανταχοῦ κόλακας εὐαρέστους ἢ δικαστὰς χαλεποὺς εὕροις ἄν). — Πρὶν ἤ τινα εἰς φιλίαν παραλαμβάνεις (ou παραλαμβάνοις ou πρίν τινα εἰς φιλίαν παραλαμβάνειν ou πρὶν ἄν τινα εἰς φιλίαν παραλαμβάνῃς), πρότερον ἐπίσκεψαι πῶς οὗτος ὃν αἱρῇ τοῖς πρώτοις φίλοις ἐχρήσατο. — Ὁ Νουμᾶς τοῖς μεγίστοις τῶν πάλαι νομοθέταις ὁμοιοῦσθαι δύναται πλὴν ὅτι τοῦτο καὶ μέγιστον δὴ παρέλιπε, τὴν τῶν παίδων ἀγωγήν. — Ἀφ' ὅσων ἐτῶν ὁ ἥλιος τὸν κόσμον αὐγάζει τοῦ φωτὸς μὴ ἀμαυρωθέντος ἢ τοῦ θάλπους μειωθέντος; — Ἔστιν ἔτι βάρβαρά τινα ἔθνη, πυρὰ ἐπὶ τῶν βράχεων νυκτὸς ἅπτοντα ὅπως (ou ἵνα) ἀπατηθέντες οἱ ναῦται καὶ προσπελάσαντες ναυαγῶσι.

251ᵉ Exercice.

2° Prépositions composées (*Grammaire*, p. 311 et suivantes).

1. Τὸ Κυλλήνιον ὄρος τοῦ Στυμφαλίου ἔχεται ὑφ' οὗ (ou ὑφ' ὃ) πόλις τε καὶ λίμνη καὶ ποταμός ἐστιν ὁμώνυμος. — Πάντες οἱ Συρακούσιοι ἀπὸ τῶν τειχῶν πάσας τὰς τῆς μάχης μεταβολὰς πολυμέριμνοι ἐσκόπουν ἀφ' ἧς ἡ τύχη αὐτῶν ἤρτητο. — Ὁ Κάσκας ξιφίδιον ἐκ τῆς στολῆς ἐξελὼν ἔπαισε τὸν Καίσαρα. — Οἱ Ἕλληνες ὑπὲρ τοῦ χιτῶνος ἀχειριδώτου ὄντος τρίβωνα ἐφόρουν ἐκ τῶν ὤμων ἠρτημένον καὶ πόρπῃ δεδεμένον. — Ὁ ἀνθρώπινος βίος ὁ μακρότατος οὐ πολὺ πέραν ἑκατὸν ἐτῶν (ou ὑπὲρ ou παρὰ ἑκατὸν ἔτη) παρατείνεται. — Τοὺς Κρῆτάς φασι τὰς μὲν πόλεις ἐπὶ τῶν ἀκροτάτων τῆς νήσου οἰκοδομῆσαι, ἔπειτα δὲ, τῶν χειμώνων χαλεπωτέρων καὶ μακροτέρων γενομένων, εἰς τὰ κάτω τῶν ὀρῶν οἰκήσοντας κατελθεῖν. — Μάλα θαυμάσαιεν ἂν οἱ πάλαι ἀκούοντες πέραν τῶν πελαγῶν (ou ὑπὲρ ou παρὰ τὰ πελάγη) ἃ τῆς οἰκουμένης τέρματα ἐνόμιζον εἶναι, ἄλλας κεῖσθαι χώρας ὧν αὐτοὶ ᾤκουν εὐρυτέρας. — Ὡς θαμβήσαιεν ἂν οἱ πάλαι Ῥωμαῖοι εἴ τις ἔλεξεν αὐτοῖς τοὺς ἔπειτα ἐσομένους ὅτι οὐ μόνον ἔξω τῆς Ῥώμης ἀλλὰ καὶ ἔξω τῆς Ἰταλίας δεσπότας μεταπέμψονται.

2. Τῶν Περσῶν οἱ βασιλεῖς καὶ ἐντὸς τῶν παραδείσων οὐ μόνον θῆρας ἀλλὰ καὶ ἄγρια θηρία ἐπὶ τῇ τῆς κυνηγεσίας ἡδονῇ ἔτρεφον. — Οἱ ἀμφό-

τεροι στρατοὶ ἐντὸς τοῦ βέλους ὄντες χρόνον τινὰ ἀκίνητοι ἔμειναν. — Ὅτε ὁ Αὔγουστος πρὸς τὴν σύγκλητον ἔρχοιτο, θώρακα ὑπὸ τοῦ χιτῶνος (ou ὑπὸ τὸν χιτῶνα) ἐφόρει. — Ἄνω τοῦ Πηλίου ὄρους ἐστὶ μὲν ναός τις τῷ Διῒ ἱερός· ἐγγὺς δὲ τοῦ ναοῦ τὸ ὀνομαστὸν ἄντρον ἐν ᾧ φασι τὸν Κένταυρον πάλαι κατοικῆσαι. — Τῶν Σπαρτιατῶν οἱ νέοι εἰς τὸ ὀκτωκαιδέκατον ἔτος ἐληλακότες πολλάκις πρὸς ἀλλήλους ἐν τῷ Πλατανιστοῦντι ἰσχυρῶς ἀγωνίζονται ἐναντίον (ou ἐνώπιον) πέντε ἀρχόντων οἳ τὴν μάχην, ὅταν αὐτοῖς δοκῇ, διαλύουσιν. — Ὁ Αἰνείας τοὺς ἐφεστίους θεοὺς καὶ τὸν γηραιὸν πατέρα διὰ τῶν φλογῶν καὶ τῶν βελῶν τῶν Ἑλληνικῶν ἐξεκομίσατο. — Ὁ Κηφισὸς καὶ ὁ Ἰλισσὸς πολλοὺς ἑλιγμοὺς κύκλῳ τῆς τῶν Ἀθηναίων πόλεως (ou ἀμφὶ ou περὶ τὴν τῶν Ἀθηναίων πόλιν) ποιοῦνται. — Ἐπειδὴ τάχιστα ἤκουσεν ὁ Κικέρων τὸν Καίσαρα εἰς τὸ Βρεντήσιον ἀποβῆναι, εἰς ἀπάντησιν αὐτοῦ ἦλθεν. — Ὁ Κυαξάρης διὰ τὴν δεξιότητα καὶ καρτερίαν αὐτοῦ ἀνέλαβε τὸ τῆς Ἀσίας μέρος ὅπερ οἱ Σκύθαι ἐν μηνὶ μὲν ἑνὶ κατεστρέψαντο, εἴκοσι δὲ ἔτη κατέσχον. — Οἱ τύραννοι ἐπεὶ μόνον κύκλῳ ἑαυτῶν (ou ἀμφὶ ou περὶ ἑαυτοὺς) ὄντας πονηροὺς ὁρῶσιν, οὔ φασι εἶναι τὴν ἀρετήν. — Ἥρα τε καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη πρὸς ἀλλήλας περὶ τοῦ κάλλους ἐρίζουσαι τὸν Πάριν εἵλοντο δικαστὴν ὃς ὑπὲρ τῆς Ἀφροδίτης ἔκρινε. — Πόῤῥω τῆς ἀγορᾶς ἔστωσαν οἱ τὴν ψυχὴν ταπεινοί τε καὶ ὤνιοι ὄντες, ὅσοι γε τὸ λέγειν φαῦλόν τι ἐμπόλημα ποιοῦνται μόνον πρὸς ῥυπαρόν τι κέρδος προσβλέποντες.

252ᵉ Exercice.

Suite des prépositions composées.

1. Οἱ Πέρσαι εὐπροσήγοροι ἦσαν καὶ ἀστεῖοι καὶ δαψιλεῖς πρὸς (ou εἰς ou περὶ) τοὺς ξένους. — Μηδὲν ἔλπισον μόνιμον βίᾳ τῶν θεῶν (ou ἀκόντων τῶν θεῶν) κτίσαι. — Οἱ ὄρνιθες πρὸς τὸ ἐν ταῖς λίμναις ζῆν πεφυκότες παρὰ τῆς φύσεως σκέλη μακρὰ δίκην καλοβάθρων ἔλαχον. — Περὶ τοῦ ἁρπακτικοῦ οἱ πλεῖστοι τῶν Ῥωμαίων στρατηγῶν οὐδὲν εἶχον τῷ Βέῤῥῃ μεμψασθαι. — Ὁ Πυθαγόρας καὶ ὁ Σωκράτης ἐναντία τινῶν φιλοσόφων ἔφησαν οὐδενὶ ἐξεῖναι τὴν τάξιν ἀπολιπεῖν ἣν ἐνταῦθα ὑπὸ τῶν θεῶν τετάγμεθα. — Ἐρωτηθεὶς ὁ Κικέρων περὶ τῶν τοῦ Δημοσθένους λόγων τίς αὐτῷ δοκεῖ κάλλιστος εἶναι, « Ὁ μακρότατος, » εἶπεν. — Ὀκτὼ πρὸς τέσσαρά ἐστιν, ὡς πρὸς ὀκτὼ τέσσαρα. — Ἀνακρέων ὁ ποιητὴς ἐπεὶ χρυσοῦν τάλαντον αὐτῷ παρὰ τοῦ Πολυκράτους ἠνέχθη, οὐκ ἐδέξατο εἰπών· « Μισῶ δωρεὰν ἥτις ἀγρυπνεῖν ἀναγκάζει. » — Μηδέποτε μηδὲν λάθρα τῶν γονέων ἢ τῶν διδασκάλων ποίησον. — Πολλῷ ἄμεινόν ἐστι τοῖς πονηροῖς ἕνεκα τῶν ἀγαθῶν ἐπικουρῆσαι ἢ τοὺς ἀγαθοὺς φόβῳ τῶν πονηρῶν περιϊδεῖν.

2. Οἱ δῆμοί τε καὶ οἱ βασιλεῖς δῶρα εἰς τοὺς Δελφοὺς κατὰ τὸν πλοῦτον, μᾶλλον δὲ κατὰ τὴν κενοδοξίαν αὐτῶν πέμπουσιν. — Ἔφασαν οἱ Δέλφειοι στήλην τινὰ ἐν ναῷ ἀντικρὺ (ou καταντικρὺ ou ἐναντίον ou κατεναντίον) τοῦ Ἱέρωνος τοῦ τῶν Συρακουσῶν τυράννου ἀνδριάντος ἱσταμένην, αὐτομάτην πεσεῖν καθ' ἣν ἡμέραν οὗτος ἀπέθανεν. — Οἱ Ἰάπυγες ἀντὶ μαχαιρῶν καὶ ἀκοντίων ῥοπάλοις μεγάλους ὄζους ἔχουσι καὶ σιδηροῖς κέντροις κατεσκευασμένοις χρῶνται. — Ὁ Φερεκύδης ἐν Σάμῳ παρὰ τὸν αἰγιαλὸν περιπατῶν καὶ ναῦν οὐριοδρομοῦσαν ἰδὼν, ἐκείνην οὐκ εἰς τὸν λιμένα ὁρμίσεσθαι προεῖπε, καὶ δὴ σχεδὸν παραχρῆμα ἐνώπιον τοῦ ὄχλου κατέδυ. — Ἡ Σύγκλητος χαριστήρια ἐψηφίσατο ἕνεκα τῶν νικῶν ἃς ὁ Καῖσαρ ἐν τῇ Κελτικῇ ἐνίκησεν. — Τὸ ἔμπροσθεν (ou πρὸ) τοῦ ναοῦ προπύλαιον γραφαῖς κεκόσμηται τὴν τοῦ Ἡρακλέους πρὸς τὴν Λερναίαν ὕδραν μάχην εἰκαζούσαις. — Οἱ στρατιῶται ὅσοι ἀφίσταντο ἢ κατόπιν (ou ὄπισθεν) τοῦ πλείστου τοῦ στρατεύματος ἐλείποντο, ὑπὸ τῶν πολεμίων ἱππέων ἀνηρπάζοντο ἢ ἐσφάζοντο.

258ᵉ Exercice.

3° Conjonctions composées formées de prépositions composées, d'adverbes et de locutions adverbiales (*Grammaire*, p. 312 et suivantes).

1. Κακὸν ὁ τῆς λέξεως ὡς καὶ (ou ὥσπερ) τοῦ σώματος ὄγκος. — Ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὲν μόνον τὰ πρὸς χάριν ἀκούειν βούλεσθε, οὐδὲν ἄλλο μοι ἢ σιγᾶν λοιπόν· εἰ δὲ δύναισθε (ou ἐὰν δὲ δύνησθε) τὸ ἀληθὲς ἀκούειν, ἰδοὺ ἕτοιμός εἰμι λέγειν. — Γιγνώσκομεν ὅσα μὲν ὁ Δημοσθένης ἐσπούδασεν ὥστε τὴν ὑπόκρισιν ὅτι τελειοτάτην ἔχειν· ὁ δὲ Κικέρων τοῦτο αὐτοῦ ὡς καὶ (ou ὥσπερ) τἄλλα ἐμιμήσατο. — Ἐν ᾧ ὁ Σύλλας τὸν Μιθριδάτην τῆς Εὐρώπης ἐξήλαυνεν, ὁ Μάριος εἰς τὴν Ῥώμην ἐπανελθὼν πάντας τοὺς τὰ τοῦ ἀνθαμίλλου φρονοῦντας ἔκτεινεν. — Μέχρις οὗ (ou ἄχρις οὗ ou ἕως) Μέμνων ὁ Ῥόδιος ἐβίω, ἦν τῷ Ἀλεξάνδρῳ ἄξιος αὐτοῦ ἀνταγωνιστής. — Ἐπεὶ τάχιστα (ou ἐπειδὴ τάχιστα) ὁ Σκηπίων πρὸς τὴν Νομαντίαν ἀφίκετο, πρῶτον τοὺς στρατιώτας πάνθ' ὅσα ἔθρυψεν αὐτοὺς ἀπεστέρησεν. — Ὡς (ou καθὼς) οἱ Σικελιῶται τοῦ Κικέρωνος τῆς ἐπιμελείας καὶ δικαιοσύνης καὶ πρᾳότητος πεῖραν ἔλαβον, ἔστερξαν μὲν αὐτὸν, ἔπειτα δὲ ὡς οὐδένα τῶν πώποθ' ἡγεμόνων ἐτίμησαν. — Πᾶσαι αἱ βασιλεῖαι, πᾶσαί τε αἱ ἐπαρχίαι φανερῶς τοὺς ἡμῶν στρατηγοὺς κακώσεώς τε καὶ ὕβρεως κατηγοροῦσιν, ὥστε οὐχ οἷόν τε ἐστὶν (ou ὥστε ou ὡς οὐχ οἷόν τε εἶναι), οὐ μὲν λέγω τοῖς στρατεύμασι, ταῖς δὲ τῶν πάντων ἐθνῶν καὶ βοαῖς καὶ μέμψεσι καὶ κατηγορίαις ἀντέχειν. — Εἰ τῇ εὐτυχίᾳ ὑμῶν καταχρῆσθε, ὑπὸ τίνος ἐλεηθῆναι ἔξεστιν ἐλπίζειν, εἰ οἱ θεοὶ ὑμᾶς τὰ ἀγαθὰ ἀφέλοιεν (ou ἐὰν οἱ θεοὶ ὑμᾶς τὰ ἀγαθὰ ἀφέλωσιν) ἅπερ ἀφθόνως

ἔδοσαν; — Ἡ φιλαργυρία τε καὶ ἡ φιλοτιμία ἐξ ὧν τὰ πάντα κακὰ γίγνεται ηὐξήθησαν ἐφ' ὅσον (ou καθ' ὅσον) ἐπέδωκεν ἡ δύναμις τῶν Ῥωμαίων.

2. Ἔξεστιν εἰπεῖν τὸν Πολύβιον πολλῷ πρότερον καθ' ὃν τρόπον καὶ δι' ἃς αἰτίας ἡ Ῥώμη ἀπολέσεται δηλῶσαι, ὅσον γε (ou καθ' ὅσον γε) ἀνθρώπῳ ὄντι δέδοται τὰ μέλλοντα προορᾶν. — Τὸ ὕδωρ ἐκ τοῦ εἱμαρμένου πίθου ἐκρέει, ὡς (ou καθὼς) αὐτὸν αἱ Δαναΐδες ἐμπίμπλασιν. — Ὁ Σύλλας, μέλλων μάχην τῷ Ἀρχελάῳ συνάψαι, δύο τάφρους βαθείας ἐπ' ἀμφοτέρων τοῦ στρατοῦ κερῶν διορύσσειν ἐκέλευσεν ὅπως μὴ (ou ἵνα μὴ ou μὴ) οἱ βάρβαροι πολλῷ πλείους ὄντες τοὺς Ῥωμαίους περιλαμβάνειν πειραθεῖεν. — Οἱ Ῥωμαῖοι τὴν εἰρήνην τοῖς Καρχηδονίοις συνεχώρησαν ἐφ' ᾧ (ou ἐφ' ᾧτε) οὔτε τῷ Ἱέρωνι οὔτε τοῖς συμμάχοις ἐκείνου ἐπιχειρήσουσι, καὶ τῆς Σικελίας τῶν τε πλησίον νήσων ἀποχωρήσουσι, καὶ πάντας τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀποδώσουσι, καὶ τρισχίλια τάλαντα ἐν δέκα ἔτεσιν ἐκτίσουσιν. — Ὁ Ἰφικράτης ἀεὶ τὸ στρατόπεδον διετίθη ὅπως οὐχ οἷόν τε εἴη τοὺς πολεμίους ἀκριβῶς εἰδέναι πόση ἐστὶν αὐτοῦ ἡ δύναμις. — Τίς ἄνθρωπος ἀπὸ τοῦ αὐτομάτου εἰς φανερὸν κίνδυνον ἑαυτὸν ῥίψαι ἄν, πλὴν εἰ τοῦ φρονεῖν ἐξέστη (ou ἐκσταίη ou πλὴν ἐὰν τοῦ φρονεῖν ἐκστῇ); — Ὁ Κικέρων, καθὼς μὲν ῥήτωρ, πολὺ τοῦ Δημοσθένους ἐλάττων, καθὼς δὲ συγγραφεύς, πολὺ ἀμείνων ἐστίν. — Πολλάκις ἡ τοῦ Καίσαρος πρὸς τοὺς βουλευτὰς ἐπιείκεια ἦν ὑβριστική· διὸ καὶ ἐλέγετο ὅτι οὐκ ἀξιοῖ κολάζειν μᾶλλον ἢ συγγιγνώσκει. — Τῇ συγκλήτῳ ἔδοξε τοὺς στρατιώτας ἐκ τῆς παρὰ Κάνναις ἥττης ἐκφυγόντας στρατεύσεσθαι ἐν Σικελίᾳ οὔτε γέρας οὔτε στρατιωτικὸν ἐπίσημον οὐδὲν λαμβάνοντας μέχρις (ou ἄχρις οὗ ou ἕως) ἂν ὁ Ἀννίβας τῆς Ἰταλίας ἐξελαθείη. — Ὁ αἴλουρος οἰκέτης τις ἐστὶν ἄπιστος, ὃν οὐκ ἔχοιμεν ἂν εἰ μὴ ἀναγκαῖος ἦν πρὸς τὸ ἄλλῳ τινὶ μάχεσθαι οἰκέτῃ ὀχληροτέρῳ δὴ ὄντι καὶ ἀναπαλλάκτῳ. — Τῆς ἐλευθερίας ἤδη φθινούσης τὰς ψήφους φανερῶς ἐκαπήλευον ὡς εἰ (ou ὡς ἂν εἰ) ἐμπόλημά τι τῶν τυχόντων τοῦτ' ἐγένετο.

254e Exercice.

Suite des conjonctions composées formées de prépositions composées, d'adverbes et de locutions adverbiales.

Ὁ Κλαύδιος ἦν μαλθακὸς καὶ διχόρροπος ὥστε οὐκ ὧν κακὸς κακῶς πολλάκις ἐποίησεν. — Ὀκτάβιος ὅτε τὰ ὅπλα διὰ χειρῶν εἶχε, τὰς μὲν τῶν στρατιωτῶν ἀποστάσεις ἐφοβεῖτο, οὐ δὲ τὰς τῶν πολιτῶν συνωμοσίας, ὥστε τῶν μὲν ἐφείδετο, τοῖς δὲ ὠμῶς ἐχρῆτο. — Ἐπὶ τῶν αὐτοκρατόρων ἔδει σε τῆς δόξης οἷον ὅρους τίθεσθαι ὅπως (ou ἵνα) τὸν αὐτοκράτορα ἐπιστρέψῃς μόνον, φθόνον δὲ αὐτῷ μὴ ἐμποιήσῃς. — Ὁ ἀρχιερεὺς τοὺς

θεοὺς ἱκέτευε τῷ βασιλεῖ πάσας ἀρετὰς τὰς βασιλεύοντι πρεπούσας δοῦναι, ὅπως (ou ἵνα) καὶ πρὸς τὸ θεῖον εὐσεβὴς, καὶ πρὸς τοὺς ἀνθρώπους πρᾶος, καὶ δίκαιος καὶ μεγαλόψυχος καὶ ἁπλοῦς καὶ μισοψευδὴς γένηται. — Εἰ ὁ Δάρειος καὶ ὁ Ξέρξης τὴν Ἑλλάδα κατεστρέψαντο, ἆρ' οὐκ εἰκός ἐστι τούτους τοὺς δήμους τῆς ἐλευθερίας στερηθέντας τρυφῇ καὶ ἡδοναῖς ἐνδοῦναι ἂν ἑαυτοὺς, ὥσπερ τὰς τῶν Ἑλλήνων ἀποικίας τὰς ὑπὸ τοῖς Πέρσαις οὔσας; — Ὁ Μιθριδάτης ἐκ πολλοῦ ἐβεβούλευτο τὸν πόλεμον εἰς τὴν Ἰταλίαν ἄγειν εἰ μὴ δύναιτο (ou ἐὰν μὴ δυνηθῇ) ἐν τῇ Ἀσίᾳ ἀντιστῆναι. — Ὁ Λυκοῦργος τὴν τῶν Λακεδαιμονίων τροφὴν διέταξεν ὅπως (ou ἵνα) μηδέποτε μὲν ὑπὸ τῆς ἀκρασίας βαρυνθῶσι, ῥᾳδίως δὲ τὴν τῶν ἀναγκαίων ἔνδειαν ὑπομείνωσιν. — Ὁ Δημάρατος τοῖς τῶν Περσῶν βασιλεῦσιν ἔφη, καὶ εἰ οἱ ἄλλοι Ἕλληνες ὑπακούοιεν αὐτοῖς (ou καὶ ἐὰν οἱ ἄλλοι Ἕλληνες ὑπακούσωσιν αὐτοῖς), τοὺς Σπαρτιάτας οὐδὲν ἧσσον ὑπὲρ τῆς ἐλευθερίας ἀμυνεῖσθαι. — Οἱ Ἀθηναῖοι ἔγνωσαν, εἰ οἱ Ἕλληνες οὐκ ἀξιοῖεν (ou ἐὰν οἱ Ἕλληνες οὐκ ἀξιώσωσιν) ἐν Σαλαμῖνι μάχεσθαι, αὐταῖς ταῖς γυναιξὶ καὶ παισὶν εἰς ναῦς ἐμβῆναι καὶ πρὸς τὴν Ἰταλίαν ἐκπλεῦσαι πατρίδα ἄλλην κτίσοντες. — Τῶν Περσῶν οἱ βασιλεῖς τοτὲ μὲν πρὸς τοὺς Λακεδαιμονίους, τοτὲ δὲ πρὸς τοὺς Ἀθηναίους ἔῤῥεπον, ὅπως (ou ἵνα) ἀμφότεροι οἱ δῆμοι ἀεὶ ἰσόῤῥοποι γίγνοιντο. — Ἡ Καρχηδὼν πάσας τὰς τῆς Λιβύης πόλεις ἀφράκτους εἶναι ἀξιώσασα διὰ φθόνον, οὐδὲν ἄλλο εἶχεν, εἴ τι πταίσαι (ou ἐάν τι πταίσῃ), παραβαλεῖν τοῖς πολεμίοις ἢ τὰ ἑαυτῆς τείχη.

255ᵉ Exercice.

Suite des prépositions et conjonctions composées.

Ὁ Σέσωστρις τὰ τῶν νικηθέντων ἐθνῶν λάφυρα εἰς τὴν Αἴγυπτον εἰσκομίζων λάθρα (ou κρύφα) ἑαυτοῦ ἔθρυψεν (ou mieux ἔλαθεν ἑαυτὸν θρύψας ou ἑαυτὸν λαθὼν ἔθρυψε) τὴν τῶν πολιτῶν ἀνδρείαν. — Χαλεπόν ἐστιν ἐν ᾗ πόλει οἱ πολῖται μετὰ τοσούτου ζήλου ἐπισκοποῦσιν ἀλλήλους, οὐδὲν αὐτοὺς λάθρα (ou κρύφα) ἀλλήλων ποιεῖν (ou mieux οὐδὲν ποιοῦντας ἀλλήλους λανθάνειν ou οὐδὲν αὐτοὺς ποιεῖν ἀλλήλους λανθάνοντας). — Οἱ πατέρες οἱ ταὐτὰ ἁμαρτάνοντες ἃ τοῖς παισὶ μέμφονται, αὐτοὶ ἑαυτῶν κατήγοροί εἰσι λάθρα (ou κρύφα) ἑαυτῶν (ou mieux αὐτοὶ ἑαυτῶν κατήγοροι ὄντες λανθάνουσιν ou αὐτοὶ ἑαυτῶν κατήγοροί εἰσι λανθάνοντες). — Ἆρ' ἔξεστι λέγειν τὸν θάνατον λάθρα (ou κρύφα) ἡμῶν ἐπέρχεσθαι (ou mieux τὸν θάνατον ἡμᾶς λανθάνειν ἐπερχόμενον ou τὸν θάνατον ἡμᾶς λανθάνοντα ἐπέρχεσθαι), ἐπεὶ ἑκάστη ἡμέρα καὶ τὴν ἰσχὺν ἡμῶν ἐλασσοῖ καὶ νέον τι κακὸν ἡμῖν φέρει; — Εἰ οἱ πολῖται ὑμῶν ὑμᾶς διω-

θοῦνται, ἀγαθὸν ποιήσατε αὐτοὺς καὶ ἄκοντας, καὶ δὴ λάθρα (ou κρύφα) αὐτῶν (ou καὶ δὴ αὐτοὺς λανθάνοντες). — Οἱ Ἕλληνες σχεδὸν εἰς δουλείαν καὶ ὑπὸ τὰς τῶν Περσῶν χεῖρας λάθρα (ou κρύφα) ἑαυτῶν κατέπεσον (ou mieux οἱ Ἕλληνες.... ἐλάνθανον καταπεσόντες ou λαθόντες κατέπεσον), ἡνίκα ὁ Ἀγησίλαος τὴν ἀρχὴν ἐκείνων ἀπολέσαι ἐπεχείρησεν. — Ἀποροῦμεν ὅπως ὁ Κῦρος στρατείαν οὕτω φοβερὰν πρὸς τὸν ἀδελφὸν παρασκευάζειν ἠδύνατο λάθρα (ou κρύφα) ἐκείνου (ou mieux ὅπως ὁ Κῦρος.... παρασκευάζειν δυνάμενος ἐκεῖνον ἔλαθεν ou παρασκευάζειν ἠδύνατο ἐκεῖνον λανθάνων). — Ἐπεὶ οὔτε τὸ θάλπος οὔτε τὸ ψῦχος φέρειν ἂν δυναίμεθα ἐξαίφνης ἐπερχόμενα, ὁ ἥλιος ἡμῶν καὶ πλησιάζει καὶ ἀποχωρεῖ λάθρα (ou κρύφα) (ou mieux ἡμῶν καὶ πλησιάζων καὶ ἀποχωρῶν λανθάνει ou ἡμῶν καὶ πλησιάζει καὶ ἀποχωρεῖ λανθάνων). — Ἡ Κλεοπάτρα φοβουμένη μὴ ὁ Ὀκτάβιος αὐτὴν εἰς θρίαμβον ἄγειν βούλοιτο, ἑαυτὴν ἀνεῖλε λάθρα (ou κρύφα) τοῦ νικήσαντος (ou mieux ἑαυτὴν ἀνελοῦσα τὸν νικήσαντα ἔλαθεν ou ἑαυτὴν ἀνεῖλε τὸν νικήσαντα λαθοῦσα). — Ὁ Κροῖσος λάθρα (ou κρύφα) ἑαυτοῦ ἔτρεφεν (ou mieux ἐλάνθανε τρέφων ou ἔτρεφε λανθάνων) τοῦτον, ᾧ τὸν αὐτοῦ παῖδα φονεύειν εἵμαρτο.

256ᵉ Exercice.

Suite des prépositions et conjonctions composées.

1. Οὐχ ὅπως (ou οὐχ ὅτι) ταραχὰς καὶ στάσεις οἱ χριστιανοὶ ἐκίνησαν, ἀλλὰ (ou ἀλλὰ καὶ) οὐδὲν μετέσχον τῶν ἐπιβουλῶν ὅσαι κατὰ τῶν αὐτοκρατόρων τριακόσια ἔτη συνεσκευάσθησαν (ou οἱ χριστιανοὶ οὐδὲν μετέσχον τῶν ἐπιβουλῶν ὅσαι κατὰ τῶν αὐτοκρατόρων τριακόσια ἔτη συνεσκευάσθησαν, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) αὐτοὶ ταραχὰς καὶ στάσεις ἐκίνησαν ou τοσούτου ἐδέησαν οἱ χριστιανοὶ ταραχὰς καὶ στάσεις κινεῖν ὥστε οὐδὲν μετέσχον τῶν ἐπιβουλῶν ὅσαι κατὰ τῶν αὐτοκρατόρων τριακόσια ἔτη συνεσκευάσθησαν. — Οὐχ ὅπως (ou οὐχ ὅτι) ἄχρηστόν ἐστιν ἡ παιδεία, ὡς πολλοί φασι τῶν ἀπαιδεύτων, ἀλλὰ (ou ἀλλὰ καὶ) δὴ τοὺς περὶ αὐτὴν διατρίβοντας πλουτίζοι ἂν εἰ μὴ ἐκεῖνοι βάναυσον κέρδος ἀπεβάλλοντο (ou ἡ παιδεία καὶ τοὺς περὶ αὐτὴν διατρίβοντας πλουτίζοι ἂν εἰ μὴ ἐκεῖνοι βάναυσον κέρδος ἀπεβάλλοντο, ou οὐχ ὅπως — ou οὐχ ὅτι ou μήτοι γε ou μή τί γε δὴ — ἄχρηστόν ἐστιν, ὡς πολλοί φασι τῶν ἀπαιδεύτων, ou τοσούτου δεῖ ἡ παιδεία ἄχρηστος εἶναι, ὡς πολλοί φασι τῶν ἀπαιδεύτων, ὥστε καὶ τοὺς περὶ αὐτὴν διατρίβοντας πλουτίζοι ἄν, εἰ μὴ ἐκεῖνοι βάναυσον κέρδος ἀπεβάλλοντο). — Ὁ Ἰσοκράτης οὐχ ὅπως (ou οὐχ ὅτι) τοῖς θεοῖς καὶ τοῖς ἐξ αὐτῶν γενομένοις πάντα τὰ ἐλασσώματα ἅπερ ὁ Ὅμηρος προσένεμεν, ἀλλὰ (ou ἀλλὰ καὶ) πασῶν

τῶν ἀρετῶν μετέχοντας διδασκάλους καὶ ἡγεμόνας τῶν ἄλλων ἀνθρώπων γενέσθαι αὐτοὺς ἔφη (ou ὁ Ἰσοκράτης ἔφη τοὺς θεοὺς καὶ τοὺς ἐξ αὐτῶν γενομένους πασῶν τῶν ἀρετῶν μετέχοντας διδασκάλους καὶ ἡγεμόνας πάντων τῶν ἄλλων ἀνθρώπων γενέσθαι, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) αὐτοῖς τὰ ἐλασσώματα ἅπερ ὁ Ὅμηρος προσένεμεν ou τοσούτου ἔδει ὁ Ἰσοκράτης τοῖς θεοῖς καὶ τοῖς ἐξ αὐτῶν γενομένοις τὰ ἐλασσώματα ἅπερ ὁ Ὅμηρος προσνέμειν, ὥστε αὐτοὺς πασῶν τῶν ἀρετῶν μετέχοντας διδασκάλους καὶ ἡγεμόνας τῶν ἄλλων ἀνθρώπων γενέσθαι ἔφη). — Οὐχ ὅπως (ou οὐχ ὅτι) ὁ Σωκράτης τῷ Ἀριστοφάνει ὠργίσθη τῷ αὐτὸν κωμῳδήσαντι, ἀλλὰ (ou ἀλλὰ καὶ) ἐντυχών ποτε ἠρώτησεν αὐτὸν μή που ἔτι δέοιτο αὐτοῦ ὥστε τὸ πλῆθος γελᾷν ποιεῖν (ou ὁ Σωκράτης ἐντυχών ποτε τῷ Ἀριστοφάνει τῷ αὐτὸν κωμῳδήσαντι ἠρώτησεν αὐτὸν μή που ἔτι δέοιτο αὐτοῦ ὥστε τὸ πλῆθος γελᾷν ποιεῖν, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) ὠργίσθη αὐτῷ ou τοσούτου ἔδει ὁ Σωκράτης τῷ Ἀριστοφάνει ὀργισθῆναι τῷ αὐτὸν κωμῳδήσαντι ὥστε ἐντυχών ποτε ἠρώτησεν αὐτὸν μή που δέοιτο ἔτι αὐτοῦ ὥστε τὸ πλῆθος γελᾷν ποιεῖν); — Οὐχ ὅπως (ou οὐχ ὅτι) ὁ δεύτερος πρὸς τοὺς Καρχηδονίους πόλεμος τὸν τῶν Ῥωμαίων δῆμον ἐξησθένισεν, ἀλλὰ (ou ἀλλὰ καὶ) ἐκ ταύτης τῆς πείρας ἰσχυρότερος καὶ φοβερώτερος ἑαυτοῦ ἐξῆλθεν (ou ὁ τῶν Ῥωμαίων δῆμος ἐκ ταύτης τῆς πείρας ἰσχυρότερος καὶ φοβερώτερος ἑαυτοῦ ἐξῆλθεν, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοιγε δὴ ou μή τί γε δὴ) αὐτὸν ὁ δεύτερος πρὸς τοὺς Καρχηδονίους πόλεμος ἐξησθένισεν ou τοσούτου ἐδέησεν ὁ δεύτερος πρὸς τοὺς Καρχηδονίους πόλεμος τὸν τῶν Ῥωμαίων δῆμον ἐξασθενίσαι ὥστε ἐκ ταύτης τῆς πείρας ἰσχυρότερος καὶ φοβερώτερος ἑαυτοῦ ἐξῆλθεν). — Οὐχ ὅπως (ou οὐχ ὅτι) λεκτέον ἐστὶ τὴν τοῦ Ἀλεξάνδρου ἀρχὴν δι' ἅπερ αὐτὸς ζῶν ἥμαρτε διασπαραχθῆναι, ἀλλὰ (ou ἀλλὰ καὶ) μόνος οἷός τε ἦν ταύτην τὴν ἄπειρον βασιλείαν κατέχειν (ou ὁ Ἀλέξανδρος μόνος οἷός τε ἦν ταύτην τὴν ἄπειρον βασιλείαν κατέχειν, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) λεκτέον ἐστὶ τὴν ἀρχὴν αὐτοῦ δι' ἅπερ αὐτὸς ζῶν ἥμαρτε διασπαραχθῆναι ou τοσούτου δεῖ εἶναι λεκτέον τὴν τοῦ Ἀλεξάνδρου ἀρχὴν διασπαραχθῆναι δι' ἅπερ αὐτὸς ζῶν ἥμαρτεν ὥστε μόνος οἷός τε ἦν ταύτην τὴν ἄπειρον βασιλείαν κατέχειν). — Οἱ μέγιστοι τῶν πάλαι στρατηγοὶ οὐχ ὅπως (ou οὐχ ὅτι) ἐπὶ προπετεῖ τινι ἀνδρείᾳ ἐφιλοτιμοῦντο, ἀλλὰ (ou ἀλλὰ καὶ) πεφυλαγμένως μόνον καὶ μεγάλης χρείας οὔσης πρὸς τοὺς κινδύνους ἐχώρουν ou (οἱ μέγιστοι τῶν πάλαι στρατηγοὶ πεφυλαγμένως μόνον καὶ μεγάλης χρείας οὔσης πρὸς τοὺς κινδύνους ἐχώρουν, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) ἐπὶ προπετεῖ τινι ἀνδρείᾳ ἐφιλοτιμοῦντο ou τοσούτου ἔδεον οἱ μέγιστοι τῶν πάλαι στρατηγοὶ ἐπὶ προπετεῖ τινι ἀνδρείᾳ

φιλοτιμεῖσθαι ὥστε πεφυλαγμένως μόνον καὶ μεγάλης χρείας οὔσης πρὸς τοὺς κινδύνους ἐχώρουν.

2. Τὰ πλεῖστα τῆς Ἰταλίας ἔθνη οὐχ ὅπως (οὐχ ὅτι) τὴν τῶν Ῥωμαίων δύναμιν ἀναιρεῖν διενοοῦντο, ἀλλὰ (ou ἀλλὰ καὶ) τὰ ὅπλα ἐλάμβανον μόνον ἵνα τῆς Ῥωμαϊκῆς πολιτείας λίαν ἐπιθυμητῆς τυγχάνοιεν (ou τὰ πλεῖστα τῆς Ἰταλίας ἔθνη τὰ ὅπλα ἐλάμβανον μόνον ἵνα τῆς Ῥωμαϊκῆς πολιτείας λίαν ἐπιθυμητῆς τυγχάνοιεν, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) τὴν τῶν Ῥωμαίων δύναμιν ἀναιρεῖν διενοοῦντο ou τοσούτου ἔδεον τὰ πλεῖστα τῆς Ἰταλίας ἔθνη διανοεῖσθαι τὴν τῶν Ῥωμαίων δύναμιν ἀναιρεῖν ὥστε τὰ ὅπλα ἐλάμβανον μόνον ἵνα τῆς Ῥωμαϊκῆς πολιτείας λίαν ἐπιθυμητῆς τυγχάνοιεν. — Οὐχ ὅπως (ou οὐχ ὅτι) τὰ ἀτυχήματα τῶν Ῥωμαίων τὸ φρόνημα κατέβαλλεν, ἀλλὰ (ou ἀλλὰ καὶ) μαλακώτεροι ἀεὶ ἦσαν νικήσαντες ἢ νικηθέντες (ou ἀεὶ οἱ Ῥωμαῖοι μαλακώτεροι ἦσαν νικήσαντες ἢ νικηθέντες οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) τὰ ἀτυχήματα αὐτῶν τὸ φρόνημα κατέβαλλεν, ou τοσούτου ἔδει τὰ ἀτυχήματα τὸ τῶν Ῥωμαίων φρόνημα καταβάλλειν ὥτε ἀεὶ μαλακώτεροι ἦσαν νικήσαντες ἢ νικηθέντες). — Οἱ Αἰγύπτιοι οὐχ ὅπως (ou οὐχ ὅτι) τὴν τῶν Περσῶν βασιλέων ἐπικράτειαν ἔστερξαν οὓς βαρβάρους εἶναι ἐνόμιζον, ἀλλὰ (ou ἀλλὰ καὶ) ἀποστάσεις ποιούμενοι οὐ διέλιπον μέχρις οὗ βασιλεὺς Ἕλλην ἐν τῇ Ἀλεξανδρείᾳ ἐβασίλευσεν (ou οἱ Αἰγύπτιοι οὐ διέλιπον ἀποστάσεις ποιούμενοι μέχρις οὗ βασιλεὺς Ἕλλην ἐν τῇ Ἀλεξανδρείᾳ ἐβασίλευσεν, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) τὴν τῶν Περσῶν βασιλέων ἐπικράτειαν ἔστερξαν οὓς βαρβάρους εἶναι ἐνόμιζον ou τοσούτου ἔδεον οἱ Αἰγύπτιοι τὴν τῶν Περσῶν ἐπικράτειαν στέργειν οὓς βαρβάρους εἶναι ἐνόμιζον ὥστε οὐ διέλιπον ἀποστάσεις ποιούμενοι μέχρις οὗ βασιλεὺς Ἕλλην ἐν τῇ Ἀλεξανδρείᾳ ἐβασίλευσεν). — Αἱ ἐποικίαι οὐχ ὅπως (ou οὐχ ὅτι) τοῦ γένους ἐπελανθάνοντο, ἀλλὰ (ou ἀλλὰ καὶ) τῇ μὲν πόλει ἀεὶ συνημμέναι ἔμενον, πᾶσαν δὲ τὴν ἀρχὴν ἐπλήρουν Ῥωμαίων (ou αἱ ἐποικίαι τῇ μὲν πόλει ἀεὶ συνημμέναι ἔμενον, πᾶσαν δὲ τὴν ἀρχὴν ἐπλήρουν Ῥωμαίων, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) τοῦ γένους ἐπελανθάνοντο ou τοσούτου ἔδεον αἱ ἀποικίαι τοῦ γένους ἐπιλανθάνεσθαι ὥστε τῇ μὲν πόλει ἀεὶ συνημμέναι ἔμενον, πᾶσαν δὲ τὴν ἀρχὴν ἐπλήρουν Ῥωμαίων). — Ἡ περισσὴ ἐπιστήμη οὐχ ὅπως (ou οὐχ ὅτι) σπουδῆς ἐστιν ἀξία, ἀλλὰ (ou ἀλλὰ καὶ) ἔστιν ἃ πολλάκις μᾶλλον συμφέρει ἀγνοεῖν ἢ εἰδέναι (ou ἔστιν ἃ πολλάκις μᾶλλον συμφέρει ἀγνοεῖν ἢ εἰδέναι, οὐχ ὅπως (ou οὐχ ὅτι) ἡ περισσὴ ἐπιστήμη σπουδῆς ἐστιν ἀξία ou τοσούτου δεῖ ἡ περισσὴ ἐπιστήμη σπουδῆς εἶναι ἀξία ὥστε ἔστιν ἃ πολλάκις μᾶλλον συμφέρει ἀγνοεῖν ἢ εἰδέναι). — Οἱ ῥήτορες οἱ

ἀληθῶς πλείστου ἄξιοι οὐχ ὅπως (ou οὐχ ὅτι) τῷ τῆς ἑαυτῶν ἀρχομένης φήμης λαμπρῷ τυφλοῦνται, ἀλλὰ (ou ἀλλὰ καὶ) ἀεὶ οἴονται ἑαυτοὺς πόῤῥωτάτω εἶναι τῶν πάλαι (ou οἱ ῥήτορες οἱ ἀληθῶς πλείστου ἄξιοι ἀεὶ οἴονται ἑαυτοὺς πόῤῥωτάτω εἶναι τῶν πάλαι, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) τῷ τῆς ἑαυτῶν ἀρχομένης φήμης λαμπρῷ τυφλοῦνται ou τοσούτου δέουσιν οἱ ῥήτορες οἱ ἀληθῶς πλείστου ἄξιοι τῷ τῆς ἑαυτῶν φήμης ἀρχομένης λαμπρῷ τυφλοῦσθαι ὥστε οἴονται ἀεὶ ἑαυτοὺς πόῤῥωτάτω εἶναι τῶν πάλαι). — Οὐχ ὅπως (ou οὐχ ὅτι) οἱ Λακεδαιμόνιοι, τοῦ Ἐπαμεινώνδα θανόντος, τὴν ἑαυτῶν δύναμιν ἀνέλαβον, ἀλλὰ (ou ἀλλὰ καὶ) ἐκ τοῦδε ἐπαύσαντο περίβλεπτοι ὄντες ἐν τοῖς Ἕλλησι, τῆς ἡγεμονίας εἰς τοὺς Μακεδόνας μεταπεσούσης, ou ἐκ τοῦδε οἱ Λακεδαιμόνιοι ἐπαύσαντο περίβλεπτοι ὄντες ἐν τοῖς Ἕλλησι, τῆς ἡγεμονίας εἰς τοὺς Μακεδόνας μεταπεσούσης, οὐχ ὅπως (ou οὐχ ὅτι ou μήτοι γε δὴ ou μή τί γε δὴ) τοῦ Ἐπαμεινώνδα, θανόντος τὴν ἑαυτῶν δύναμιν ἀνέλαβον ou τοσούτου ἐδέησαν οἱ Λακεδαιμόνιοι, θανόντος τοῦ Ἐπαμεινώνδα, τὴν ἑαυτῶν δύναμιν ἀναλαβεῖν ὥστε ἐκ τοῦδε ἐπαύσαντο περίβλεπτοι ὄντες ἐν τοῖς Ἕλλησι, τῆς ἡγεμονίας εἰς Μακεδόνας μεταπεσούσης).

257ᵉ Exercice.

Suite des prépositions et conjonctions composées.

Ἡ σύγκλητος ἐπεὶ ἐπύθετο τὸν Ἀννίβαν μετὰ τὴν ἐν Κάνναις μάχην ἀντὶ τοῦ ἐπικεῖσθαι τῇ νικῇ ὅτι οὐδὲν ἄλλο διανοεῖται ἢ ἀπολαύειν αὐτῆς, ἀνεθάῤῥησεν. — Ὁ μὲν γελωτοποιὸς τῷ σκώμματι ἐν παντὶ χρόνῳ καὶ εἰκῇ, ὁ δὲ ῥήτωρ σπανίως μόνον καὶ ἐξ ἀνάγκης χρῆται. — Πόσοι ἀντὶ τοῦ τοῖς τῶν φιλοσόφων διδάγμασιν εἰς καλόν τι χρήσασθαι ἐφ' ἡδονῇ ματαίᾳ μόνον αὐτοὺς ἀκροησόμενοι ἔρχονται. — Οἱ μὲν τῶν Ῥωμαίων στρατοὶ ῥᾳδίως ἔφερον τὸν πόνον ἅτε συνεχῶς πονοῦντες, οἱ δὲ ἡμῶν στρατιῶται οὐ διαλείπουσιν ἐκ τοῦ ἄγαν πόνου εἰς τὴν ἄγαν ἀργίαν μεταπίπτοντες. — Ἀλεξάνδρου τοῦ Σεβήρου τὴν εἰρήνην ἀπὸ τῶν Γερμανῶν ὠνησαμένου ἀντὶ τοῦ μάχεσθαι, τοῦτ' ἀγανακτήσαντα τὰ τάγματα ἐφόνευσεν αὐτόν. — Ἡ φύσις τὰ μὲν ἄνθη πρὸς χάριν μόνον γεννῶσα πολλάκις ἡμερησίας οὐ πλέον ζωῆς αὐτοῖς ἔδωκε, τὰ δὲ δένδρα τὰ τροφήν τε καὶ τὰ ἄλλα εἰς τὸν βίον χρήσιμα παρέχειν μέλλοντα πολλὰ ἔτη καὶ ἐνίοτε δὴ ὅλας ἑκατονταετηρίδας βιῶναι ἠξίωσεν. — Οὗτοι τὰ πολλὰ ἔν τινι τοὺς ἄλλους πάντας ὑπερβάλλουσιν οἱ ἀντὶ τοῦ μυρίοις προσέχειν τὸν νοῦν ἑνὸς μόνου ἔχονται. — Οὐχ ὁρῶμεν τοὺς τῶν Ῥωμαίων στρατοὺς τοὺς ἐν τοσαύταις χώραις καὶ τὸ περιέχον μάλα διαφόροις στρατευομένους πολὺ ταῖς νόσοις διαφθαρῆναι, εἰς νῦν δὲ σχεδὸν ἀεὶ στρατεύματα,

καὶ μὴ μαχεσάμενα, ἐν μιᾷ στρατείᾳ ὅλα ὡς ἔπος εἰπεῖν τέτηκεν. — Ὁ Λυκοῦργος ἀντὶ τοῦ τοῖς δούλοις ἐπιτρέψαι τὴν τοῦ παιδαγωγεῖν ἐπιμέλειαν ἄρχοντά τινα τῶν κυριωτάτων κατέστησε τῆς ἀγωγῆς τῶν παίδων ἐπιστατήσοντα. — Ὁ ἄνθρωπος οὐκ ἔστιν ἔργον σχέδιον καὶ ἀνεπιτήδευτον, τῆς θείας δὲ σοφίας ἔργον τελειότατον. — Πᾶσαι μὲν ἄλλαι τοῦ νοῦ δυνάμεις μόνον πρὸς ὀλίγα τινὰ χρήσιμοί εἰσιν, ἡ δὲ τοῦ λόγου ἀκρίβεια κατὰ πάσας τὰς πράξεις καὶ πάντα τὰ τοῦ βίου μέρη ὠφέλιμος.

258ᵉ Exercice.

Suite des prépositions et conjonctions composées.

1. Πολλῇ μόνον καρτερίᾳ τε καὶ τληπαθείᾳ οἱ χριστιανοὶ τοὺς διώκοντας ἐνίκησαν. — Εἰ τῷ δικολόγῳ χαλεποῖς τε καὶ πικροῖς σκώμμασι χρήσασθαι οὐκ ἔξεστιν, ὅσῳ μᾶλλον αἰσχραῖς λοιδορίαις (ou τῷ δικολόγῳ χαλεποῖς τε καὶ πικροῖς σκώμμασι χρήσασθαι οὐκ ἔξεστιν, οὐχ ὅπως (ou·οὐχ ὅτι) αἰσχραῖς λοιδορίαις). — Εἰ ὁ ἄνθρωπος τοῦ δόντος οὐκ ἐπιλανθάνεται καὶ καλῶς ἀνθ' ὧν εὖ ἔπαθε ποιεῖ, πολλῷ μᾶλλον οὐ δεῖ τοῦ Κυρίου ἐπιλανθάνεσθαι ou ὁ ἄνθρωπος τοῦ δόντος οὐκ ἐπιλανθάνεται καὶ καλῶς ἀνθ' ὧν εὖ ἔπαθεν ποιεῖ ou οὐχ ὅπως (ou οὐχ ὅτι) δεῖ τοῦ Κυρίου ἐπιλανθάνεσθαι. — Πολλοῖς μόνον πόνοις καὶ πολλῇ τέχνῃ οἱ ταύτας τὰς χώρας οἰκοῦντες ἐξ ἀκάρπου δαπέδου λιτὴν τροφὴν ἐξαιροῦνται. — Ἡ μέθη κακόν ἐστιν αἰσχρὸν ἐν ἰδιώτῃ, πολλῷ δὲ μᾶλλον (ou μὴ ὅτι) ἐν βασιλεῖ. — Ἐπεὶ σφόδρα δὴ μέγας δοκεῖν ἐπιθυμεῖς, ἔφη ὁ Μέντωρ τῷ Ἰδομενεῖ, τὸ ἀληθές σου μέγεθος διέφθειρας. — Ὥσπερ τὸ σῶμα πολλὰ παθὸν πρὸς τὴν ὀδυνὴν ἤδη ἀναισθήτως ἔχει, οὕτω καὶ οἱ νεανίαι πολλὰ ψεχθέντες πρὸς τὰς μέμψεις. — Εἰ ἡ ἀρετὴ καὶ ἐν ἐχθρῷ ἐστιν ἀγαπητὸν, πολλῷ μᾶλλον δεῖ ἡμᾶς αὐτὴν στέργειν ἐν φίλῳ. — Οἱ ἐκ Βυζαντίου Ῥωμαῖοι διὰ συχνὴν δεσποτῶν μεταβολὴν οὐκέτι περὶ οὐδένα ἐσπούδαζον. — Οἱ στρατιῶται πολλὰ διαφθείροντες καὶ τοὺς αὐτοκράτορας ἀπεστέρουν ὁπόθεν μισθὸν αὐτοῖς ἀποδώσουσιν.

2. Ἔθος ἐστὶν ἄτοπον περὶ τῶν σπουδαιοτάτων ἐν τοῖς συμποσίοις πράττειν, ὅταν δὴ μεθύοντες μόλις μὲν ὁρᾷν καὶ ἀκούειν δυνώμεθα, πολλῷ δὲ μᾶλλον (ou οὐχ ὅπως ou οὐχ ὅτι) ὑγιῆ λέγειν. — Εἰ οἱ Μακεδόνες ἐπὶ τῷ τοῦ Φιλώτα καὶ τοῦ Παρμενίωνος φόνῳ ἐδυσχέραινον, ὅσῳ μᾶλλον ἀγανακτεῖν ἔμελλον ἐπὶ τῇ τοῦ Κλείτου σφαγῇ τοῦ καὶ τὸν βίον Ἀλεξάνδρῳ σώσαντος καὶ αἰτίαν οὐκ ἔχοντος ὡς τούτῳ τῷ βασιλεῖ ἐπιβουλεῦσαι. — Πολλῇ δὴ δεινότητι μόνον οἷόν τε ἦν σώζεσθαι τὴν Ἑλληνικὴν τῶν Μασσιλιωτῶν ἐποικίαν, δυσμενοῦς καὶ πολεμικοῦ ἔθνους κύκλῳ αὐτὴν περιοικοῦντος. — Παρὰ τοῖς Κέλταις τῷ μὲν ἀνδρὶ ἐξουσία ἦν τὴν γυναῖκα

καὶ τοὺς παῖδας θανατοῦν, πολλῷ δὲ μᾶλλον (ου μὴ ὅτι) τῷ δεσπότᾳ τοὺς δούλους. — Ὁ Κάτων συχνῶς ἐν τῇ συγκλήτῳ φήσας ἀναιρετέον εἶναι τὴν Καρχηδόνα οὐ μόνον πόλλοὺς τῶν βουλευτῶν ἀλλὰ καὶ τὸν πλεῖστον δῆμον τοῦτ' ἔπεισεν. — Οἱ ἄνθρωποι συχνῶς τὰ τοῦ θεοῦ ἔργα ὡς καλά ἐστιν καὶ λαμπρὰ θαυμάζοντες, ἐκεῖνα αὐτὸν εἶναι θεὸν ἡγήσαντο.

259ᵉ Exercice.

Verbes : infinitif français rendu par un mode personnel (*Grammaire*, § 667).

Τί ἄν τις τῷ γήρᾳ ἐγκαλοίη ὅτι τοῦ θανάτου ἐγγύς ἐστιν, ἐπεὶ ἐκεῖνος ἡμῖν κατὰ πᾶσαν ἡλικίαν ἐπίκειται; — Τί ἄν τις εἴποι περὶ τῆς τούτων τῶν ὀρνίθων πρὸς τοὺς νεοσσοὺς ἐπιμελείας ὡς δὴ τρέφουσιν αὐτοὺς καὶ σιτία αὐτοῖς προσφέρουσιν ἕως οἷοί τε ὦσιν αὐτοὶ ἐξίπτασθαι ἐπὶ τὴν τροφήν. — Τί πάθω; ποῖ τράπωμαι, εἰ αὐτοὶ οἱ φίλοι ταῖς τῶν ἐχθρῶν διαβολαῖς πιστεύουσιν; — Πῶς οὐκ ἂν τὸν Ῥηγοῦλον τῆς ἁπλότητός τε καὶ τῆς μεγαλοψυχίας θαυμάσαιμεν ὃς τοῖς Ῥωμαϊκοῖς στρατεύμασιν ἐπισταθεὶς ἀφεθῆναι ᾐτεῖτο ὅπως ἔλθοι τὸ χωρίον γεωργεῖν τὸ ἀπόντος αὐτοῦ καταλελειμμένον; — Ποῦ τὸ ἀληθὲς εὕρωμεν εἰ αὐτοὶ οἱ ἱστοριογράφοι ἐξουσίαν ἔχειν νομίζουσι μύθοις κοσμῆσαι ὅσα διηγοῦνται; — Ὦ θεοί, τί τοιοῦτον βασιλέα οἷον Σέσωστριν ἐδείξατε μὲν τοῖς ἀνθρώποις, οὕτω δὲ ταχέως ἡρπάσατε; — Τί τὸν Κῦρον οὐκ ἂν μιμησαίμεθα ὃς τῷ τῆς Ἀσσυρίας βασιλεῖ πολεμῶν πρὸς τὸν ἀνταγωνιστὴν συνέθετο ἀμφοτέρους τῶν γεωργῶν φείσεσθαι; — Τί παθὼν, εἰπέ μοι, ὁ Ἀντίοχος διὰ τὴν τῶν Ῥωμαίων δύναμιν εἰκότως ἐν φροντίσιν ὤν, οὐ πρότερον αὐτοῖς ἐπολέμησε πρὶν ἢ Φίλιππος κατεβλήθη; — Πῶς ἄν τις καὶ τὰ ὄντα ἀγαθὰ τῶν νομιζομένων ἀγαθῶν, καὶ τὴν ψευδῆ δόξαν τοῦ ἀληθῶς μεγέθους καὶ τὴν προσποίητον ἀρετὴν τῆς οὐ πλαστῆς χρηστότητος διακρίναι; — Ὁ Ἀττίλας αἵματι καὶ φόνῳ ἐνειθισμένος εἰς τὴν Κελτικὴν στρατεύματι ἀπείρῳ τὸ πλῆθος εἰσέβαλε. — Τί δ' ἄν τις αὐτῷ παραβάλοι; πῇ τοῦτον τὸν δεινὸν χειμῶνα ἀποτρέψῃ τοσαύταις χώραις ἐφεστηκότα; — Πρὸς τίνα ἀποβλέψωμεν εἰ μὴ πρὸς τὸν ὕπατον πάντων τῶν ἀγαθῶν διανομέα; — Ποτέρῳ πιστεύσωμεν τῷ Ξενοφῶντι ἢ τῷ Ἡροδότῳ οἳ οὕτω διαφόρως τοῦ Κύρου τὴν πρώτην ἡλικίαν καὶ τὸν θάνατον διηγοῦνται; — Τίνι τούτους τοὺς χωρῶν πορθητὰς ὁμοίους εἶναι φαίημεν ἂν εἰ μὴ παρεκβᾶσι ποταμοῖς καὶ τῇ ὁρμῇ πάντα παρασύρουσιν ἢ ἀγρίοις θηρίοις πάντα τὰ τυγχάνοντα καταρηγνῦσιν ἢ ἀναστρέφουσι; — Τί τοῦτον τὸν ἄνθρωπον λέξω ὃς πᾶσαν τὴν ἡμέραν ἐν μέσοις τοῖς ἄνθεσι, μᾶλλον δὲ ἀντικρὺς ἑνὸς ἄνθους ἕστηκε;

260e Exercice.

Suite de l'infinitif français rendu par un mode personnel (*Grammaire*, § 667, *Remarque*).

Παρὰ τοῖς Αἰγυπτίοις ἴδιός τις νομὸς ἦν ἑκάστῃ τέχνῃ ἀπονενεμημένος ὥστε οὐκ εἶχον οἱ ἀργοὶ ὅπου λάθοιεν. — Ἀρ' ἐν τοῖς ἐνταῦθα ἀγαθοῖς ἐστιν ὁπόθεν ἡ τῶν ἀνθρώπων ψυχὴ ἐκπληρωθήσεται; — Πόσοι ἄνθρωποι οὐκ ἔχουσιν ὅπως τῇ σχολῇ χρήσονται. — Ὁ Φλάβιος ἐπὶ πολὺ ἐσίγησεν ὡς οὐκ ἔχων ὅ τι τῷ Θεοδοσίῳ δίκαια τοῖς Ἀντιοχεῦσιν ἐγκαλοῦντι ἀποκρίνοιτο. — Ὁ Ἡρακλῆς οὐκ ἔχων ἀφ' οὗ δίκην λαμβάνοι δεινῶς βασανιζόμενος, τοῦ σχετλίου Λίχου καταδραξάμενος τοῦ τὸν ὀλέθριον χιτῶνα ἐνεγκόντος αὐτῷ, εἰς μέσα τὰ κύματα ἔρριψεν. — Οἱ ἄνθρωποι οἱ ἑαυτοὺς τοσούτοις ὀνόμασι μεγαλοπρεπέσι κοσμοῦντες οὐκ ἔχειν δοκοῦσιν ὅ τι ἐπινοήσωσιν ὥστε τὴν ἀσθένειάν τε καὶ φαυλότητα αὑτῶν κρύψαι. — Ὁ βασιλεὺς ὁ μὴ ἔχων ᾧτινι πιστεύσῃ, ζῇ μόνος πολλοῦ περὶ αὐτὸν ὄντος κολάκων καὶ ὑπηρετῶν ὄχλου. — Οἱ Ἀθηναῖοι ἀποροῦντες ὅποι τράποιντο τοῦ Ξέρξου ἐγγὺς ὄντος, ἔπεμψαν εἰς Δελφοὺς χρησόμενοι. — Ὁ Ἀννίβας τὸ μὲν φρούριον ὑπὸ τῶν τοῦ Προυσίου στρατιωτῶν περικεκυκλωμένον ὁρῶν, οὐκ ἔχων δὲ ὅπῃ τοὺς Ῥωμαίους διαφύγῃ, μᾶλλον θνήσκειν ἑκουσίως εἵλετο ἢ εἰς τὰς τῶν πολεμίων χεῖρας πεσεῖν. — Τὰ μὲν ἐν ὕλαις θηρία φωλεὰ ἔχει, ὁ δὲ τοῦ ἀνθρώπου υἱὸς οὐχ ἔχει ὅπου τὴν κεφαλὴν ἐρείσει. — Ὅτε ὁ ἥλιός τε καὶ τὰ ἄστρα ἐπιλείποι, οἱ πάλαι ναῦται ἠπόρουν ὅποι τὰς ναῦς τράποιεν.

261e Exercice.

Infinitif grec pour l'impératif (*Grammaire*, § 668).

Μὴ κρίνειν πρὶν τῶν ἀμφοτέρων ἀκοῦσαι. — Μήποτε ἐκ τῆς ἀγορᾶς ἥκειν εἰ μὴ φίλον κτησάμενον. — Διδασκάλους ἀμέμπτους ζητεῖν. — Μεμνῆσθαι τὴν δόξαν ἀόριστόν τι εἶναι καὶ οὗ τοῦ τέρματος οὐδεὶς οἷός τε ἐστὶν ἐφικνεῖσθαι. — Τοῖς δικαίοις ταλαιπωροῦσιν ἐπικουρεῖν· τὰ γὰρ ἀξίοις οὖσι δοθέντα χρηστοῦ ἀνθρώπου θησαυρός. — Βραδέως μὲν βουλεύεσθαι, ταχέως δὲ πράττειν. — Μὴ ἐπὶ μεδίμνου καθίζεσθαι, εἶπεν ὁ Πυθαγόρας, τοῦτ' ἔστι τὴν ἀργίαν καὶ τὴν βλακείαν φεύγειν. — Ὅταν μεγάλην τινὰ ἀρχὴν ἄρξῃς, μήποτε πονηροῖς ἀνθρώποις χρῆσθαι. — Τὴν σχολὴν ποιεῖσθαι πρὸς τὸ τοὺς τῶν σοφῶν λόγους ἀκροᾶσθαι. — Μὴ ἐλπίζειν τὰ μέμψεως ἄξια ἐν λήθῃ κεῖσθαι ἄν· ἴσως γὰρ ταῦτα ποιήσας τοὺς μὲν ἄλλους λήσεις, σεαυτὸν δὲ οὐδεπώποτε.

262° Exercice.

Présent français rendu par le parfait (*Grammaire*, § 669).

1. Εὐδαίμονες ἔστε οἷς ἡ τύχη ἐκπεπλήρωται. — Δυσδαίμονες οἷς καὶ ἡ ἐλπὶς ἡρπάσθη. — Τὰ τοῦ Σιῶνος ἱερὰ καταβέβληται, ἡμέτεραι δὲ οἰκίαι ἠδαφισμέναι, καὶ γυναῖκες παῖδές τε εἰς δουλείαν ἀπηγμένοι εἰσίν. — Ὁ Κωσταντῖνος, παροξυνόντων αὐτὸν τῶν ἑταίρων στασιάζουσί τισιν ἐπεξελθεῖν τὴν εἰκόνα αὐτοῦ καταλεύσασι, τὸ πρόσωπον ψηλαφήσας οὐκ ἔφη τετρῶσθαι. — Ἀρίστανδρος ὁ μάντις τὸν Ἀλέξανδρον παραμυθούμενος ὅτι τὸν Κλεῖτον ἐφόνευσεν εἶπε τὸν ἐκείνου θάνατον πάλαι καθειμαρμένον εἶναι. — Ἔστι τῶν ζώων ἅπερ ἡμέρωται ἔνια, οἷον ἡ οἷς, τῆς τῶν ἀνθρώπων ἐπικουρίας δεόμενα. — Τὰ ὕδατα οὕτω τεχνικῶς διανενέμηται ὥστε κατὰ γῆν περίοδον ποιεῖται, ὥσπερ τὸ αἷμα κατὰ τὸ ἀνθρώπινον σῶμα περιφέρεται. — Τί σοι περὶ ἀνθρώπου δοκοῖ ἂν λέγοντος· « Οὗτος μὲν ὁ ἀνδριὰς κατὰ τὴν τέχνην καὶ ὡς κομψότατα εἴργασται, αὐτὴ δὲ ἡ τύχη εἰργάσατο ἐκεῖνον; » — Ἡ Τελεσσίλλης εἰκὼν ἣ τὸ Ἄργος τῇ ἀρετῇ ἔσωσεν, ἐπὶ στήλης ἀντικρὺ τοῦ τῆς Ἀφροδίτης ναοῦ τέθειται. — Πᾶσαι αἱ Ἑλληνίδες πόλεις ἔργοις εἰ μὴ τελείοις ἀλλά γε τεχνητοῖς κεκόσμηνται. — Ἑαλώκεισαν μὲν αἱ Ἀθῆναι· καὶ τοῦ πολέμου μεθ' ἑπτὰ καὶ εἴκοσιν ἔτη διαπεπραγμένου αἱ νῆσοι αἵ τε παραθαλάσσιοι πόλεις ζυγοῦ ἀπεχθοῦς ἀπηλλαγμέναι ἦσαν· ἡ δὲ Σπάρτη οὐχ οὕτως διέκειτο ὡς αὐτὰς ἡσύχους ἢ αὐτονόμους ἐᾷν.

2. Ἐν τῷ τοῦ Διὸς σωτῆρος προνάῳ ὑπὸ Εὐφράνορος τοῦ ζωγράφου οἱ δώδεκα θεοὶ ἀπεικασμένοι εἰσὶ, καὶ ὁ τῶν Ἀθηναίων δῆμος καὶ ἡ ἱππομαχία καθ' ἣν Γρύλλος ὁ τοῦ Ξενοφῶντος τοῖς Θηβαίοις ὑπὸ τοῦ Ἐπαμεινώνδα ἀρχομένοις ἐπεχείρησεν. — Κεραμικά ἐστι τὰ ἀγάλματα οἷς ἡ τοῦ Ἀρείου πάγου στέγη περιέστεπται καὶ τὸν Σκείρωνα ἀπεικάζει εἰς θάλασσαν ὑπὸ τοῦ Θησέως καταῤῥιπτόμενον, τὸν δὲ Κέφαλον ὑπὸ τῆς Ἕω ἁρπαζόμενον. — Τὰ τῆς Βαιτικῆς ἔθνη ἐν σκηναῖς οἰκεῖ ὧν αἱ μὲν ἐκ διφθερῶν αἱ δὲ ἐκ φλοιῶν πεποίηνται. — Ἐν μεγάλῳ τινὶ μάχης γεγενημένης τόπῳ ὃν εἶδεν ὁ Ἡρόδοτος, τὰ μὲν τῶν Περσῶν κρανία εὔθραυστα ὄντα, τὰ δὲ τῶν Αἰγυπτίων στερεώτερα αὐτῶν τῶν λίθων οἷς ἀνεμέμικτο, τῶν μὲν τὴν μαλακίαν, τῶν δὲ τὴν καρτερὰν ἕξιν ἐδήλου. — Οἱ Ἕλληνες οὕτω πεπεισμένοι ἦσαν ὅτι τῇ σοφίᾳ προέχει ἡ Αἴγυπτος ὥστε οἱ μέγιστοι ἄνδρες ἐκείνων εἰς ταύτην τὴν χώραν ἐπορεύοντο τὴν σοφίαν μαθησόμενοι. — Ὁ ἐν τῇ Αἰγύπτῳ λαβύρινθος παρὰ τὴν Μοίριδα λίμνην ἵδρυται· οὐ δὴ ἦν βασίλειον ἓν, μᾶλλον δὲ δώδεκα βασιλείων πολυτελές τι σύστημα συμμέτρως διατεθειμένων καὶ διόδους ἐχόντων πρὸς ἄλληλα. — Ὁ Ἀτίλιος ἄρτι τὴν τῶν τελείων στολὴν περιθέμενος ᾔει μὲν, ὡς ἔθος ἐστὶ, σὺν πομπῇ φίλων

ἐπὶ θυσίας εἰς τὰ ἱερά· ἄφνω δὲ διέδραμεν ἡ φήμη ὅτι τοῖς πίναξι τῶν ἀναιρεθησομένων ἐνεγέγραπτο.

263ᵉ Exercice.

Verbes réfléchis français rendus par le passif (*Grammaire*, § 670).

1. Ὅσα μὲν ἡ γῆ φύει φθείρεται καὶ εἰς τὸν αὐτῆς κόλπον ἐπανερχόμενα νέον τι βλαστάνει· ἡ δὲ οὐδέποτε κάμνει, εἰ ἀποδώσεις αὐτῇ ὅσ' ἔδωκεν· πάντων γὰρ ἐξ αὐτῆς ἐξερχομένων καὶ εἰς αὐτὴν ἐπανερχομένων οὐδὲν μὲν ἐκεῖ ἀπόλλυται, πάντα δὲ τὰ σπέρματα εἰς αὐτὴν ἐπανήκοντα πολλαπλασιάζεται. — Ἴδοις ἂν πρῶτον εἰς τὴν Ἀρκαδίαν εἰσιὼν ναόν τινα τῷ Ἀχιλλεῖ ἱερόν, ὃς οὐδέποτε ἀνοίγεται· παρ' αὐτὸν δὲ οἱ τῶν Λακεδαιμονίων νεοὶ ἔρχονται θύσοντες. — Ὀρθῶς ἔλεξέ τις τοὺς τῶν παραθαλασσίων πόλεων τρόπους ταχέως τῇ τῶν ξένων τρόπων ἐμπιμίξει διαφθείρεσθαι. — Ὁ Μέγιλλός φησι τὴν ὄρυζαν ἐν τῇ Ἰνδικῇ πρὸ τῶν ὄμβρων σπείρεσθαι. — Τῶν Ἀθηναίων οἱ νέοι οὐ διαλείπουσιν ἀπὸ τοῦ ἑβδόμου ἄχρι τοῦ εἰκοστοῦ ἔτους ἀσκούμενοι· πρῶτον μὲν γὰρ ψῦχος καὶ θάλπος φέρειν ἐθίζονται, ἔπειτα δὲ σφαίρας μείζους ἢ μείους βάλλειν καὶ πρὸς ἀλλήλους ἀντιῤῥίπτειν. — Ἐπεὶ οἱ ποιηταί, ὥς φασι τινὲς φιλόσοφοι, τοὺς μὲν θεοὺς πάθεσι κινουμένους ἡμῖν ἐπιδεικνῦσι, τὰ δὲ τῶν ἀνθρώπων πάθη πάσης μέμψεως ἀπολύουσιν, οἱ παῖδες οἱ τὰ ποιήματα ἐκείνων τῇ μνήμῃ παραλαμβάνοντες, τῇ κακίᾳ συνεθίζονται πρὶν εἰδέναι ὁποία τις ἐστίν. — Ὅτε ἡ παρὰ τοῖς Ἀθηναίοις πολιτεία σπανίως μόνον ἐδίδοτο, σφόδρα καὶ δυνατοὶ δὴ βασιλεῖς ἀντεποιοῦντο αὐτῆς.

2. Οἱ Ἀθηναῖοι οὕτω θεατρομανοῦσιν ὥστε παρὰ τὰ Διονύσια πάντα τὰ πράγματα ἑαυτῶν παραλείποντες διημερεύουσι νέα δράματα θεώμενοι, ταύτῃ τῇ ὄψει οὔποτε κορεσθῆναι δυνάμενοι. — Οἱ στίχοι ῥᾷον τοῦ πεζοῦ λόγου τῇ μνήμῃ φυλάσσονται, μάλιστα δὲ ὅταν οἱ παῖδες οἷοί τε ὦσι τοῦ ῥυθμοῦ καὶ τοῦ μέτρου αἰσθάνεσθαι. — Τίς ποιητὴς ἀθάνατον μνήμην οὐκ ἤλπισεν; « Ἕως δὴ τὸ Καπιτώλιον στήσεται, εἶπεν ὁ Ὀβίδιος, οἱ στίχοι μου ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀναγνωσθήσονται. » — Ὁ ζῆλος οὐδαμοῦ οὕτως εὐτόνως ἐπέδωκεν ὡς ἐν τῇ ἀγορᾷ· ἐκεῖ γὰρ καθ' ἡμέραν γίνονται καὶ πάλιν τῶν εὐδοκίμων ἀθλητῶν πρὸς ἀλλήλους ἀγῶνες, ἐναντίον σοφῶν καὶ φρονίμων δικαστῶν καὶ πολλῆς θεατῶν συνδρομῆς οὔσης, οἵτινες τοῖς μὲν μεγάλοις πράγμασι περὶ ὧν ἐκεῖ λέγεται, μᾶλλον δ' ἔτι τῇ τῶν λεγόντων φήμῃ ἕλκονται· καὶ ἐκεῖ παντοία φαίνεται ἡ τοῦ λέγειν δεινότης. — Ὥσπερ φίλοις ἄρτι εἰς τὴν πόλιν ἣν οἰκοῦμεν ἀφικομένοις πάντα σπεύδομεν δεικνύναι ὅσα ἐκεῖ καλὰ καὶ σπάνια καὶ ἀξιοθέατά ἐστιν, οὕτω τοῖς παισὶ δεικνύντες χαίρωμεν ὅσα διδακτὰ καὶ ἀγαθὰ καὶ ὑψηλά ἐστιν ἐν τοῖς συγγραφεῦσιν οὓς διὰ χειρῶν ἔχουσιν. — Οὐκ ἐκεῖνός ἐστιν ὡς

ἀληθῶς σοφὸς, ὡς δοκοῦσί τινες νομίζειν, ὃς πάντα μὲν τὰ γεγραμμένα ἀναγιγνώσκει, πάντα δὲ λεγόμενα πυνθάνεται.

264ᵉ Exercice.

Être, c'est, c'est.... qui, c'est.... que (*Grammaire*, § 672).

1. Τίς οὕτω τὸν Τηλέμαχον ἀπὸ τῆς πατρίδος ἀπεῖργεν; ἡ θεὸς Ἀφροδίτη ἧς τὴν δύναμιν ἀπηρνήθη. — Παρ' ὑμῖν δὴ, εἶπεν ὁ Στρατόνικος τοῖς Σαμίοις, πᾶσαι αἱ τέχναι εὑρέθησαν· ὑμεῖς τὴν οἰκουμένην αὐταῖς ἐκοσμήσατε· ἡ μὲν γὰρ Ἑστία ὑμᾶς οἴκους οἰκοδομεῖν ἐδίδαξε, καὶ ὁ Ποσειδῶν ναῦς κατασκευάζειν· παρὰ δὲ τῆς Δήμητρος τὴν σίτου ἐργασίαν, παρὰ τοῦ Διονύσου τὴν ἀμπέλου καὶ παρὰ τῆς Ἀθηνᾶς τὴν ἐλαίας ἐλάβετε· καὶ ὁ Ζεὺς τοὺς λῃστὰς ἀνεῖλε τοὺς τὰ ὑμέτερα ἁρπάζοντας, Ἡρακλῆς δὲ ὑμᾶς ὄφεων καὶ λύκων καὶ παντοίων βλαβερῶν ζώων ἀπήλλαξεν. — Οὗτος οὖν ἐστιν ὁ Ἀλέξανδρος, ἀνέκραγεν Ἀνάξαρχος ὁ φιλόσοφος, εἰς ὃν πᾶσα ἡ οἰκουμένη ἀποβλέπει· ὁ δ' ὥσπερ ἀνδράποδον ἢ γυνὴ κλαίει. — Ὁ τῆς εὐσεβείας καὶ τῆς δικαιοσύνης ἔρως καὶ τοὺς βασιλεῖς μεγάλους καὶ τοὺς δήμους εὐδαίμονας ἀποφαίνει. — Νῦν, εἶπεν ὁ Κύριος, ἐγὼ ἀναστήσομαι· νῦν τὴν ἐμοῦ δύναμιν δηλώσω· νῦν ἡ δόξα μου πᾶσα ἐκλαμπρυνθήσεται. — Τίνι ἐπέτρεψαν οἱ Ῥωμαῖοι τῷ Σερτωρίῳ πολεμεῖν; τῷ Πομπηΐῳ. Τίνι δὲ τοὺς πειρατὰς ἀναιρεῖν; τῷ Πομπηΐῳ. Καὶ τίνι τὴν τοῦ Μιθριδάτου δύναμιν σχεδὸν ἤδη ἀνάστατον ὅλως καταβάλλειν; τῷ αὐτῷ Πομπηΐῳ. — Ὁ Σκηπίων πρῶτον τὴν νέαν Καρχηδόνα ἐπολιόρκησε· τοῦτο γὰρ ἦν τοῖς πολεμίοις ὁρμητήριον καὶ ὁπλοφυλάκιον καὶ σιτοδόκη καὶ χρημάτων θησαυρός· ἐκεῖ γὰρ πάνθ' ὅσα τῇ τῶν στρατευμάτων τροφῇ ἀναγκαῖα ἦν ἐν ἀσφαλεῖ εἶχον.

2. Τῇ δὴ περὶ τὰ πάσῃ τῇ Ἑλλάδι συμφέροντα προθυμίᾳ, καὶ τῇ ἀκριβεστάτῃ πρὸς τοὺς θεοὺς εὐσεβείᾳ καὶ τῷ τῆς πατρίδος καὶ τῆς ἰσότητος ἔρωτι οἱ κατὰ Μιλτιάδην καὶ Ἀριστείδην Ἀθηναῖοι εὐδαιμονίας μεγίστης πασῶν ὧν ἔστι μεμνῆσθαι ἐπέτυχον. — Τίνα ἀνταγωνιστὴν ὁ Δημοσθένης ἐφοβεῖτο μάλιστα; οὐ Δημάδην, οὐκ Αἰσχίνην, τὸν δὲ Φωκίωνα. — Ἐν νησῖδι τῇ Κῷ ὁ Ἱπποκράτης ἐγένετο κατὰ τὸ πρῶτον τῆς ὀγδοηκοστῆς ὀλυμπιάδος ἔτος. — Ὁ Νέρων μάλιστα πασῶν τῶν ἐλευθερίων τεχνῶν περὶ τὴν ποίησιν ἐσπούδασεν, εἴ γε καὶ οὐδεμιᾶς πλὴν τῆς φιλοσοφίας ἠμέλει. — Οὐ δὴ τῷ κεραυνίῳ πυρὶ οὐδὲ τοῖς ἐκ τοῦ πολέμου πορθήμασιν ἐκεῖνος ὁ ὀνομαστὸς Ἀρτέμιδος ἐν Ἐφέσῳ ναὸς ἀνῃρέθη, ἀλλὰ τῇ ἰδιώτου τινὸς ἀνοίᾳ ὃς μνήμην ἀθάνατον κτήσασθαι ἐβούλετο. — Μόνον παρὰ τοῖς πλουσίοις καὶ πεπαιδευμένοις ἔθνεσιν οἷον τοῖς Ἀθηναίοις καὶ τοῖς Σικελιώταις ὁ τῆς κωμῳδίας ἔρως καὶ γίγνεσθαι καὶ εἰς

βέλτιον ἐπιδιδόναι ἠδύνατο. — Ὁ Εὐριπίδης, εἰ καὶ πολλὰς τραγῳδίας ἔγραψεν, οὐ πάνυ εὐκόλως στίχους εὐκόλους ἐποίει. — Δεῖ με περὶ ἀρχῆς τινὸς λέγειν ἣ μάλιστα τὴν τῶν Ῥωμαίων πολιτείαν διεφύλαξε, τῆς δὴ τῶν τιμητῶν.

265e Exercice.

Est-ce suivi de *qui* ou de *que*, *c'est que* (*Grammaire*, § 672, *Remarque*).

1. Ὁ Περτίναξ εἰς ἀνάγκην ἦλθε τοὺς πραιτωριανοὺς τοὺς ἀποσφάζειν αὐτὸν μέλλοντας θωπεύειν. Ἆρ' οὕτως ὁ Καῖσαρ πρὸς τοὺς στασιάζοντας στρατιώτας ἠγόρευεν; — Ταύτην γὰρ τὴν χάριν ἐγὼ δίκαιος ἤμην παρὰ τῶν Ἀντιοχέων ἐλπίζειν; ἔλεγεν ὁ Θεοδόσιος. — Οὐχ ὁ Κικέρων πρῶτος τῶν Ῥωμαίων περὶ φιλοσοφίας συγγράμματα ἔγραψεν; — Ὦ Ῥωμαῖοι, οὗτος ὁ τύραννος οὗ τοὺς ἀνδριάντας κατάγνυτε, οὐχί ἐστιν ὁ αὐτὸς ᾧ ποτε ὡς φαῦλα ἀνδράποδα προσεκυνεῖτε; — Ἆρ' οὖν οὕτω χαλεπὸν τὸ σιωπᾶν; — Εἰ οἱ θεοὶ πάντων τῶν ἀγαθῶν αἴτιοί εἰσιν, οὐχὶ ὁμολογητέον ἐξ ἡμῶν μόνων τὰ ἡμέτερα κακὰ γίγνεσθαι; — Πότερον οἱ ἔμπειροί τε καὶ ἀνδρεῖοι στρατιῶται ἢ οἱ δεινοὶ στρατηγοὶ τοῖς Ἕλλησιν ἐπιλείπουσιν; οὐ δῆτα. Ἀλλ' αἱ στάσεις αὐτῶν τῷ Φιλίππῳ αὐτοὺς προδιδοῦσι τὰς χεῖρας καὶ τοὺς πόδας δεδεμένους. — Οὐ καθορῶ τὸν Ὀδυσσέα; πότερον εὐμενέσιν ἢ δυσμενέσι τοῖς θεοῖς χρώμενος σὺ εἰς Ἅδην ζῶν κατέβης; — Ἆρα κακοῦργοί εἰσι καὶ τῷ Καίσαρι ἐχθροὶ, οὗτοι οἱ ἄνθρωποι δεινῶς καταδιωκόμενοι, οἵτινες οὔποτε μετ' ἄλλων θάνατον κατὰ τοῦ βασιλεύοντος συνώμοσαν; — Ἆρ' εἷς ἀνὴρ πάντα πράττειν δυνηθείη ἂν ὅσα ὁ μῦθος τῷ Ἡρακλεῖ ἀναφέρει; — Αἴολε, πότερον σοὶ ἢ ἐμοὶ τὸ θαλασσοκρατεῖν ἐκ τῆς πεπρωμένης δέδοται;

2. Ἡ Καλυψὼ τὴν Ἀθηνᾶν οὐκ ἠδύνατο ἐπιγνῶναι τῷ Μέντορι προσεοικυῖαν· οἱ γὰρ ἀνώτεροι θεοὶ κρύπτουσι τοὺς κατωτέρους ὅ τι ἂν αὐτοῖς δόξῃ. — Ἡ νεανίας τῷ κόσμῳ ἐφηδόμενος, οἷον γυνὴ, τῆς δόξης ἄξιός ἐστιν; — Ὦ λίαν τολμηρὲ νεανία, ἆρα μόνον ἐπὶ ταύτης τῆς νήσου ἐπέβης εἰς ἣν οὐδενὶ τῶν θνητῶν ἔξεστιν ἐκβαίνειν, ὥστε τῆς μου δυνάμεως καταφρονῆσαι; — Τοῦτο δὴ μάλιστα τοὺς Ῥωμαίους παρὰ τὸν δεύτερον Καρχηδονιακὸν πόλεμον εἰς κίνδυνον κατέστησεν· ὁ γὰρ Ἀννίβας πρῶτον τοὺς ἑαυτοῦ στρατιώτας ῥωμαϊκῶς ἐξώπλισεν. — Ὑμεῖς γὰρ ἐπελάθεσθε ὅσων κινδύνων ὑμᾶς οἱ θεοὶ ἐξεῖλον, ὅσα τε κακὰ ἀφ' ὑμῶν ἀπέτρεψαν; — Ἐρῶ δὴ ὃ πολλάκις κατενόησα· οὔποτε γὰρ οἱ δῆμοι τοῖς ἔξω φοβερώτεροί εἰσιν ἢ τῶν ἐμφυλίων πολέμων ἄρτι ἐξελθόντες. — Πότερον οὐ πάντες βουλοίμεθ' ἂν, εἰ ἐν τοῖς αὐτοῖς ὄντες τυγχάνοιμεν, τοὺς ἡμῶν δούλους ταὐτὰ τοῖς τοῦ Μίλωνος δούλοις πρᾶξαι; — Ὁ Ἰδομενεὺς κατηφέστερος ἐγίγνετο καθ' ἡμέραν· ἑώρα γὰρ μηκέτι δυνάμενος τὸν Μέντορα

καὶ τὸν Τηλέμαχον ἐπὶ πολὺ ἔτι κατέχειν. — Πότερον παρὰ τῷ Κικέρωνι ἢ τῷ Πλάτωνι ἢ τῷ Δημοσθένει ταῦτα τὰ στίλβοντα νοήματα καὶ τὰ περίεργα σχήματα εὑρεῖν ἔστιν ἅτινα νῦν οὕτως εὐδοκιμεῖ;

266ᵉ Exercice.

C'est.... que de (*Grammaire*, § 673).

Ἆρ' οὐ δεινόν ἐστι τοὺς αὐτοὺς ὁρᾶν εὐπροσηγόρους μὲν καὶ χαρίεντας πρὸς τοὺς ξένους ὄντας, ἀηδεῖς δ' οἴκοι καὶ τραχεῖς; — Ἄτοπόν ἐστι καὶ αἰσχρὸν τοῖς μὲν τῶν προγόνων πράγμασι σεμνύνεσθαι, τὰ δὲ ἐναντία οἷς ἔπραξαν πράττειν. — Παραμυθία ἐστὶ τοῖς δυστυχοῦσι μὴ ἀξίως δυστυχεῖν. — Παρὰ τοῖς Σπαρτιάταις πάτριός τις ἀρετή ἐστι μὴ τὸν θάνατον φοβεῖσθαι. — Εἴη ἂν δεινὴ τοῖς κακοῖς βασιλεῦσι κόλασις τούτους ἀεὶ πρὸ ὀφθαλμῶν ἔχειν ὅσους ταλαιπώρους ἐποίησαν. — Παρὰ τοῖς πάλαι Ῥωμαίοις νόμος ἦν βέβαιος τὸν τὴν τάξιν ἀπολιπόντα ἢ τὰ ὅπλα κατὰ μάχην ἀποβαλόντα θανάτῳ ζημιωθῆναι. — Πάνυ δὴ τολμηρὸν ἦν σὺν πεντακισχιλίοις στρατιώταις καὶ πεντήκοντα ναῦσι πειρᾶσθαι τὴν ἀρχὴν ἀνατρέπειν τὴν ἐν τῇ Λιβύῃ ὑπὸ τῶν Οὐανδάλων κτισθεῖσαν. — Ὄνειδος ἦν τῷ Ἀδριανῷ τῶν ὑπὸ τοῦ Τραϊανοῦ κατεστραμμένων χωρῶν ἀναχωρῆσαι καὶ τότε πρῶτον τοὺς τῆς ἀρχῆς ὅρους εἰς τοὐπίσω κινῆσαι. — Πάλαι ἦν παρὰ τοῖς Ῥωμαίοις νενομισμένον τὸν θριαμβεύοντα ἑκάστῳ τῶν στρατιωτῶν ὀλίγον τι ἀργύριον διαδιδόναι· ὅθεν ὕστερον ἀφειδῆ καὶ δεινὰ ἐγένετο ἀναλώματα. — Ἦν παρὰ τοῖς τῆς Ἑλλάδος καὶ τῆς Ἀσίας ἔθνεσι νενομισμένον ναοὺς οἰκοδομεῖν τοῖς βασιλεῦσι καὶ δὴ τοῖς ἀνθυπάτοις οἵτινες αὐτῶν ἦρξαν. — Μαλακία ἦν ἡ μωρία τὸν Ἀντώνιον ἐᾶν καὶ τὸν Καίσαρα δημοσίᾳ θάπτειν καὶ τὸ ἐγκώμιον αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ ποιεῖσθαι. — Ἴδιόν ἐστι τοῦ θεοῦ οὐδὲν σφάλλεσθαι.

267ᵉ Exercice.

Suite de *c'est.... que de* (*Grammaire*, § 673, *Remarque*).

Τὸν δυσδαίμονα ὑβρίζει ὅστις ἐναντίον ἐκείνου τὴν ἑαυτοῦ εὐδαιμονίαν ἐπιδείκνυται (ou ὁ ἐναντίον ἐκείνου τὴν ἑαυτοῦ εὐδαιμονίαν ἐπιδεικνύμενος). — Τὰ μέγιστα ἀποστεροῖτ' ἂν ἅπερ ἐκ τῆς τῶν ποιητῶν ἀναγνώσεως ὠφελεῖσθαι ἔστιν, ὅστις οὐ προσέχοι (ou ὁ μὴ προσέχων) ταῖς ἐξαιρέτοις γνώμαις ἐν ἐκείνοις διεσπαρμέναις. — Πάνυ γε τὸν νοῦν μικροφυής ἐστιν ὅστις τοὺς παλαιοὺς καὶ τοὺς ξένους ἐκ τῶν παρ' ἡμῖν ἠθῶν καὶ τρόπων καὶ ἐξ ὧν αὐτοὶ τῷ νῷ προελάβομεν κρίνει (ou ὁ τοὺς.... κρίνων). — Δεινῶς τυφλός ἐστιν ὅστις μὴ ὁρᾷ (ou ὁ μὴ ὁρῶν) πανταχοῦ ἐν Ὁμήρῳ τὴν τῆς ψυχῆς ἀθανασίαν πιστευθῆναι παρὰ πᾶσι κατ' ἐκείνου τοὺς χρόνους.

— Τοὺς Ῥωμαίους ὑβρίζει ὅστις νομίζει (ou ὁ νομίζων) οὐδὲν αὐτοὺς ἐκείνων τῶν θηριωδῶν καὶ πλεονεκτικῶν νικητῶν διαφέρειν οἳ οὐδὲν ἄλλο διενοοῦντο ἢ τὰ νικηθέντα ἔθνη ληΐζεσθαί τε καὶ διαφθείρειν. — Ἆρ' οὐ τὸν δῆμον προδίδωσιν ὅστις αὐτὸν περὶ τῶν πορισμῶν αὐτοῦ καὶ τῆς δυνάμεως ἀπατᾷ (ou ὁ αὐτὸν.... ἀπατῶν); — Πάνυ γε μωρός ἐστι καὶ νοῦ κενὸς ὅστις τὸ μέγεθος ἐν τῇ τῶν ἁρμάτων καὶ σκευῶν καὶ ἐσθήτων καὶ τραπέζης πολυτελείᾳ τίθεται (ou ὁ τὸ μέγεθος.... τιθέμενος). — Τὴν τύχην πάσης μέμψεως ἀπολύει ὅστις τὴν ἀτυχίαν μὴ γενναίως ὑποφέρει (ou ὁ τὴν ἀτυχίαν.... ὑποφέρων). — Ἐκεῖνος δὴ ἀλογίστως καὶ ἀσυνέτως εἶχεν ὅστις περὶ τῶν στρατηγικῶν καὶ τῶν πολεμικῶν ἐναντίον τοῦ Ἀννίβα διελέγετο (ou ὁ περὶ τῶν.... διαλεγόμενος). — Ἑαυτοῦ ἐπιμελεῖται ὅστις ὑπὲρ τοῦ ἀδελφοῦ φροντίζει (ou ὁ ὑπὲρ.... φροντίζων). — Ἆρ' οὐκ ἀμνημονεῖ ἄνθρωπος ὢν ὅστις ὀδύρεται (ou ὁ ὀδυρόμενος) ὅτι ἐγγύς ἐστι θάνατος; — Οὗτος πικρὰς λύπας ἑαυτῷ παρασκευάζεται ὅστις τῶν ἐνταῦθα ὡς ἰδίων ὄντων ἀντέχεται (ou ὁ τῶν ἐνταῦθα.... ἀντεχόμενος). — Τοὺς δήμους εἰς ἀπόστασιν ἀναγκάζει ὅστις οὕτως ἀθλίους παρέχει (ou ὁ αὐτοὺς.... παρέχων) ὡς πᾶσαν τύχην τῆς νῦν αἱρετωτέραν δοκεῖν αὐτοῖς. — Τὴν μὲν ἀλήθειαν ἀμβλύνει ὅστις λέγει τὰ ἀληθῆ ὑπερβολικῶς (ou ὁ λέγων τὰ ἀληθῆ ὑπερβολικῶς)· τὴν δὲ οὐ ἐπαινεῖ ἀρετὴν ἐλασσοῖ ὅστις αὐτὴν ὑπερόγκοις ἐπαίνοις αἴρει.

268ᵉ Exercice.

Ce qui, *ce que*, *celui qui*, *celui que*, suivi de *c'est* (*Grammaire*, § 674).

1. Τοῦτο θαυμάζω, εἶπεν ὁ Ἀριστοτέλης πρὸς ἀδόλεσχόν τινα, ὅτι ἔχει τις ὦτα πρὸς τὸ ἀκούειν σου πόδας ἔχων πρὸς τὸ φεύγειν σε. — Τοῦτό με ἀσφαλῶς καθεύδειν ποιεῖ, εἶπέ ποτε ὁ Φίλιππος, ὅτι ἐγρήγορεν ὁ Ἀντίπατρος. — Τοῦτον ἀγαθὸν στρατηγὸν λέγω ὅστις τῇ ἐν βουλεύεσθαι φρονήσει, καὶ ἐν τῷ πονεῖν καρτερίᾳ, καὶ ἐν τῷ κινδυνεύειν ἀνδρείᾳ διαπρέπει (ou ὅστις ἐν .... τοῦτον ἀγαθὸν στρατηγὸν λέγω). — Τοῦτο δὴ θαυμάζομεν τὰ περὶ τῶν Ἀθηνῶν ἱστορούμενα ἀναγιγνώσκοντες ὅτι οὐ θᾶσσον ἔπεσεν ἡ πόλις διὰ τὴν τοῦ πλήθους ἀστασίαν. — Τοῦτο δοκοῦσι σπουδάσαι οἱ πλεῖστοι τῶν Ἑλλήνων φιλοσόφων περὶ τῆς ἀρίστης πολιτείας συγγράψαντες ὅπως τῶν πολιτῶν τὸν ἀριθμὸν συστελοῦσι μᾶλλον ἢ αὐξήσουσι. — Τούτῳ δὴ ὁ Δημοσθένης τῶν ἄλλων ῥητόρων διαφέρει ὅτι ἑαυτοῦ μὲν ἐπιλανθάνεται λέγων, οὐδὲν δὲ πρὸς χάριν ἢ πρὸς ἐπίδειξιν λέγει. — Τούτῳ συγγραφεῖς τινες γίγνονται ἀσαφεῖς ὅτι ἀεὶ διὰ βραχέων εἰπεῖν βούλονται. — Τοῦτο δεῖ ἡμᾶς φυλάσσεσθαι διαλεγομένους μὴ ὑπερηφάνως καὶ ὑπερόπτως πρὸς τούτους ἔχωμεν οὓς πείθειν οὐ δυνά-

μεθα. — Διὰ τοῦτο δὴ οἱ πολλοὶ οὕτω τοῖς τοῦ Ὁμήρου ποιήμασιν ἔχαιρον ὅτι τοὺς Ἕλληνας τὴν Ἀσίαν μάχαις νικήσαντας ὕμνει. — Τοῦτο δὴ πρὶν μάχεσθαι περιμένομεν, ἀπεκρίναντο οἱ Σκύθαι τοῖς τοῦ Δαρείου πρέσβεσιν, εἰ οἱ Πέρσαι ἐλθόντες τοῖς τῶν πατέρων τάφοις ἐπιχειρήσουσι. — Τοῦτο τοὺς Ἀθηναίους ἀπώλεσεν ὅτι τοῖς κατορθώμασι μετὰ τὴν ἐν Σαλαμῖνιν νίκην ἐπηρμένοι ὅ τι φοβοῖντο μὲν οὐδὲν ἔχειν ἔτι ἐνόμισαν, τοῖς δὲ ἄρχουσι οὐκέτι ἐπείσθησαν.

2. Τοῦτο τόλμαν ἀήττητον τῷ Ἀλεξάνδρῳ ἐνεποίησεν ὅτι ἐν τῇ διανοίᾳ ᾐσθάνετο ὅτι χρὴ πάντα αὐτῷ εἴκειν ὡς κρείττονι τῶν ἄλλων ἀνδρῶν. — Τοῦτο μάλιστα ἐφοβοῦντο οἱ Μακεδόνες μὴ τὴν τῆς ἀρχῆς μητρόπολιν εἰς μέσα τὰ νικηθέντα ἔθνη ὁ Ἀλέξανδρος μεταστήσαι· ὃ δὴ ἐγένετο ἂν, εἰ ἔζησεν. — Οὗτος τῶν δήμων τῶν ἐν μέρει περὶ τοῦ τῆς οἰκουμένης ἄρχειν ἀμιλλησαμένων, ἐκράτησε τελευτῶν, ὅστις ἐκ πλείστου προνοήσας καὶ πλείστην σπουδὴν ἐπέδειξε καὶ ἐπὶ πλεῖστον τοῖς μεγάλοις πόνοις ἐνδιέτριψεν (ou ὅστις ἐκ τῶν .... ἐνδιέτριψεν, οὗτος τελευτῶν ἐκράτησε). — Τοῦτο δὴ τεκμήριον τοὺς τῶν Αἰγυπτίων βασιλεῖς σοφῶς καὶ φιλανθρώπως βασιλεῦσαι ὅτι μάλ' ὀλίγοι τῆς ταφῆς ἀπεστερήθησαν. — Τοῦτο μάλιστα ἐφοβοῦντο οἱ Αἰγύπτιοι μὴ νέον τι ἔθος ἐς αὐτοὺς παρεισδύῃ. — Τοῦτο οὐ παύεται ὁ Κικέρων τοῖς περὶ τὴν ῥητορικὴν διατρίβουσιν ἐπισκήπτων μὴ τὴν ῥητορείαν τῆς φιλοσοφίας διαχωρίσαι. — Τοῦτο δὴ οἱ Ῥωμαῖοι στρατιῶται θαυμάσιοι ἦσαν ὅτι τάς τε ψυχὰς καρτεροὶ ἅμα καὶ τὰ σώματα ῥωμαλέοι ὄντες εὐθὺς καὶ ἀκριβῶς ἐπείθοντο. — Τοῦτ' ἀπορῶ πότερόν ποτε δῆμός τις τὴν τῶν Ἑλλήνων δόξαν ἐν τῇ ποιητικῇ καὶ ἐν τῇ ῥητορικῇ ὑπερβαλεῖ. — Τοῦτο περιέμενον οἱ Ῥωμαῖοι πρὶν τὸν Φίλιππον ἀφοπλίσαι ἕως ἂν ὁ Ἀννίβας νικηθῇ. — Τοῦτο δὴ λόγου ἄξιον ὅτι τὰ λεπτὰ δένδρα καὶ τὸ μέγεθος μέτρια τοὺς ἡδίστους καρποὺς φέρει.

269e Exercice.

Suite de *ce qui*, *ce que*, *celui qui*, *celui que*, suivi de *c'est* (*Grammaire*, § 674, *Remarque*).

Ἐν τοῖς μεγάλοις τῶν πάλαι ἀνδράσιν μάλιστα ἐκπλήττει ἡμᾶς ἡ τῶν τρόπων ἁπλότης. — Ἐπιμελέστατα ὁ Περικλῆς ἐφυλάττετο μὴ οἱ Ἀθηναῖοι θαυμάζοντες αὐτὸν ἀποκάμνοιεν εἰ πλειονάκις ἐπὶ τὸ βῆμα παρῆλθεν. — Μάλιστα ὁ Περικλῆς παρὰ Ἀναξαγόρου τοῦ φιλοσόφου τὸ μεγαλεῖον καὶ τὸ σεμνὸν ἔλαβεν ᾧ τοὺς ἐναντιουμένους κατεπίεζε. — Πολλοὶ τοῖς δικαίοις ἐμμένουσιν οὐχ οὕτω φιλάρετοι ὄντες ὡς τὴν τῶν ἄλλων δόξαν φοβούμενοι. — Φιλότιμος μὲν ἦν ὁ Πομπήϊος· μάλιστα δὲ ἐπεθύμει εἰς τὰς τιμὰς μὴ αἰτῶν καὶ τρόπον τινὰ ἄκων προάγεσθαι. — Ὁ Ἀπελλῆς κακῷ τινὶ ζωγράφῳ δεικνύντι αὐτῷ πινάκιον ὅπερ ἐν ἐλαχίστῳ

χρόνῳ ἐποίησε· « Θαυμάζω, εἶπεν, εἰ οὐ πολλὰ ἄλλα ὅμοια ἐν τῷ αὐτῷ χρόνῳ ἐποίησας. » — Ὁ Ἐπαμεινώνδας ἔλεγεν ἑαυτὸν ἐν παντὶ τῷ βίῳ εὐδαιμονέστατον γενέσθαι ὅτι τοὺς Λακεδαιμονίους ἐν Λεύκτροις νικῆσαι τῶν γονέων ἔτι ζώντων. — Μάλιστα ἐν παντὶ τῷ βίῳ ἥσθη ὁ Θεμιστοκλῆς ὁρῶν ἐν τῇ Ὀλυμπίᾳ πάντας τοὺς θεατὰς πρὸς αὐτὸν ἀποβλέποντας ὅτε παρῆλθεν εἰς τὴν πανήγυριν. — Μάλιστα ὀλέθριον ταῖς Ἀθήναις ἐγένετο τοῦ Περικλέους ἀποθανόντος ὅτι ὁ Κλέων διεδέξατο αὐτόν. — Ἐν τοῖς τοῦ Λυκούργου νόμοις μάλιστα θαύματος ἄξιαί εἰσιν αἱ περὶ τοὺς γέροντας τιμαί. — Κακόν ἐστιν οὐ μὲν μανθάνειν πόῤῥω τῆς ἡλικίας ἐληλακότα, τῇ δὲ ἀμαθείᾳ ἑαυτοῦ ἀρέσκεσθαι τὸν οὐδὲν εἰδότα.

270ᵉ Exercice.

Ce n'est pas que (*Grammaire*, § 675).

1. Οὐχ ὅτι κακόν μοι δοκεῖ τὰ κοσμηθέντα καὶ καλλωπισθέντα τῶν μὴ προκρίνειν. — Οὐχ ὅτι, εἶπεν ὁ Ἀρχίδαμος, μὴ ἀξιῶ τοὺς συμμάχους τῆς δουλείας ἀπαλλάξαι, ἀλλά μοι δίκαιον εἶναι δοκεῖ, πρὶν τὰ ὅπλα λαβεῖν, πρέσβεις πρὸς τοὺς Ἀθηναίους ἀποστείλαντας εἰς λόγους αὐτοῖς συμβαίνειν. — Οὐχ ὅτι ἐπαινῶ τινὰ οὕτω μωρὸν ὄντα ὡς περὶ τῶν χριστιανικῶν ὡς εἰδωλολάτρην ἢ ἐθνικόν τινα συγγράφειν. — Οὐχ ὅτι οἱ πλεῖστοι τῶν ἀνθρώπων τὰ παρεληλυθότα ἀληθῶς ποθοῦσιν, ἀλλ' εὑρίσκουσιν ἐν τούτῳ ὅπως τὰ παρόντα ψέξουσιν. — Οὐχ ὅτι ὁ Κικέρων τῶν πολλῶν τῶν κατ' αὐτὸν δειλότερος ἐγένετο, ἀλλ' ἦν τὸν νοῦν ὀξύτερος. — Οὐχ ὅτι οἱ πλεῖστοι τῶν ἀνθρώπων μὴ νομίζουσιν ἀληθῶς τὴν ἡσυχίαν φιλεῖν, ἀλλὰ ἡσυχίαν ἄγειν βούλονται μόνον, ὅταν πᾶσαι αὐτῶν αἱ ἐπιθυμίαι πληρωθῶσιν. — Οὐχ ὅτι οἱ πλεῖστοι τῶν πρὸ τοῦ δήμου λεγόντων μὴ μεγάλην δόξαν κτῶνται, ὀλίγα οὐδ' ἀκριβῶς ἐπιστάμενοι. — Πολλοὶ ἄνθρωποι θηρᾶν καὶ κυβεύειν σφόδρα ἐπιθυμοῦσιν· οὐχ ὅτι περὶ πολλοῦ ποιοῦνται ὀλίγον τι ἀργύριον κερδαίνειν ἢ λαγὼ ἢ ἔλαφον αἱρεῖν, ἀλλ' οὕτω κωλύονται ἑαυτοῖς προσέχειν. — Οὐχ ὅτι αἱ Ἀθῆναι μόναι πλείους ἄνδρας τὴν εὐφυΐαν θεσπεσίους ἐγέννησαν τῆς ἄλλης Ἑλλάδος, ἀλλὰ πάντες ἄνδρες οἱ τῇ φύσει διαφέροντες ἐκεῖσε συνεληλύθασιν. — Οὐχ ὅτι ὁ Δημοσθένης ἀεὶ πάσης τοῦ δωροδοκεῖσθαι αἰτίας ἐκτὸς ἐγένετο, μάλιστα δὲ ἐν τοῖς περὶ Ἅρπαλον.

2. Ὁ Ζεῦξις πρὸς τὸ τοῦ βίου τέλος μέγιστον ἤδη πλοῦτον κεκτημένος τὰς γραφὰς ἐδωρεῖτο· οὐχ ὅτι τῶν χρημάτων κατεφρόνει, ἀλλ' ἔλεγεν οὐδένα ἔχειν ὁπόθεν τὴν ἀξίαν ἀποδώσει αὐτῷ. — Οὐχ ὅτι μὴ οἱ πλεῖστοι τῶν πάλαι φιλόσοφοι τοῖς ἀτόποις τῶν πολλῶν δεισιδαιμονήμασιν ἠσχύνοντο, ἀλλ' ᾔδεσαν ὡς ἐπικίνδυνον ἦν πειρᾶσθαι τὸ πλανώμενον πλῆθος

μεταδιδάσκειν. — Οὐχ ὅτι οἱ Ἕλληνες ἢ καὶ οἱ Ἀθηναῖοι πρὸς τοὺς φιλοσόφους εὐνοϊκῶς ποτὲ ἔσχον· οἱ πολλοὶ γὰρ φυγῇ ἢ θανάτῳ ἐζημιώθησαν. — Οὐχ ὅτι ἡ τῶν Ἑλλήνων γλῶσσα μὴ πολλῷ μᾶλλον τῇ ἡμετέρᾳ παραπλησία ἐστὶ τῷ τῆς λέξεως τρόπῳ ἤπερ ἡ τῶν Ῥωμαίων. — Οὐχ ὅτι οἱ τῆς ἀναστάσεως ἐν πόλει ἐπιθυμοῦντες πλείους εἰσὶ τῶν ἀγαθῶν πολιτῶν, ἀλλὰ θρασύτεροί τε καὶ τολμηρότεροι. — Ἡ τεκτονικὴ ἀναμφισβητήτως ἐστὶ τῶν τεχνῶν πρώτη· οὐχ ὅτι μάλιστα τὰς αἰσθήσεις ἢ τὸν νοῦν θέλγει· ἀλλ' ἀναγκαιοτάτη ἐστίν. — Ὁ Πλάτων πολλὰς ἔχθρας ἀνέλαβε δηκτικῇ τινὶ εἰρωνείᾳ ἐν τοῖς διαλόγοις χρώμενος· οὐχ ὅτι μὴ τὸ τοῦ Σωκράτους ὄνομα προὐκαλύπτετο· ἀλλ' οὐδεὶς τοῦτό γ' ἐξηπατᾶτο. — Οὐχ ὅτι νομίζει ὁ Κικέρων γίγνεσθαι ἄν ποτε ἐνταῦθα τέλειόν τινα οἷον αὐτὸς ἐννοεῖ ῥήτορα, ἀλλ' ἀξιοῖ τοὺς τοῦ λέγειν ἀντιποιουμένους πάσῃ μηχανῇ σπουδάζειν ὅπως ὡς μάλιστα τῷ παραδείγματι ὅπερ ὑποτυποῖ παραπλήσιοι ἔσονται. — Ὁ Περικλῆς τὰ τῶν Ἀθηναίων ὡς αὐτοκράτωρ ἐπολιτεύσατο· οὐ μέντοι γε ὅτι τὰς τῶν πολλῶν ἐπιθυμίας ἐθεράπευσε, μάλιστα ἐπεὶ τῆς ἀρχῆς κατέστη κύριος.

271ᵉ Exercice.

Il est, il y a (*Grammaire*, § 676).

1. Εἰσὶν ἄνθρωποι οἵτινες μείζους αὐτοὶ γίγνεσθαι νομίζουσι ταπεινοῦντες τοὺς ἄλλους. — Ἔστι μὲν θεός· πᾶς κόσμος τοῦτ' ἀναγορεύει· μόνος δὲ ὁ ἄνθρωπος εἶπεν ὅτι οὐκ ἔστι θεός. — Ἦν ἐγγὺς τοῦ τῶν συμμάχων στρατοπέδου φοβερόν τι ἄντρον ἀφ' οὗ ἐπὶ τὰς τοῦ Ἀχέροντος ὄχθας κάθοδος ἦν. — Οὐδεὶς οἶκός ἐστιν οὗ αἱ συμφοραὶ δακρύειν ἐποίησαν πλέον τοῦ τῶν Λαβδακιδῶν καὶ τῶν Ἀτρειδῶν. — Ἦν ἐν τῇ Θρᾴκῃ, ὡς Εὐκλείδης φησὶν, ἔθνος τι οὕτως ἀγροῖκον ὥστε οὐχ οἷόν τε ἦν πέρα τῶν τεσσάρων ἀριθμεῖν. — Μαθηταί τινες τοῦ Πυθαγόρου ἔφασαν ἐν τῇ σελήνῃ καὶ ὄρη καὶ ἄγκη καὶ ποταμοὺς καὶ πόλεις πλείστας εἶναι. — Εἴ τις ἐστὶ φιλόσοφος οὗ τὰ δόγματα μεγάλην ῥοπὴν εἰς τὸν τῶν ἀνθρώπων νοῦν ἔσχεν, οὗτος δὴ Ἀριστοτέλης ἐστίν. — Εἰσὶν ἐν πάσαις ταῖς Ἑλληνίσι πόλεσιν ἄρχοντές τινες καλούμενοι πρόξενοι οἵτινες τοὺς ξένους δέχονται. — Ἔστιν ἐν Σκυθίας ταῖς ἐσχατιαῖς τόπος τις στέριφος, δίχα δένδρων, δίχα καρπῶν· ἔνθα οἰκεῖ ὁ Λιμός. — Εἴ τι ἐστὶ τέρπειν τοὺς παῖδας ἐπιτήδειον τοῦτο δή ἐστι τὸ τοῦ Κύκλωπος ἐν τῇ Ὀδυσσείᾳ ἐπεισόδιον. — Εἴ τι ἐστὶ νικῶν τῶν καλλίστων κάλλιον, λέγει ὁ Κικέρων, τοῦτ' ἐστὶ τὸ ἐλευθερίως φίλῳ μάλ' ἀποροῦντι ἐπικουρεῖν. — Εἰ μὴ ἄλλα κακὰ ἢ ἀγαθὰ ἐλπίζειν εἴχομεν τῶν ἐνταῦθα, ἡ κακία τε καὶ ἡ ἀρετὴ κενὰ ῥήματα εἴη ἄν.

2. Ἔστιν ἐν τῇ ἑκάστου ἀνθρώπου καρδίᾳ δικαστήριόν τι ἐν ᾧ ἑαυτὸν κρίνει μέχρις ὁ ὕπατος δικαστὴς τὴν κρίσιν ἐπικυρώσῃ. — Ὥσπερ τοῖς ἰδιώταις οὕτω καὶ τοῖς ἔθνεσι καιροῦ ἀκμή τις ἐστὶν ἀφ᾽ ἧς ἡ τύχη αὐτῶν ἤρτηται. — Ἦν ποτὲ ἐν Ἀθήναις μανικός τις ἄνθρωπος ὃς πάντα τὰ πλοῖα ἐν τῷ Πειραιεῖ καταίροντα ἑαυτοῦ ἐνόμιζεν εἶναι. — Ἆρ᾽ εἰσὶ νῦν πολλοὶ πολιτικοὶ ἄνδρες οἳ οὕτως ἕτοιμοί εἰσιν ὡς ὁ Θεμιστοκλῆς τε καὶ ὁ Ἀριστείδης τῶν ἰδίων ἐχθρῶν ἀμνημονεῖν, ὅταν τὸ τῆς πατρίδος συμφέρον ἀπαιτῇ; — Ἆρ᾽ ἔστιν οἰκτρότερόν τι ὧν οἱ ποιηταὶ διηγοῦνται ἡμῖν περὶ τῆς τοῦ Ὀρφέως ὀδύνης μετὰ τὸν τῆς Εὐρυδίκης θάνατον, καὶ περὶ ὧν ἐπεχείρησεν ὡς αὐτὴν ἐξ Ἅδου ἐξαιρεῖν; — Εἰσὶν ἐν πάσαις ταῖς γλώσσαις πλεῖστοι λέξεως τρόποι οὓς χαλεπώτατόν ἐστιν εἰς ξένας γλώσσας μεταγράφειν. — Οὐδεὶς βίος ἐστὶ τοῦ τῶν ἀγροίκων εὐδαιμονέστερος, εἰ τὴν ἑαυτῶν εὐδαιμονίαν κατ᾽ ἀξίαν ἐτίμων. — Εἰ εἰς πόλιν τινὰ εἰσέλθοιτε ὅπου οὔτε ἀρχόντων οὔτε δικαστῶν ὄντων ἕκαστος δίκαιος εἶναι νομίζοι ἂν τιμωρίαν αὐτὸς παρ᾽ ἀδικοῦντος λαμβάνειν, τῆς ἀτυχίας τὸ τοιοῦτον ἔθνος οἰκτείραιτε ἄν. — Ἔστιν ἐγγὺς τῶν Κιμμερίων ἄντρον τι βαθέως ἀνακεχωρηκὸς, εἰς ὃ οὔποτε εἰσδύεται ὁ ἥλιος· ἔνθα δὴ οἰκεῖ ὁ Ὕπνος. — Ἆρα δεῖ πιστεύειν, ἐφ᾽ ὅσον ἄνθρωποι ἔσονται, ἐπὶ τοσοῦτον καὶ ἔριδας καὶ πολέμους καὶ σφαγὰς ἔσεσθαι;

272e Exercice.

Il en est qui (*Grammaire*, § 677).

Ὀλίγοι εἰσὶν ἄνθρωποι οὕτω μωροὶ ὥστε ὠνεῖσθαι ἵππον οὗπερ ἐπιϐαίνειν οὐ δυνηθεῖεν ἄν· ὅμως δ᾽ εἰσὶν οἵτινες ὑπερπονοῦσι χρήματα συλλέγοντες οἷς χρῆσθαι οὐκ ἐπίστανται. — Εἰσὶν οἳ ἑαυτοὺς ἀτυχεῖν νομίζουσιν ὅσα οἱ πλησίον εὐτυχοῦσιν. — Εἰ εἰσὶν οἷς οὐκ ἔξεστι τοῖς ἀχαρίστοις μέμφεσθαι, τοὺς δὴ φιλαύτους ἐγὼ φαίην ἄν. — Εἰσὶν οἳ οὐ μόνον πιστεύουσιν οἰκεῖσθαι τὴν σελήνην, ἀλλὰ καὶ τὰ φυτὰ ἐκεῖ πολὺ καλλίω καὶ τὰ ζῶα πολὺ μείζω καὶ τοὺς ἀνθρώπους πολὺ ἰσχυροτέρους εἶναι τῶν ἐνταῦθα. — Ὅσοι εἰσὶν οἳ ἀεὶ ἄλλα ἐξ ἄλλων βουλευόμενοι οὐδὲν ἀνύτουσιν. — Ἦσαν καὶ δὴ τῶν Ἑλλήνων οἳ τὸν ἥλιόν τε καὶ τὴν σελήνην εἰς τοὺς θεοὺς ἐτίθεσαν. — Εἰσὶν οὓς ἡ τοῦ κέρδους ἐλπὶς ἀπὸ τῆς ἐσχάτης γῆς ἕλκει, παρὰ πάντα τὸν βίον πόῤῥω τῶν οἰκείων κατέχουσα. — Εἰσὶν οἳ οὔποτε μᾶλλόν τι λόγοις ἐλασσοῦσιν ἢ τοῦτο σφοδρότατον ἐπιθυμοῦντες. — Ἦσαν οἳ ἐνόμιζον τὸν Δημοσθένην οὕτω κακῶς ἀπαλλάξαντα ἐν τῇ πρὸς τὸν Φίλιππον πρεσϐείᾳ, εἰς τὸ ἀεὶ ὑπὸ τοῦ Αἰσχίνου καταϐληθήσεσθαι. — Εἰσὶν οἳ οὕτω πεποίθασι πάντα αὐτοῖς ὀφείλεσθαι, ὥστε οὐδεμίαν χάριν ἴσασιν ὧν εὖ πάσχουσιν. — Εἰσὶ μὲν ὧν ἡ δόξα

ἐπιφανεστέρα ἐστὶ τῆς τοῦ Ἀριστείδου, ἀλλ' οὐκ εἰσὶν ὧν καθαρωτέρα. — Ἆρ' εἰσὶν οἵ ποτε ἑαυτοὺς ἐν μέρει καὶ ἀστειοτέρους καὶ ἱλαρωτέρους καὶ σεμνοτέρους καὶ σπουδαιοτέρους τοῦ Κικέρωνος ἐν ταῖς ἐπιστολαῖς παρέσχον; — Εἰ εἰσὶν οἷς οἱ θεοὶ τὰ μέλλοντα προγιγνώσκειν ἔδωκαν, ἐκείνοις παραινοῦσι πειθώμεθα. — Εἰσὶ παρ' ὧν οὔτε δικαιοσύνην οὔτε πίστιν ἐλπιστέον ὅταν περὶ τῶν αὐτοῖς συμφερόντων ὁ ἀγὼν ᾖ.

273ᵉ Exercice.

Suite de *il en est qui* (*Grammaire*, § 677, *Remarques*).

Εἰσὶν οἵτινες τοῦ νοῦ ἑαυτῶν μεγάλην δόξαν παρέχειν νομίζουσι περὶ πάντων ἀποτόμως καὶ θαρσαλέως λέγοντες. — Οὐκ ἔστιν ὅπως τῆς συγγραφέως ἀρετῆς τις αἰσθήσεται, ἐὰν ἀναγιγνώσκῃ αὐτὸν εἰς ἑτέραν γλῶσσαν μετηγμένον. — Ἔστιν ὅτε ὁ τῶν ἀνθρώπων λόγος δοκεῖ ἀμαυροῦσθαι, καὶ αὐτοὶ οἱ σοφοὶ ἐν σκότει παραφέρονται. — Ἆρ' ἔστιν ὅποι τὸ τοῦ Ὀδυσσέως ὄνομα οὐκ ἀφῖκται; — Ἔστι πρὸς οὓς πάντες αὐτόματοι ἀποβλέπειν δοκοῦσιν, ἐπειδὴ τάχιστα φαίνονται. — Ἔστιν οὕστινας ὁ θάνατος μεταξὺ θριαμβεύοντας κατέλαβε, τῶν παρὰ πάντα τὸν βίον πεπονημένων τοὺς καρποὺς ἤδη κομιζομένους. — Οὐκ ἦν ὅθεν οἱ Πέρσαι ναύτας πλείους καὶ ἐμπειροτέρους ἤπερ ἐκ τῆς τῶν Φοινίκων ἐλάμβανον. — Ἔστιν οὗ ἄμεινόν ἐστι δοκεῖν ἁμαρτήματά τινα ἀγνοεῖν ἢ δίκην λαμβάνειν. — Οὐκ ἦν ὅπως οἱ Ῥωμαῖοι καὶ σοβαρώτατοι καὶ θρασύτατοι καὶ φοβερώτατοι ὄντες ἔξω οἴκοι πάνυ μέτριοι ἂν γίγνοιντο. — Οὐκ ἦν ὅπως ἡ Ῥώμη τοσούτους στρατιώτας ἐν συνεχέσι πολέμοις ἀποβαλοῦσα ἄλλους ἂν ὑποκαταστήσῃ, εἰ μὴ πολίτας νέους προσήκατο. — Ἔστιν ὅτε διὰ τὴν ἐλαχίστην ὕβριν ἐπανίσταται ὁ δῆμος ὃς μέχρι τότε τὴν ἀδικωτάτην τυραννίδα ἡσύχως ἤνεγκεν. — Ἔστι μὲν ὅπου οὐδεμία διάκρισίς ἐστιν ἄλλη εἰ μὴ τῆς κακίας καὶ τῆς ἀρετῆς· ἔστι δ' ὅπου ἄμεινόν ἐστι καταφρονεῖσθαι ἢ εὐδοκιμεῖν. — Ἔστιν ὅπῃ ὁ Ἀττίλας καὶ οἱ σὺν ἐκείνῳ βάρβαροι θάμβος οὐκ ἐνέβαλον;

274ᵉ Exercice.

Il en est ainsi, *il en est autrement* (*Grammaire*, § 678).

Φεῦ, ἔλεγον οἱ γέροντες περὶ τῆς τοῦ νέου βασιλέως δειλίας τε καὶ ὠμότητος οἰμώζοντες· οὐχ οὕτως εἶχε τὰ πράγματα ἐπὶ Σεσώστριος βασιλέως. — Ἑτέρως εἶχεν ἂν τὸ πρᾶγμα, εἰ οἱ νέοι τοῖς γέρουσι μᾶλλον ὑπηκόως ἐπείθοντο. — Ἑτέρως εἶχεν ἂν εἰ ὁ Ὀδυσσεὺς ἀφνιδίως εἰς ὑμᾶς αὖθις παρῆλθεν. — Οἱ Λακεδαιμόνιοι καὶ πένητες καὶ λιτόβιοι καὶ κόπῳ ἐγκαρτεροῦντές εἰσι, καὶ πάντα παρ' αὐτοῖς ὑπήκοα τοῖς νόμοις· ἆρ' οὕτως

εἶχε παρὰ τοῖς Ἀθηναίοις; — Οὐ χαλεπὸν μὲν ἦν μισθὸν τοῖς στρατιώταις ἀποδιδόναι ὅτε κατ' ἐνιαυτὸν πολεμοῦντες ἄλλα ἐπ' ἄλλους λάφυρα ἀπεκομίζοντο· οὐχ οὕτως δὲ ἔσχε τὸ πρᾶγμα (ou ἔσχεν) ἐπεὶ πᾶσαν τὴν οἰκουμένην καὶ ἐχειρώσαντο καὶ ἐλῃΐσαντο. — Τελευτήσαντος τοῦ Ἀλεξάνδρου ἡ ἀρχὴ εἰς πάντας τοὺς ὑπάρχους διεμερίσθη· οὐ γὰρ οἷόν τε ἦν ἑτέρως ἔχειν, οὐδενὸς αὐτῶν οὕτω φανερῶς τῶν ἄλλων διαφέροντος ὥστε πάντας τοὺς δεινοὺς τούτους καὶ φιλοτίμους στρατηγοὺς ὑποτάξασθαι. — Αἱ μὲν Ἀθῆναι ἐνικήθησαν πρὸς τὴν Σπάρτην ἀγωνιζόμεναι· ἴσως δὲ ἑτέρως ἔσχεν ἂν τὸ πρᾶγμα (ou ἔσχεν ἄν), εἰ μὴ ὁ Περικλῆς λοιμῷ ἀπέθανε. — Ὁ Πολύβιός φησι τοὺς μὲν κατ' αὐτὸν Ἕλληνας παρ' οὐδὲν τοὺς ὅρκους ἡγεῖσθαι· οὐχ οὕτως δὲ εἶχε παρὰ τοῖς Ῥωμαίοις. — Τοῦ μὲν Σενεκᾶ ἀκούοντες νομίζοιμεν ἂν οὐδένα μᾶλλον ἐκείνου τῆς πεπλασμένης καὶ περιέργου λέξεως ἀφεστηκέναι· ὅμως δὲ πάνυ ἑτέρως ἔχει τὸ πρᾶγμα (ou ἔχει). — Ἐπεὶ οὕτως ἔχει, πειρώμεθα τῇ ἐνεργείᾳ καὶ τῇ σπουδῇ ἀκεῖσθαι ὅσα διὰ μαλακίας καὶ ῥᾳθυμίας ἡμαρτήκαμεν. — Ὅσοι ἄνθρωποι ἑαυτοὺς τῶν συμφορῶν παραμυθοῦνται ἃς οὔτε προορᾶν οὔτε κωλύειν ἐδυνήθησαν λέγοντες· « Οὐχ οἷόν τε ἦν ἑτέρως ἔχειν. »

275ᵉ Exercice.

Il en est de suivi de *comme de* (*Grammaire*, § 678, *Remarque*).

1. Ὅμοιον πάσχει ὁ νοῦς τῇ γῇ πολλαπλάσια ἡμῖν ἀντιδιδούσῃ ἀνθ' ὧν ἐργαζόμενοι αὐτὴν πονοῦμεν. — Ὅμοιον πάσχει ὁ τῶν παίδων νοῦς ἄγγει λίαν στενῷ· οὐδὲν γὰρ εἰς αὐτὸ εἰσρεῖ, ἐάν τις ὕδωρ περισσότερον καὶ θᾶσσον ἐγχέῃ. — Ὅμοιον πάσχει τὰ ῥήματα τούτοις τοῖς σκεύεσιν ἅπερ οὐ τίμια γίγνεται, εἰ μὴ ἐκ τῆς τοῦ ἐργάτου τέχνης. — Ὅμοιον πάσχουσιν αἱ βουλαὶ τοῖς σπέρμασιν ἃ φθίνει ἢ αὐξάνεται ὅπως εἰς γῆν εὖ ἢ κακῶς εἰργασμένην κατέπεσεν. — Ὅταν τις μακρὰν προμελετήσας συγγράφῃ, ὅμοιον πάσχει τὰ ῥήματα τοῖς οἰκέταις οἵτινες ἐν οἴκῳ εὖ τεταγμένῳ οὐ περιμένουσιν ἕως ἄν τις αὐτοὺς καλῇ. — Ὅμοιον ἔχουσιν αἱ ἐπιτιμήσεις ἐκείνοις τοῖς ὅπλοις τοῖς συχνοτέρᾳ τῇ χρείᾳ ἀμβλυνομένοις. — Ὅμοιον πάσχουσιν οὗτοι οἱ παῖδες οὓς τῆς φθανούσης εὐφυΐας θαυμάζομεν, ἐκείναις ταῖς βοτάναις ταῖς ἐν κήπῳ μὲν ὑποστέγῳ καὶ θερμῷ τρεφομέναις, τὴν δὲ αἰθρίαν φέρειν οὐ δυναμέναις. — Ὅμοιον ἔπαθον ὁ Βροῦτός τε καὶ ὁ Κάτων πᾶσι τοῖς εἰς τὴν ἐλευθερίαν ἀποκαθιστάναι βουλομένοις ἔθνη οὐκέτι αὐτῆς ἐπιθυμοῦντα. — Ὅμοιον πάσχουσιν αἱ πόλεις τῷ τῶν ἀνθρώπων σώματι· τοῦτο γὰρ καὶ ἐπιδίδωσι καὶ αὐξάνεται καὶ ἀκμάζει καὶ τελειοῦται· εἶτα δὲ παρακμάζει καὶ φθίνει.

2. Εἰ τὸ γῆρας κακὸν ἦν, ὅμοιον οὖν πάσχοι ἂν ἡ φύσις τούτοις τοῖς

ἀνειμένοις ποιηταῖς οἳ τοῦ τελευταίου τοῦ δράματος μέρους ἀμελοῦσιν. — Ὅμοιοί εἰσιν οἱ εὖ συντεθειμένοι λόγοι τούτοις τοῖς εὖ ᾠκοδομημένοις οἰκήμασιν ὧν πάντα τὰ μέρη ὑπ' ἀλλήλων ὑπερείδεται ἀλλήλοις ἀναγκαῖα ὄντα. — Ἆρ' οὐχ ὅμοιον πάσχουσιν οὗτοι οἱ ἄνθρωποι οἳ ἀεὶ ταῖς ἑαυτῶν ἐπιθυμίαις ὑποπίπτουσι, τῷ Σισύφῳ τῷ ἐν Ἅδου ὑπερμεγέθη πέτρον εἰς ὄρος τι ἀνακυλίειν μέλλοντι ἀεὶ πάλιν ἀναπίπτοντα; — Ὅμοιός ἐστιν ὁ βίος ὅδε ἡμέρᾳ τινὶ χειμερίᾳ ἐν ᾗ ἐγγυτάτω ἀλλήλων εἰσὶν ὁ ὄρθρος τε καὶ ἡ ἑσπέρα. — Ὅμοιά ἐστι τὰ γηρὰ ἀγαθὰ τῷ παγέντι ὕδατι οὗ ἡ εὐτελὴς κρύσταλλος ἐν ταῖς τῶν θλιβόντων χερσὶ τηκομένη οὐδὲν ἄλλο ἢ ῥυπαίνει αὐτάς. — Ὁμοῖον πάσχει ὁ προκατεγνωκώς τινος ἄνθρωπος τῷ κωφῷ· τόπος γὰρ προείληπται· τῇ δὲ ἀληθείᾳ οὐκέτι λοιπός ἐστιν. — Ὅμοιον ἔχει τὸ φρόνημα ταύταις ταῖς βοτάναις ταῖς οὕτω βαθέως τὰς ῥίζας εἰς τὴν γῆν ἐμβαλούσαις ὥστε οὐχ οἷόν τε ἐστὶν αὐτὰς παντελῶς ἐκριζῶσαι. — Ὅμοιον πάσχουσιν οἱ ἄνδρες οἱ ἐμπαθῶς ἔχοντες τοῖς παισί τε καὶ τοῖς νοσοῦσιν οἳ κεναῖς ἐλπίσι βουκολοῦνται.

276ᵉ Exercice.

Avoir beau (*Grammaire*, § 679).

Μάτην οἱ ἄνθρωποι ἑαυτοὺς ἐξογκοῦσιν· ἀεὶ γάρ εἰσι μικροί. — Μάτην γιγνώσκομεν ὁποῖά τινα τὰ χρώματά ἐστι καὶ οἱ φθόγγοι· οὐ διὰ τοῦτο ζωγράφοι ἐσμὲν ἢ μουσικοί. — Μάτην ὁ Σύλλας τὴν τῶν ἀρίστων στάσιν ἐπανώρθωσεν· τρέμουσά γε ἡ σύγκλητος ἑώρα οὕτως ἄνοικτον ἀμυντῆρα. — Μάτην διαβάλλομεν τὴν δόξαν· ἀνάγκη γάρ ἐστιν ὁμολογεῖν αὐτὴν μάλιστα πάντων τοὺς ἀνθρώπους πρὸς τὸ ἀγαθὸν προάγειν. — Μάτην ὁ Ἰωσὴφ ὡς μάλιστα ἐπειράθη κρύπτειν τὸ πάθος· οὐκ ἠδύνατο μὴ δακρύειν. — Μάτην ὁ Μέντωρ τῇ μου γνώμῃ ἐναντιούμενος τοὺς μὲν Κύκλωπας, τοὺς πελωρίους γίγαντας οἵπερ τοὺς ἀνθρώπους ἐσθίουσι, τὸν δὲ τοῦ Αἰνείου καὶ τῶν Τρώων στόλον παραπλέοντα ἔδειξέ μοι· ἀπιέναι ἐβουλόμην. — Μάτην οἱ Κρῆτες τῷ Τηλεμάχῳ ἐνέκειντο ὥστε τὴν βασιλείαν δέξασθαι· οὐδέποθ' οὗτος ἠξίωσε τὴν πατρίδα ἀπειπεῖν. — Μάτην ἡ Ἀμφικτυονία τοὺς Λακεδαιμονίους τοὺς τὴν Θηβαίων ἀκρόπολιν κατ' εἰρήνην ἑλόντας πεντακοσίοις μὲν πρῶτον, ἔπειτα δὲ χιλίοις ταλάντοις ἐζημίωσεν· οὗτοι καὶ τὴν ζημίαν ἀποτῖσαι καὶ τῆς ἀκροπόλεως ἐξελθεῖν οὐκ ἠξίωσαν. — Μάτην οἱ γίγαντες ὄρη ὄρεσιν ἐπέθησαν· οὐκ ἠδύναντο μέχρι τοῦ οὐρανοῦ ἀναβῆναι. — Μάτην ὁ ἄνθρωπος περὶ τῆς τοῦ βίου βραχύτητος στενάζει· δῆλον γὰρ ὅτι μακρότερον αὐτὸν τοῦ δέοντος εἶναι νομίζει, ἐπεὶ καθ' ἡμέραν νέας μηχανὰς ἐπινοεῖ ὅπως αὐτὸν συντεμεῖ. — Μάτην οἱ κακοὶ βασιλεῖς μεγαλοπρεπῆ μνήματα οἰκοδομοῦσιν· τοσοῦτοι δὴ μάρτυρές εἰσιν αὐτῶν καταβοῶντες.

277e Exercice.

Avoir de la peine à, n'avoir pas de peine à (*Grammaire*, § 680).

Οἱ Ἀθηναῖοι πάνυ γε μόλις (ου μόγις) ἀμνημονοῦσι τὰ Μέγαρα γενέσθαι ἑαυτῶν. — Οἱ δορυφόροι τὸν Ἀλέξανδρον μόλις (ου μόγις) ἐκώλυσαν μετὰ τὸν τοῦ Κλείτου φόνον ἑαυτὸν διαχρήσασθαι. — Μόλις (ου μόγις) ἐννοοῦμεν ὅπως ἄνδρες τινὲς, καὶ ὀψὲ δὴ τῆς ἡλικίας ὄντες, οὐ μόνον πάσας τὰς τοῦ νοῦ δυνάμεις, ἀλλὰ καὶ τὴν ἀναγκαίαν πρὸς τὸ δημηγορεῖν ἰσχὺν διασώζουσιν. — Ὁ ῥαβδοῦχος ὑπὸ Σεξτιλίου πεμφθεὶς, μόλις (ου μόγις) τὸν γέροντα ἐν μέσοις τοῖς τῆς Καρχηδόνος ἐρειπίοις κατακείμενον ἔγνω ὅτι Μάριός ἐστιν. — Ὁ Ἰσοκράτης πάνυ γε μόλις (ου μόγις) ἀπολογήσαιτο ἂν τὸν Φίλιππον πολλὰ πολλάκις ἐπαινέσας. — Μόλις (ου μόγις) οἱ νεανίαι τοῦ ὕψους διακρίνουσι κενόν τινα ῥημάτων ὄγκον μᾶλλον ὀλιγωρεῖσθαι ἢ θαυμάζεσθαι ἄξιον. — Ὁ Φιλοκτήτης πάνυ γε μόλις (ου μόγις) ἐκ τοῦ σπηλαίου εἷρπε τοὺς ὄρνιθας οὓς ἐτόξευσεν ἀναιρήσων. — Μόλις (ου μόγις) ἐννοοῦμεν ὅπως ὁ Σύλλας τοσαύτας πολιτῶν μυριάδας κατασφάξας καὶ τὴν πόλιν τοσοῦτον μεταποιήσας, ἐτόλμησε τὴν μοναρχίαν καταθέσθαι. — Τῶν Γερμανῶν μόνον ἐκ πολέμου βιοτευόντων, ἡγεμών τις τῇ ἀνδρείᾳ εὐδοκιμῶν ῥᾳδίως πολλοὺς τολμηροὺς νεανίας ἐφ' ἡτινιοῦν στρατείᾳ ἀμφὶ ἑαυτὸν συνήγειρε. — Μετὰ τὴν Λευκτρικὴν μάχην οἱ Λακεδαιμόνιοι οἱ πρότερον ἁπάσης τῆς Ἑλλάδος κρατοῦντες, μόλις (ου μόγις) τὴν Πελοπόννησον κατέσχον ὑφ' ἑαυτοῖς. — Ἐπεὶ οἱ ἐν Μεσσήνῃ τὸν Φιλοποίμενα συλληφθῆναι ἐπύθοντο, ἃ ἤκουον μόλις (ου μόγις) ἐπείσθησαν.

278e Exercice.

Avoir le bonheur de, avoir le malheur de (*Grammaire*, § 681).

Τῷ Φιλίππῳ συνέβη γενέσθαι ἐν τούτοις τοῖς χρόνοις ὅτε τρεῖς αἱ δυνατώταται τῶν Ἑλλήνων πόλεις ἐκ διαδοχῆς ἐξησθενίσθησαν. — Ἐπὶ τοῦ Κέκροπος καὶ τοῦ Δαναοῦ βασιλευόντων τοῖς Ἀθηναίοις συνέβη εἰρήνης βεβαίας ἀπολαύειν. — Ὅσοις συνέβαινεν ἐπὶ τῶν κακῶν αὐτοκρατόρων ἐπισταθῆναι τοῖς στρατεύμασι, μάλιστα πάντων φυλακτέον ἦν μὴ κατορθώμασι μείζοσιν ὑποψίαν ἐμποιήσωσιν τοῖς βασιλεύουσι. — Ἐπεὶ Κλέωνι τῷ δημαγωγῷ συνέβη σφαλερόν τι κατορθῶσαι, οἱ Ἀθηναῖοι οἱ ἐκεῖνον μέχρι τότε ἐν γέλωτι ποιησάμενοι, ἀλόγως αὐτῷ ἐπίστευσαν. — Ὅτε Λακεδαιμονίῳ τινὶ συμβαίνοι ἐπ' αὐτοφώρῳ ληφθῆναι, ἠναγκάζετο βωμόν τινα περιϊέναι ᾆσμά τι διασυρτικὸν ᾄδων κατ' αὐτοῦ πεποιημένον. — Τῷ ῥήτορι Κράσσῳ συνέβη ἀποθνήσκειν ἀκμαζούσης ἔτι τῆς πόλεως. — Ὅταν ὁ πλέων τὴν ναῦν ὑπὸ τῶν ἀγριωθέντων κυμάτων σαλευομένην

ὁρᾷ, προαιρεῖται δὴ τῇ γνώμῃ μηκέτι τῇ τοῦ πόντου ἀστασίᾳ ἀπαντᾷν, εἰ συμβήσεταί οἱ τοῦτον τὸν κίνδυνον ἐκφυγεῖν. — Ἐπεὶ τοῖς Βαβυλωνίοις συνέβη τῆς τοῦ Ἀρταξέρξου ὀργῆς τυγχάνειν, ἐκεῖνος χειρωσάμενος αὐτοὺς, ἐκέλευσε μηκέτι μὲν ὅπλοις χρήσασθαι, αὐλεῖν δὲ καὶ κιθαρίζειν. — Τῷ Αὐγούστῳ συνέβη Μαικήναν τε καὶ Ἀγρίππαν φίλους κεκτῆσθαι, ἀμφοτέρους αὐτῷ συμπράττειν μὲν ἐπιτηδειοτάτους, ἥκιστα δὲ τῇ φιλοτιμίᾳ φροντίδας παρέχειν πεφυκότας. — Τῷ Ἄγιδι καὶ τῷ Κλεομένει ἐν ἐκείνοις τοῖς χρόνοις ζῆν συνέβη ὅτε ἡ τῆς Σπάρτης ἀφιλοχρηματία καὶ καλοκαγαθία οὐδὲν ἔτι ἦσαν εἰ μὴ κενὸν ὄνομα.

279e Exercice.

Suite de *avoir le bonheur de*, *avoir le malheur de* (*Grammaire*, § 681, *Remarque*).

Ἐπεὶ Ἀθηναῖός τις ὄρνιθα οὐκ οἶδ' ὅντινα τῷ Ἀσκληπιῷ ἱερὸν ἔτυχεν ἀποκτείνας, θανάτῳ ὑπὸ τῶν πολιτῶν ἐζημιώθη. — Πολλάκις κατείδομεν ὅσον τῶν ἄλλων βασιλέων διαφέρουσιν οἵτινες ἔτυχον ἐν δυστυχήμασι τεθραμμένοι. — Ὁ Κῦρος οὐδέποτε ἥδετο μᾶλλον ἤπερ ὅτε τυγχάνοι ὀλίγον τι τὸν πάππον Ἀστυάγην ἢ τὸν μητράδελφον Κυαξάρην ὠφελήσας. — Εἰ ὁ Φιλοποίμην ἔτυχε τῷ Ἀριστείδῃ καὶ τῷ Θεμιστοκλεῖ καὶ τῷ Κίμωνι συγχρονῶν, οὐδενός γε ἐκείνων τῶν μεγάλων ἀνδρῶν ἐγένετ' ἂν χείρων ἄνθρωπος. — Ὅστις καὶ ἀκούσιος τυγχάνει τὸν πλησίον φονεύσας, οὔθ' ἡμέρας οὔτε νυκτὸς ἡσύχως ἔχει.

280e Exercice.

Avoir la force ou *le courage de* (*Grammaire*, § 682).

1. Ὁ Ἀχιλλεύς, εἰ καὶ ἀνελεήμων ἦν, οὐχ ὑπέμεινε τοῖς τοῦ γεραίου Πριάμου δάκρυσιν ἀντέχειν. — Ὁ Κάτων οὐ πλήξας ἑαυτὸν καιρίως ὑπέμεινε τὴν πληγὴν ταῖς ἑαυτοῦ χερσὶ σπαράσσειν ἵνα μὴ ζῶν ἐπὶ τῷ νικήσαντι γενήσηται. — Οἱ Κίμβροι τε καὶ οἱ Τεύτονες πρῶτοι τῶν βαρβάρων εἰς τὴν Ἰταλίαν εἰσιέναι ἐτόλμησαν. — Ὁ Χάρης ὑπὸ τῶν Ἀθηναίων ἐπὶ τὴν τοῦ Βυζαντίου βοήθειαν ἀποσταλθεὶς οὐ μόνον εἰς ταύτην τὴν πόλιν οὐχ ἧκεν, ἀλλ' ἑαυτὸν σὺν τῷ στρατεύματι μισθοῦν ὑπέστη τῷ Ἀρταβάζῳ τῷ ἀπ' Ἀρταξέρξου ἀποστάντι. — Ὁ Ἡρακλῆς ὁ τοσαῦτα πέλωρα δαμάσας οὐχ ὑπέμεινε ἔρωτος κρατῆσαι τοῦ πρὸς τὴν Ὀμφάλην τὴν τῶν Λυδῶν βασίλισσαν. — Τίς βασκαίνων τολμήσαι ἂν ἐρωτηθεὶς ὁμολογεῖν ᾧτινι τῷ κακῷ ἀνιᾶται; — Φιλοξένου τοῦ ποιητοῦ τολμήσαντος ποίημά τι ἀπ' ἀρχῆς ἐπὶ τέλος διαγράφειν ὅπερ Διονύσιος ὁ πρεσβύτερος ἔδωκεν αὐτῷ διορθῶσαι, εἰς τὰς λατομίας τοῦ τυράννου κελεύσαντος ἤχθη.

2. Πόσοι τῶν μέγα δυναμένων οὐχ ὑπομένουσι κόλακας ἐκποδὼν ποιήσασθαι οὓς πονηροὺς ὄντας ἴσασιν. — Πῶς ἀνὴρ μὴ καὶ τὴν ἐλαχίστην ὀδύνην φέρειν δυνάμενος ὑπομένοι ἂν φέρειν ἐν ἀγορᾷ τὰς τοῦ πλήθους καταβοὰς καὶ τῶν ἀνταγωνιστῶν τὰς λοιδορίας; — Πῶς ἐκεῖνοι οἱ ἄνδρες οἵτινες ἐθνῶν νικηταὶ ὀνομάζονται, τὴν ἑαυτῶν δόξαν ἐκ τῶν ἀλλοτρίων κακῶν λαμβάνειν τολμῶσιν; — Εἰ οἱ Ἀθηναῖοι καὶ ὁ Θησεὺς τὸν ἄθλιον Οἰδίπουν δέξασθαι ὑπομένουσιν, ἐλεύσεται χρόνος ὅτε ἡσθήσονται τῆς ἱερᾶς ξενίας μὴ ὀλιγωρήσαντες. — Ὁ φειδωλὸς οὐδὲ τοὺς παῖδας ὡς ἐλευθέρους τρέφει· μᾶλλον δὲ σχετλιωτέρους καθίστησιν αὐτοὺς τῶν ἀνδραπόδων ἀργυρίου ἐωνημένων. — Ἐτόλμησεν ὁ Ἰφικράτης ἀπολογησόμενος ἀποκρίνασθαι τοῖς ἐγκαλοῦσιν ὅτι ἐν ὅπλοις εἰς τὸν δῆμον παρέλθοι, δικαιότατον εἶναι τὸν ὑπὲρ τῆς πατρίδος ὅπλα ἐνεγκόντα καὶ ὑπὲρ ἑαυτοῦ φέρειν.

281ᵉ Exercice.

Avoir lieu de, sujet de, raison de (*Grammaire*, § 683).

Ὁ ἵππος τὸν ἔλαφον σὺν τῷ ἀνθρώπῳ νικήσας οὐκ ἔσχεν ἐπὶ πολὺ χαίρειν (ou ὅ τι χαίροι). — Πιστεύειν ἔχομεν, εἰ καὶ ὁ Ἀννίβας τὴν Ῥώμην καθέλοι, ταύτην τὴν πόλιν εὐθὺς ἂν ἢ ὕστερον ἐκ τῶν ἐρειπίων ἀναστῆναι. — Μάρκος ὁ Αὐρήλιος εἶχεν ὅ τι φοβοῖτο (ou φοβεῖσθαι) μὴ ἡ τοῦ υἱοῦ νεότης μεγίστων κακῶν τῇ ἀρχῇ αἰτία γένοιτο. — Ὅσοι ἄνθρωποι εἶχον πιστεῦσαι (ou ὅ τι πιστεύοιεν) τὴν ἑαυτῶν φήμην ἀθάνατον ἔσεσθαι ὧν τὸ ὄνομα πρὸς ἡμᾶς οὐκ ἀφίκετο. — Ἡ δρῦς ποτὲ τῷ καλάμῳ εἶπεν· « Ἔχεις γε τῇ φύσει μέμψασθαι. » — Οὐκ εἶχεν ὁ Μάριος τῷ Σύλλᾳ μέμψασθαι (ou ὅ τι μέμψαιτο) ὁ τὸν Μέτελλον παρακρούσας. — Οὐδὲν ἔθνος, ὅ τι ποτ' ἐστὶν, οἷόν τε ἔχει τῆς ἄλλου τινὸς ἔθνους εὐπειθείας καὶ τῆς δεισιδαιμονίας καταγελᾶν. — Τίς ποτε μᾶλλον τοῦ Ἀννίβα ἔσχε τῇ πατρίδι μέμψασθαι (ou ὅ τι μέμψαιτο); — Ὁ Λύσανδρος οὐκ ἔσχε χαίρειν (ou ὅ τι χαίροι) τὸν Ἀγησίλαον οὗ τὰ δίκαια ἀμφισβήτητα ἦν, εἰς τὴν βασιλείαν καταστήσας. — Φασὶ τὸν Αὔγουστον οὐχ ἅπαξ σχεῖν τὸν Μαικήναν τε καὶ τὸν Ἀγρίππαν θανόντας ποθῆσαι (ou ὅ τι ποθοίη). — Ὁ Κικέρων πολλάκις ἔσχε δεῖσθαι (ou ὅ τι δέοιτο) τῆς τοῦ Καίσαρος ἐπιεικείας ἕνεκα τῶν Πομπηϊανῶν. — Οὐδεὶς ἔλασσον τοῦ Εὐτροπίου εἶχεν ἐλπίζειν (ou ὅ τι ἐλπίζοι) οἰκτειρηθῆναι, ἐπεὶ ἐν ἀξιώσει ὢν οὕτως ἀνήμερος καὶ ἀνελεήμων ἐγένετο. — Οὐ μᾶλλον ἔχουσιν οἱ ἄνθρωποι τῇ τῶν προγόνων ἀρετῇ σεμνύνεσθαι ἢ τῷ τῶν πλησίον πλούτῳ καὶ κάλλει.

282ᵉ Exercice.

Suite de *avoir lieu de*, *sujet de*, *raison de* (*Grammaire*, § 683, *Remarque*).

Πάρεστι νομίζειν τὴν Φενεὸν πόλιν ἐν Ἀρκαδίᾳ τοῖς χειμάῤῥοις ποτὲ καταβληθῆναι τοῖς ἀπὸ τῶν περικειμένων ὀρῶν καταφερομένοις. — Πάρεστι πιστεύειν τὸν Ἀλέξανδρον ἐν ταῖς εὐτυχίαις ὄντα εἰς μεῖζον ὕβρεως προελθεῖν ἄν, εἰ μὴ παῖς ὢν τῷ Ἀριστοτέλει διδασκάλῳ ἐχρήσατο. — Τῷ Ἄρει καὶ τῇ Ἀφροδίτῃ οὐ παρῆν χαίρειν πρὸς τοὺς Ἕλληνας ἕνεκα τῶν Τρώων μαχεσαμένοις. — Θαυμάζειν πάρεστι τὰς Ἀθήνας τὸν Λύσανδρον οὐκ ἀνταμύνασθαι καὶ τοὺς συμμάχους. — Οὐ παρῆν τοῖς Ἀθηναίοις ἥδεσθαι τὰ τοῦ Μιθριδάτου προελομένοις. — Ἦ πάρεστι λέγειν κακὸν εἶναι τὸν θάνατον, ἐπεὶ τοὺς σοφωτάτους τῶν φιλοσόφων ὁρῶμεν ἐν τοῖς ἀγαθοῖς αὐτὸν τιθεμένους ;

283ᵉ Exercice.

Avoir à cœur (*Grammaire*, § 684).

Πᾶσι τοῖς ἀγαθοῖς ἔμελεν ἡ τοῦ Κικέρωνος καταγωγὴ (ou τῆς τοῦ Κικέρωνος καταγωγῆς). — Τοσοῦτον τῷ Σκηπίωνι τῷ Ἀφρικανῷ ἡ τοῦ ἀδελφοῦ Λουκίου δόξα (ou τῆς τοῦ ἀδελφοῦ Λουκίου δόξης) ἔμελεν ὥστε αὐτῷ ὑποστρατηγεῖν ἠξίωσε. — Τοῖς κυνικοῖς οὐδὲν (ou οὐδενὸς) μέλει ἐκείνων ἅπερ οἱ ἄλλοι ἄνθρωποι περὶ πολλοῦ ἡγοῦνται καὶ περὶ ὧν σπουδάζουσι. — Τούτῳ διαφέρει ὁ Περικλῆς τῶν ἄλλων τῶν μετ' αὐτὸν τὰ τῆς πόλεως πραξάντων ὅτι οὐχ ἧσσον αὐτῷ ἡ τοῦ πατρίδος δύναμις ἤπερ ἑαυτοῦ ἡ δόξα (ou τῆς πατρίδος δυνάμεως ἢ τῆς ἑαυτοῦ δόξης) ἔμελεν. — Οἱ Ἴωνες ἐπεὶ οὐδὲν αὐτοῖς ἔμελεν εἰ μὴ πλοῦτος καὶ ἡδοναὶ (ou ἐπεὶ οὐδενὸς αὐτοῖς ἔμελεν εἰ μὴ πλούτου καὶ ἡδονῶν), ταχέως τῆς πατρῴας ἀρετῆς ἐξέπεσον. — Εἰ πᾶσι τοῖς ἄρχουσιν οὐδὲν ἄλλο ἢ τῶν ἐθνῶν ἡ εὐδαιμονία (ou οὐδενὸς ἄλλου ἢ τῆς τῶν ἐθνῶν εὐδαιμονίας) ἔμελεν, ἆρα μανική τις φιλοτιμία τοσούτους ἐγείροι ἂν πολέμους;

284ᵉ Exercice.

Suite de *avoir à cœur* (*Grammaire*, § 684, *Remarque I*).

Ἐπὶ τοῦ Νουμᾶ ἤδη ὑπὲρ (ou περὶ) τῆς εἰρήνης μόνον τοῖς Ῥωμαίοις μέλειν ἐδόκει. — Οἱ ἄνθρωποι οἷς ὑπὲρ (ou περὶ) οὐδενὸς μέλει πλὴν τῆς δόξης πολλάκις οὐκ ὀκνοῦσιν αὐτὴν ᾡτινι δὴ τρόπῳ κτᾶσθαι. — Τίνι νῦν μέλοι ἂν ὑπὲρ (ou περὶ) τῶν Ἀχαιῶν καὶ Τρώων πρὸς ἀλλήλους μαχῶν, εἰ μὴ ὁ Ὅμηρος ᾖσεν αὐτάς;

285e Exercice.

N'avoir rien tant à cœur ou *rien plus à cœur*, *n'avoir rien de plus pressé que* (*Grammaire*, § 684, *Remarque II*).

Τοῖς Φοίνιξιν οὐδὲν πρεσβύτερον ἦν ἢ τοῦ δασμοῦ ἀπαλλαγῆναι ὃν ὁ Σέσωστρις αὐτοῖς ἐπέταξε. — Τοῖς πλείστοις τῶν βασιλέων οὐδέν ἐστι πρεσβύτερον ἢ τὰ ὑπὸ τῶν πρότερον ἀρξάντων πεποιημένα ἀκυρῶσαι. — Οὐδὲν βασιλεῖ ἐμπείρῳ πρεσβύτερόν ἐστιν ἢ καὶ τοῖς ἐλαχίστοις εὐεργετήμασι χάριν ἀντιδιδόναι. — Οὐεσπασιανὸς ὁ αὐτοκράτωρ πολλοῦ ἔδει τούτοις ὅμοιος εἶναι οἷς οὐδὲν πρεσβύτερόν ἐστιν ἢ τὴν τοῦ γένους ταπεινότητα κρύψαι. — Τοῖς πάλαι δικτάτωρσιν οὐδὲν πρεσβύτερον ἦν ἢ τὴν ἀρχὴν κατατιθέναι, ἐπειδὴ τάχιστα ἐνεχώρει. — Τῷ ἀνθρώπῳ τῷ τὸ ἀληθὲς εὑρηκέναι πιστεύσαντι οὐδὲν πρεσβύτερόν ἐστιν ἢ τοῖς ἄλλοις αὐτὸ κοινωνῆσαι. — Ὁ Πεισίστρατος, ἐπεὶ οὐδὲν ἦν αὐτῷ πρεσβύτερον ἢ τὸν Σόλωνα πεῖσαι, καὶ φανερὸς ἦν μάλιστα σεβόμενος αὐτὸν, καὶ πολλάκις αὐτῷ συμβούλῳ ἐχρῆτο. — Δημόκριτος ὁ Ἀβδηρίτης, ἐπεὶ οὐδὲν αὐτῷ πρεσβύτερον ἦν τοῦ ἑαυτὸν τῇ φιλοσοφίᾳ ὅλον διδόναι, τῶν ἀγαθῶν τῷ ἀδελφῷ παραχωρήσας ἀπράγμονα τὸν βίον διήγαγεν. — Τῷ Ἀντιόχῳ, ἐπεὶ ἐν ταῖς Θερμοπύλαις ὑπὸ Ἀκιλίου τοῦ ὑπάτου ἐνικήθη, οὐδὲν πρεσβύτερον ἦν ἢ εἰς τὴν πατρίαν βασιλείαν ἐπανελθεῖν. — Ὁ Φίλιππος, ἐπεὶ οὐδὲν αὐτῷ πρεσβύτερον ἦν ἢ τὴν τῶν Ἀθηναίων εὔνοιαν κτήσασθαι, εὐμενέστερον αὐτοῖς ἢ τοῖς ἄλλοις τῆς Ἑλλάδος δήμοις ἐχρήσατο μετὰ τὴν Χαιρωνικὴν μάχην, εἰ καὶ ἐκεῖνοι τῆς ἐπ' αὐτὸν συμμαχίας αἴτιοι ἐγένοντο.

286e Exercice.

Aller exprimant un futur prochain, *devoir* exprimant un futur probable (*Grammaire*, § 685).

Τῷ Στωϊκῷ Ἀγριππίνῳ ἀριστᾶν (ou ἀριστήσειν) μέλλοντι ἀπηγγέλθη Νέρωνα φυγαδεύειν αὐτόν· « Ἀλλ', εἶπεν, ἐν τῇ Ἀρικίᾳ δειπνήσομεν. » — Αἰλιανός φησι τὸν Δημοσθένην διανυκτερεύειν μελετῶντα ὅ τι τῇ ὑστεραίᾳ τοῖς Ἀθηναίοις ἔμελλε λέγειν (ou λέξειν). — Τῆς Καρχηδόνος μελλούσης ἑαυτὴν τῷ Ῥηγούλῳ παραδιδόναι (ou παραδώσειν), ὁ Λακεδαιμόνιος Ξάνθιππος εἰς τὴν πόλιν σὺν ὀλίγοις στρατιώταις εἰσελθὼν τοὺς πολίτας ἀνεθάῤῥυνεν. — Ὅταν δημηγορεῖν (ou δημηγορήσειν) μέλλω, πρὸ πάντων τοῖς θεοῖς εὔχομαι μηδὲν ἐμοὶ ἐν νῷ τιθέναι εἰ μὴ ἀγαθὸν καὶ χρήσιμον τοῖς πολίταις μου. — Ὁ Τηλέμαχος νικᾶσθαι (ou νικηθήσεσθαι) μέλλων, τῇ τοῦ Μέντορος φωνῇ ἀνεῤῥώσθη βοῶντος· « Ὦ παῖ Ὀδυσσέως, ἆρα νικηθήσοι' ἄν; » — Οἱ Ἀθηναῖοι ἔμελλον ἑξακισχιλίους στρατιώτας τοῖς Λακεδαιμονίοις πέμπειν (ou πέμψειν), ἵνα τοῖς τῶν

Θηβαίων καὶ τῶν συμμάχων ἐπιχειρήμασι σὺν αὐτοῖς ἀνθίσταιντο. — Πολλάκις μέλλοντες τῶν ἡμετέρων πόνων τοὺς καρποὺς κομίζεσθαι (ou κομίσεσθαι) τότε πάντα ἄγαν σπεύδοντες ἀποβάλλομεν. — Οἱ πλεῖστοι τῶν ἰδιωτῶν ὁδοιπορεῖν (ou ὁδοιπορήσειν) μέλλοντες πειρῶνται ἑαυτοὺς τῇ δυνάστου τινὸς ἀκολουθίᾳ προσκατατάξαι, ὅπως ἀσφελέστερον τὴν πορείαν ποιήσονται. — Ὁ Ὀκτάβιος σοφῶς διέσπειρε τὸν λόγον ὡς μέλλοι ὁ Ἀντώνιος τὴν Κλεοπάτραν πάντων τῶν πρὸς τὴν ἕω βασίλισσαν ἀναγορεύειν (ou ἀναγορεύσειν). — Οἱ τῷ Τροφωνίῳ χρῆσθαι (ou χρήσεσθαι) μέλλοντες ἀναγκάζογται πρῶτα ὀλίγας μὲν ἡμέρας ἐν ναϊδίῳ τινὶ διάγειν τῆς Τύχης ἱερῷ, καὶ ἐν τούτῳ τῷ χρόνῳ οἴνου καὶ λουτρῶν θερμῶν ἀπέχειν. — Ὅταν χειμών τις μέλλῃ εἶναι (ou ἔσεσθαι), καχεξία τις ἄφραστος πάντα τὰ ζῷα δοκεῖ κατέχειν.

287e Exercice.

Être près de, sur le point de, à la veille ou ***au moment de*** (*Grammaire*, § 685, *Remarques*).

Φασὶ τὸν Ἀλέξανδρον μελλῆσαι τὸν Ἀντίπατρον ἀναιρεῖν (ou ὅσον οὐ τὸν Ἀντίπατρον ἀνελεῖν). — Ἐπὶ τῶν αὐτοκρατόρων πολλοὶ τῶν πολιτῶν εἰσαγγελίας δίκην φεύγοντες, ἐπεὶ ᾔδεισαν προκαταδικασθέντες, ἑαυτοὺς διεχειρίζοντο πρὸς τοὺς δικαστὰς παρέρχεσθαι μέλλοντες (ou ὅσον οὔπω πρὸς τοὺς δικαστὰς παρερχόμενοι). — Οἱ πλεῖστοι τῶν κακούργων ἀεὶ μέλλουσι καλοκάγαθοι γίγνεσθαι (ou ὅσον οὔπω καλοκάγαθοι γίνονται). — Ὁ Φίλιππος μέλλων εἰς τὴν Ἀσίαν διαβαίνειν ἐφονεύθη. — Τὸν Δημοσθένην διὰ τὰ πρῶτα πταίσματα ἀθυμοῦντα καὶ τῆς ῥητορικῆς ἀφίστασθαι μέλλοντα (ou ὅσον οὐκ ἀφιστάμενον) Σάτυρος ὁ ὑποκριτὴς ἀνεθάῤῥυνε χρηστὰ δὴ βουλεύσας. — Ὁ Καῖσαρ πρὸς τὴν σύγκλητον ἐξιέναι μέλλων (ou ὅσον οὔπω πρὸς τὴν σύγκλητον ἐξιὼν) ὀλίγον χρόνον ταῖς τῆς γυναικὸς Καλπουρνίας δεήσεσιν καὶ τοῖς δάκρυσι κατεσχέθη τῆς δεινὰ προαισθομένης. — Οἱ Βαβυλώνιοι ἀπόλλυσθαι μέλλοντες (ou ὅσον οὔπω ἀπολόμενοι) ἐκάθευδον ἀλόγως δὴ ἀδεεῖς. — Ὅταν τὰ θηρία αἱρεῖσθαι μέλλῃ (ou ὅσον οὐχ αἱρῆται) φοβερώτατα καὶ τοῖς κυσὶ καὶ τοῖς κυνηγοῖς ἐστίν. — Ὁ Ἀλέξανδρος ἐπὶ τὴν Ἀσίαν πλεῖν μέλλων τοῖς φίλοις πάνθ' ὅσα εἶχε διένειμεν, ἑαυτῷ τὴν ἐλπίδα μόνον καταλείπων. — Παρὰ τοῖς βαρβάροις οἱ ἄνδρες ἐνδιδόναι μέλλοιεν (ou ὅσον οὔπω ἐνδίδοιεν), αἱ γυναῖκες εἰς μέσην τὴν μάχην εἰσβάλλουσαι, τὰς ψυχὰς αὐτῶν ὀτρύνουσαι ἐπὶ τοὺς πολεμίους ἀνέστρεφον αὐτούς.

288ᵉ Exercice.

Aller à l'impératif, accompagné d'une négation et suivi d'un infinitif (*Grammaire*, § 686).

Μὴ νομίσῃς οἷός τε εἶναι ἀπόνως χρηστὸς γίγνεσθαι. — Μὴ δελφῖνα ἐν νέμεσι μηδὲ κάπρον ἐν μέσοις κύμασι εἰκάσῃς πλάσσων. — Μὴ νομίσωσιν οἱ ζωγράφοι οὐδένα ἐπιτήδειον εἶναι περὶ τῶν ἔργων αὐτῶν γνώμην ἔχειν εἰ μὴ τὸν ζωγραφήσαντα. — Μὴ, ὦ Συρακούσιοι, μὴ τὴν νίκην ὑμῶν μιάνητε, τοὺς Ἀθηναίους κατασφάζοντες οἵτινες ἑαυτοὺς ὑμῶν τῇ πίστει ἐπέτρεψαν. — Μὴ νομίσῃς τὸν ἀδολέσχην πώποτέ σε ἀφιέναι, ἐὰν αὐτοῦ ἀκούειν ὑπομένῃς. — Μὴ μακρὰν καὶ μάτην πονήσῃς ὥστε τὴν δόξαν κτήσασθαι τὴν οὕτω ταχέως παρερχομένην. — Μὴ ἐν τοῖς παισὶ ταύτην τὴν βεβαίαν σύνεσιν ζητήσωμεν ἣν μόνον παρὰ τοῖς τὴν ἡλικίαν τελείοις εὑρεῖν ἔστιν. — Μὴ λέξῃς· « Ἐγὼ ἀπαράσκευος ἐλήφθην· οὐ προσεδόκων τοῦτο· » οὐδὲν γὰρ τὸν σοφὸν ἀπαράσκευον καταλαμβάνει· πάντα ὁ σοφὸς προσδοκᾷ. — Ἐὰν θέλῃς ὡς ἀληθῶς εἰδέναι πόσου ἄξιά ἐστι τὰ συγγράμματά σου μὴ ἐρωτήσῃς τοὺς παρὰ σοῦ τι ἐλπίζοντας. — Μὴ λέξῃ τις τὴν ἐκ τῶν λόγων δόξαν καὶ πρὸς τὴν τῶν πόλεων σωτηρίαν ὠφελεῖν οὐδὲν, ἐπεὶ ὁ Καῖσάρ τε καὶ ὁ Σύλλας μόνον ἕνεκα τοῦ Πλάτωνος καὶ τοῦ Δημοσθένους τῶν Ἀθηνῶν ἐφείσαντο.

289ᵉ Exercice.

Venir de (*Grammaire*, § 687).

Ὅτε τὸ πρῶτον τὸν Ἀριστοτέλην εἴδομεν, τὸ μέγα περὶ τῶν διαφόρων πολιτειῶν σύγγραμμα ἄρτι (ou ἀρτίως ou νεωστὶ) ἀπετετελέκει. — Τοῦ Φιλίππου ἄρτι (ou ἀρτίως ou νεωστὶ) τὴν ἀρχὴν λαβόντος καὶ ἐλαιῶν τινων ἐν χειμῶνι ἀνθησασῶν, οἱ μάντεις ἐκ τούτου συνέλαβον τὴν ἐκείνου βασιλείαν εὐθενήσειν. — Τῷ Φιλίππῳ κατὰ τὸν αὐτὸν χρόνον ἠγγέλθη καὶ αὐτὸν Ὀλυμπίασιν ἁρματοδρομίᾳ νενικηκέναι καὶ τὸν Παρμενίωνα τοὺς Ἰλλυριοὺς χειρώσασθαι καὶ ἐξ Ὀλυμπιάδος αὐτῷ υἱὸν ἄρτι (ou ἀρτίως ou νεωστὶ) γεγονέναι. — Ὁ Φειδίας τὸ τοῦ Ὀλυμπίου Διὸς ἄγαλμα ἄρτι (ou ἀρτίως ou νεωστὶ) ἀποτελέσας, ἐρωτήσαντός τινος πόθεν ταύτην τὴν θείαν σεμνότητα ἔλαβεν, ἐκεῖνο τὸ τοῦ Ὁμήρου ἔπος προήνεγκεν ἐν ᾧ λέγεται ὁ θεὸς τὸν Ὄλυμπον ἐνὶ νεύματι σείειν. — Τοῦ ἡλίου ἄρτι (ou ἀρτίως ou νεωστὶ) εἰς τὴν θάλασσαν καταδύντος, φοβερόν τι φάντασμα πρὸ ἡμῶν ἀνέστη. — Ὁ Αἴσχυλος μὲν μάλιστα ἤδη εὐδοκίμει· ὁ δὲ νέος Σοφοκλῆς ἄρτι (ou ἀρτίως ou νεωστὶ) τὸ πρῶτον δρᾶμα ἐδίδαξε. — Τῶν Τρώων ἄρτι (ou ἀρτίως ou νεωστὶ) τῆς Σικελίας τὴν ἀκτὴν ἀποκρυψάντων, ἡ Ἥρα ἐπ' αὐτοὺς δεινὸν χειμῶνα ἤγειρε. — Διονυσίου τοῦ

πρεσβυτέρου τὸν Πλάτωνα τιμαῖς θαυμασίαις ὅσαις δεξαμένου πάντες οἱ περὶ αὐτὸν τὸν δεσπότην μιμούμενοι οὐδὲν ἄλλο ἢ τῶν ἠθῶν διορθώσεις καὶ ὀλιγάρκειαν καὶ χρημάτων καταφρόνησιν διὰ στόματος εἶχον. — Τὴν μὲν δίκην ἄρτι (ou ἀρτίως ou νεωστὶ) πάσῃ ψήφῳ εἷλον, λέγει δύσκολος ἄνθρωπος, ὁ δὲ συνήγορός μου παρέλιπε λέγων τοὺς ἀρίστους τῆς δίκης ἐλέγχους.

290e Exercice.

Devoir exprimant une obligation, une nécessité (*Grammaire*, § 688).

Ὁ σοφὸς ὥσπερ ἐκ συμποσίου οὕτως ἐκ τοῦ βίου εὐσχήμων ἐξελθεῖν ὀφείλει. — Οὐ πικρῶς τοὺς ἄλλους τῶν πραχθέντων εὐθύνας ὀφείλομεν ἀπαιτεῖν, ἅτε αὐτοὶ οὐ πάντα ποιήσαντες ἅτινα παρ' ἡμῶν ἀπαιτεῖν δίκαιον ἦν. — Τοῦ Ἀντιόχου, ἐπεὶ οἱ Ῥωμαῖοι εἰς τὴν Ἀσίαν εἰσέβαλον, τινὰς τὴν εἰρήνην αἰτήσοντας πέμψαντος· « Τοῦτο μὲν, εἶπεν ὁ Σκηπίων, θᾶσσον πράσσειν ὤφειλεν· οὐ δὲ νῦν ὅτε τὸν χαλινὸν καὶ τὸν ἀναβάτην ἐδέξατο. » — Δεικνύντος τινὸς τῷ Σκηπίωνι ἀσπίδα καλλίστην· « Ῥωμαῖος ἀνὴρ, εἶπεν ὁ στρατηγὸς, τὰς ἐλπίδας ἐν τῇ μὲν δεξιᾷ, οὐ δὲ ἐν τῇ ἀριστερᾷ ὀφείλει ἔχειν. » — Πάντες οἱ ἄρχοντες ὤφειλον ἅμα τῷ τῆς ἀρχῆς ἀφίστασθαι πρὸ τοῦ Ἀρείου πάγου τῆς ἀγωγῆς εὐθύνας διδόναι. — Ὤφειλεν ὁ Φιλοκτήτης δίκην διδόναι ὅτι τὴν πρὸς τὸν Ἡρακλέα ὑπόσχεσιν ἐψεύσατο. — Ἐν ταῖς Ἀθήναις οἱ ἐν τέλει, ἅτε τὴν τῆς δημοσίου θρησκείας φυλακὴν ἐπιτετραμμένοι, οὐ μόνον διώκειν ἀλλὰ καὶ θανάτῳ ζημιοῦν ὀφείλουσιν τοὺς κατὰ τῶν θεῶν γράφοντας ἢ καὶ λέγοντας.

291e Exercice.

Suite de *devoir* exprimant une obligation, une nécessité (*Grammaire*, § 688, *Remarque*).

Ὥσπερ τὸ σῶμα οὐ μόνον ὑγιὲς ἀλλὰ καὶ ῥωμαλέον εἶναι δεῖ, οὕτω τὴν λέξιν οὐ μόνον ὀρθὴν ἀλλὰ καὶ ἐνεργόν. — Τὸ δαιμόνιον τῷ Σωκράτει παρῄνει οὐ μὲν ἃ ἔδει πράττειν, ἃ δὲ μή. — Δεῖ τὸν φρόνιμον ἄνδρα τῶν μὲν παρεληλυθότων μεμνῆσθαι, τὰ δὲ μέλλοντα προφυλάττεσθαι.

292e Exercice.

Dussé-je, *dussiez-vous*, etc. (*Grammaire*, § 689).

Καὶ εἰ (ou εἰ καὶ) μυριάκις ἀποθνήσκειν ὀφείλοιμι, οὔποτέ με ἐκβιάσῃ οὐκ ἀληθές τι ὁμολογεῖν. — Μήποτε ὀκνήσῃς ὁμολογεῖν σφαλεὶς, κἂν προπέτειαν ἢ ἀβουλίαν ὀφλισκάνῃς. — Κἂν εἷς μόνος οὕτω γιγνώσκῃς, μήποτε ἐπαινέσῃς ὅ τι σοὶ δοκεῖ ἄδικον. — Ὁ καλοκἀγαθος ἀνὴρ ἀτάρακτος μενεῖ, καὶ εἰ (ou εἰ καὶ) ὁ οὐρανὸς καταπεσὼν αὐτὸν θλίβοι. — Ἡ

Ἠλέκτρα ἐγνώκει φόνον τῷ πατρὶ τιμωρεῖν, καὶ εἰ (ou εἰ καὶ) ἐπὶ τούτῳ τὴν ἑαυτῆς ψυχὴν παραβάλοιτο. — Κἂν πᾶσι τοῖς τὴν Ἑλλάδα ἐκ τῶν γεγραμμένων μόνον γιγνώσκουσι δεινὸν τοῦτο δόξῃ, ἐρῶ τὸν μὲν ἐν Δήλῳ ποταμὸν οὕτως ὑπὸ τῶν ποιητῶν ὑμνηθέντα σχεδὸν ἀεὶ ἄνυδρον εἶναι, οὐδὲν δὲ ἄλλο ἐν πάσῃ τῇ νήσῳ εἶναι ἢ κακήν τινα καὶ ἁλμυρώδη πηγήν. — Κἂν τὴν ζωὴν ὥσπερ ὁ τῶν Ταρτησσιῶν βασιλεὺς μέχρι τοῦ ἑκατοστοῦ ἔτους παρατείνωμεν, τὸ τοῦ βίου πέρας οὐ πορρώτατόν ἐστιν. — Ἄνθρωπος τιμωρητικὸς οὐδενὸς ἀφίσταται, καὶ εἰ (ou εἰ καὶ) ἅμα τοὺς ἐχθροὺς παίων αὐτὸς ἀπόλοιτο. — Ὁ Σύλλας τὴν δύναμιν τοῖς ἀρίστοις ἀποδιδόναι ἐγνώκει, εἰ καὶ (ou καὶ εἰ) ἐπὶ τούτῳ αἷμα πολὺ ἐκχεῖν ὀφείλοι. — Ὁ Καλλισθένης εἰς τὰ συμπόσια ὑπὸ τοῦ Ἀλεξάνδρου κληθεὶς βαρὺς ἦν καὶ σιωπηλός, εἰ καὶ φανερὸς ἦν τῇ βαρύτητι καὶ τῇ σιωπῇ τὰ γιγνόμενα οὐκ ἐπαινῶν. — Ὁ φιλότιμος ἀνὴρ οὔποτε τοῦ σκοποῦ ἀποστήσεται, καὶ εἰ (ou εἰ καὶ) τοὺς οἰκείους τε καὶ φίλους παρακρούειν ὀφείλοι ἐπὶ τῷ τυγχάνειν τούτου.

293ᵉ Exercice.

C'est-à-dire (*Grammaire*, § 690).

Ὁ ἄνθρωπος, εἰ καὶ ῥᾴθυμος πέφυκεν, ὅμως ἑαυτὸν τοσούτῳ μᾶλλον εὐδαιμονίζει, ὅσῳ μᾶλλον ταῖς τιμαῖς ηὐξήθη, τοῦτ' ἔστι (ou δηλαδὴ) ὅσῳ πλείω προσήκει αὐτῷ πράττειν. — Ταῦτ' ἐστὶν ἔνια τῶν τοῦ Πυθαγόρου παροίμια· « Μὴ γεύεσθαι μελανούρων, τοῦτ' ἔστι (ou δηλαδὴ) μὴ συνδιατρίβειν μέλασιν ἀνθρώποις διὰ κακοήθειαν· μηδὲ ζυγὸν ὑπερβαίνειν, τοῦτ' ἔστι (ou δηλαδὴ) μὴ τὴν δικαιοσύνην παραβαίνειν· τὰ δὲ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν, τοῦτ' ἔστιν (ou δηδαλὴ) ἕτοιμον ἀεὶ εἶναι τοῦ βίου ἀπαλλάττεσθαι, τοῦ θεοῦ οὕτω κελεύοντος. » — Ἐπὶ τοῦ Σιναΐ ὄρους ὁ Μωϋσῆς παρὰ τοῦ θεοῦ τὸν δεκάλογον, τοῦτ' ἔστι (ou δηλαδὴ) τὰ δέκα παραγγέλματα ἐδέξατο ἐν οἷς ἔνεστι (ou κεῖται) τὰ πρὸς τὴν θεοσέβειαν καὶ τὴν τῶν ἀνθρώπων κοινωνίαν ἀναγκαῖα. — Οἱ τῶν πάλαι χρόνων σοφοί, τοῦτ' ἔστιν (ou δηλαδὴ) οἱ ποιηταί, τῶν θεῶν ἑρμηνεῖς ὄντες, τοὺς διεσκεδασμένους ἀνθρώπους ἀθροίσαντες τὴν τοῦ βίου κοινωνίαν αὐτοὺς ἐδίδαξαν. — Ἡ τῶν Ἑβδομήκοντα μετάφρασις, τοῦτ' ἔστι (ou δηλαδὴ) τῶν ἑβδομήκοντα γερόντων οὓς ὁ ἀρχιερεὺς Ἐλεαζάρος πρὸς Πτολεμαῖον τὸν Φιλάδελφον ἔπεμψε, τὸν τῶν Ἑλλήνων νοῦν ἐπὶ τὴν τῶν Ἰουδαίων θρησκείαν τε καὶ αὐτὸ τὸ ἔθνος ἔτρεψεν. — Οἱ μέτοικοι, τοῦτ' ἔστιν (ou δηλαδὴ) οἱ ἐν ταῖς Ἀθήναις οἰκοῦντες ξένοι, τῶν μὲν δημοσίων μετεῖχον οὐδέν, δασμὸν δὲ δώδεκα δραχμῶν ἔτειον ἐτέλουν. — Μισῶ σοφιστήν, εἶπεν ὁ Ἀλέξανδρος ἐπὶ τῷ Καλλισθένει, ὅστις οὐχ

αὐτῷ σοφὸς, τοῦτ' ἔστιν (ou δηλαδὴ) ὅστις τὴν ἑαυτοῦ σοφίαν κενῶς ἐπιδείκνυται. — Ὁ ἄστατος τῶν Ἀθηναίων τρόπος τοῖς συμμάχοις ἀπήρεσκεν· ἔδει γὰρ κολακευομένου δήμου τὴν δυσκολίαν πάσχειν, τοῦτ' ἔστιν (ou δηλαδὴ), ὥς φησιν ὁ Πλάτων, σφαλερώτερόν τι τῆς βασιλέως δυσκολίας τοῦ τῇ κολακείᾳ διεφθαρμένου.

294ᵉ Exercice.

Ce n'est pas à dire que, est-ce à dire que (*Grammaire*, § 691).

1. Ὅτι ἀεὶ καὶ ἀρετὴν καὶ χρηστότητα καὶ ἀφιλαργυρίαν διὰ στόμα ἔχει τις, οὐ διὰ τοῦτο ἀγαθός ἐστιν. — Εἰ οἱ ἄνθρωποι ταῖς δόξαις διαφέρουσιν ἀλλήλων περὶ τῆς ἀρίστης πολιτείας, μῶν διὰ τοῦτο οὐδεμία ἐστὶ τῆς ἑτέρας βελτίων; — Ὅτι ἡ τιμωρία οὐκ εὐθὺς τῷ ἀδικήματι ἕπεται, μῶν διὰ τοῦτο ὁ κακὸς κἂν ὀλίγον τινὰ χρόνον εὐδαίμων ἐστίν; — Εἰ οἱ ἄνθρωποι πρὸς τὸν ἑαυτῶν ὄλεθρον τὰ χρησιμώτατα εὑρήματα μεταστρέφουσι, μῶν διὰ τοῦτο οὐδεμίαν χάριν τοῖς εὑρηκόσιν ὀφείλομεν; — Ὅτι οἱ ποιηταὶ τἀληθὲς κοσμοῦσί τε καὶ καλλωπίζουσι, θαυμάσιά τινα πλάσσοντες, μῶν διὰ τοῦτο οὐδὲν χρηστὸν οὐδὲ πρὸς τὸ παιδεύειν ἐπιτήδειον ἐν τοῖς ποιήμασιν αὐτῶν ἐστίν; — Ἐάν τις ἐμπαθῶς ἢ ἀγανακτικῶς ἔχων δεινῶς λέξῃ ὀλίγα, οὐ διὰ τοῦτο δεινός ἐστι λέγειν. — Εἰ καὶ ὀλίγοι δὴ συγγραφεῖς τοσοῦτο ἀπ' ἀλλήλων ὅσον ὁ Ἡρόδοτος καὶ ὁ Θουκυδίδης καὶ ὁ Ξενοφῶν διαφέρουσιν, οὐ διὰ τοῦτο ἅμα γε τοὺς τρεῖς καὶ φιλεῖν καὶ ἄγασθαι ἀδύνατον.

2. Εἰ τὰ ἔθνη τὰ πρὸς τὴν ἄρκτον οἰκοῦντα ἧσσον ψοφοειδῶς τὰ πάθη τῶν πρὸς τὴν μεσημβρίαν οἰκούντων ἀποδηλοῦσιν, οὐ διὰ τοῦτο ἀπαθέστερον ἔχουσιν. — Ὅτι οἱ κατὰ τὸν Περικλέα Ἀθηναῖοι τὰ ἱερὰ μετὰ μείζονος λαμπρότητος καὶ μεγαλοπρεπείας ἐτέλουν τῶν κατὰ τὸν Κόδρον ζώντων, μῶν διὰ τοῦτο δικαιότεροί τε καὶ εὐσεβέστεροι ἦσαν τῶν προγόνων; — Εἰ οἱ Μιλήσιοι τὴν μὲν ἐμπορίαν τὴν τὸν πλοῦτον παρέχουσαν τοῦ πολέμου προείλοντο τοῦ τὰ χρήματα διαφθείροντος, δουλείαν δὲ ἥσυχον ταραχώδους τινὸς ἐλευθερίας, οὐ διὰ τοῦτο ἄνανδροι ἦσαν. — Ὅτι ἄνθρωπός τις ὀλίγα τινὰ καταγέλαστός ἐστι, οἷον κακῶς τὰς τρίχας κεκαρμένος καὶ ἀκόμψως τὴν τήβεννον καθιέμενος, καὶ πέδιλα μείζω ἢ κατὰ πόδα ὑποδεδεμένος, μῶν διὰ τοῦτο οὐδὲν οὔτε ψυχὴν οὔτε νοῦν ἀγαθὸς πέφυκεν, οὔτε βέβαιος καὶ πιστὸς καὶ πρόθυμός ἐστι φίλος; — Εἰ οἱ Ἴωνες δικαίως σεμνύνονται ποιητάς τε καὶ συγγραφεῖς καὶ φιλοσόφους τῇ Ἑλλάδι δόντες, μῶν διὰ τοῦτο καὶ ἐκ τοῦ Δωρικοῦ γένους οὐκ ἐγένοντο ἄνδρες τὴν φύσιν θεσπέσιοι;

295e Exercice.

Vouloir dire (*Grammaire*, § 592).

Τί ἐκεῖνα τὰ ὀνόματα σημαίνει (ou νοεῖ) καθ' ἃ θνητοί τινες ἄνθρωποι καὶ μεγάλοι καὶ ἐπιφανεῖς καὶ σωτῆρες προσαγορεύονται; — Τί σημαίνει (ou νοεῖ) ὄχλος ὅδε ὁ πρὸς τὸν ἐν Ἅδου ποταμὸν ἐπειγόμενος, τὰς χεῖρας πρὸς τὴν πέραν ὄχθην ὀρεγόμενος; — Τί σημαίνουσιν (ou νοοῦσιν) αἱ τιμαὶ αἷς οἱ δῆμοι τοὺς θανόντας θεραπεύουσι, καὶ αἱ τῶν προγόνων εἰκόνες ἃς ἐν τοῖς ἡμετέροις οἴκοις οὕτως ἐπιμελῶς φυλάσσομεν; — Αἱ μητέρες τε καὶ αἱ τίτθαι μόναι συνιέναι δύνανται ὅ τι σημαίνει (ou νοεῖ) τὰ παιδία τραυλίζειν ἀρχόμενα. — Ἐπεὶ τρία πρόβατα θύεσθαι μέλλοντα καὶ κατεσπεισμένα τῷ Κλείτῳ ἐπηκολούθησε, φοβηθεὶς ὁ Ἀλέξανδρος παρὰ τῶν μάντεων ἐπυνθάνετο ὅ τι σημαίνοι (ou νοοῖ) τὸ μαντεῖον. — Οἱ Μακεδόνες καὶ οἱ Πέρσαι οὐκ ἐν Ἀρβήλοις συνέμιξαν ἀλλήλοις, ἀλλ' ἐν Γαυγαμήλοις ἃ δὴ Περσιστὶ καμήλου οἶκον σημαίνει (ou νοεῖ). — Φυγάδες τινὲς ἐκ Σκυθῶν μεγάλην ἀργὴν ἐπ' ἐσχάτων τῶν ἑῴων κτίσαντες Πάρθοι ἐπωνομάσθησαν· ὃ δὴ Σκυθιστὶ φυγάδα σημαίνει (ou νοεῖ). — Ἄνδρες Ἀθηναῖοι, τί αἱ κραυγαὶ καὶ οἱ κρότοι σημαίνουσιν (ou νοοῦσιν), ἐπεὶ οὐδὲν ποιεῖτε ὧν ἐπαινεῖν δοκεῖτε; — Τί ἐσήμαινεν (ou ἐνόει) ὁ χρησμὸς λέγων τό· « Γνῶθι σεαυτόν; »

296e Exercice.

Faire signifiant *faire en sorte* (*Grammaire*, § 693).

Οὐ μὲν ἐφ' ὑμῖν ἐστὶ τοὺς κακοὺς κωλύειν μὴ ὑμᾶς κακῶς λέγωσι, ἔστι δὲ ποιεῖν ὅπως μὴ τὰ τοιαῦτα πιστεύωνται λέγοντες. — Ποίησον ὅπως οἱ φίλοι μήποτε διανοῶνταί σέ τι μὴ δίκαιον αἰτεῖν. — Καὶ εἰ ἡ ἱστορία τοῖς ἄλλοις ἀνθρώποις ἄχρηστος εἴη, δέοι ἂν ποιεῖν ὅπως οἱ βασιλεῖς αὐτὴν ἀναγνώσονται. — Τὸ πρῶτον καὶ σχεδὸν τὸ ἀναγκαιότατον τῶν τοῖς βασιλεῦσι προσηκόντων ἐστὶ ποιεῖν ὅπως τὴν εἰρήνην καὶ τῶν πολιτῶν τὴν πρὸς ἀλλήλους ὁμόνοιαν καταστήσουσιν. — Οὕτω τοὺς πολίτας βέλτιστα τιμωρήσῃ, εἰ ποιήσεις ὅπως καὶ ἀδικήσαντές σε αἰσχυνοῦνται. — Διὰ τοῦ ἐνθέματος ποιεῖ ὁ ἄνθρωπος ὅπως οἱ καρποὶ καὶ πικρότατοι καὶ δριμύτατοι ὄντες τὸ πρότερον, γλυκεῖς τε καὶ εὔχυμοι γενήσονται. — Οἱ πάλαι Ῥωμαῖοι οὐ μόνον τοῖς συμμάχοις ἀλλὰ καὶ τοῖς δασμοφόροις ἔθνεσι τὰ ἀγάλματα ταῦτα καταλείποντες ὧν οἱ καθ' ἡμᾶς στρατηγοὶ οὕτω πλεονεκτικῶς ἔχουσιν, ἐποίουν ὅπως οἱ μὲν τῆς αὐτῶν ἐπικρατείας αἰσθάνοιντο ὡς ἐπιεικής ἐστιν, οἱ δὲ λανθάνοιεν τὴν ἐλευθερίαν ἀποβεβληκότες. — Τῶν Περσῶν οἱ βασιλεῖς ποιεῖν ἐσπούδαζον ὅπως Σπάρτη τε καὶ Ἀθη-

ναι διατελοῖεν πολεμοῦσαι πρὸς ἀλλήλας. — Ποίησον ὅπως οἱ παῖδές σου σεμνυνοῦνται τὸ σὸν ὄνομα ἔχοντες.

297ᵉ Exercice.

Faire suivi d'un infinitif (*Grammaire*, § 694).

Ἡ ἱστορία καθ' ἡμᾶς τοὺς στενοὺς τοῦ χρόνου ὅρους τῷ νῷ ἐκβαίνειν ποιεῖ, καὶ εἰς πάντας τοὺς αἰῶνας ἐκτείνεσθαι καὶ τοῖς μεγάλοις ἀνδράσιν ὁμιλεῖν ὅσοι πάλαι ἐγένοντο. — Οὐ πόῤῥω ἐστὶν ἡ ἡμέρα ὅτε ὁ Κελτικὸς Τευτάτης τὸν Καπετωλῖνον Δία καὶ αὐτὸν τρέμειν ποιήσει. — Πρῶτοι οἱ Ἀθηναῖοι τοὺς Πέρσας ἀναχωρεῖν ἐποίησαν οἳ ἀπὸ τοῦ Κύρου ἀήσσητοι ἐδόκουν εἶναι. — Ὁ Λυκοῦργος οὕτω τῆς τῶν παίδων παιδείας ἐπεμελήθη ὥστε αὐτοὺς τὸν τῶν νόμων ἔρωτα τρόπον τινὰ ἅμα τῷ γάλακτι μυζᾷν ἐποίησεν. — Ὁ ῥήτωρ τοὺς νεανίας τρόπον τινὰ τῆς χειρὸς λαμβάνων ποιεῖ εἰς τὴν ὁδὸν εἰσιέναι ἣν ὁ ῥητοροδιδάσκαλος πόῤῥωθεν μόνον δείκνυσιν αὐτοῖς. — Ὁ Ἡρακλῆς οὐ μόνον τὴν οἰκουμένην τῶν τερατωδῶν θηρίων ἀπεκάθηρεν, ἀλλὰ καὶ τοὺς θεοὺς τοῖς γίγασι μαχομένους περιγενέσθαι ἐποίησεν. — Ὁ μὲν χρηστὸς ἀνὴρ οὐ ταράσσεται οὐδὲ ἐκπλήσσεται ἐναντίον τῶν δικαστῶν· μᾶλλον δὲ αὐτὸς τοὺς κατηγοροῦντας καὶ τρέμειν ἐποίησε καὶ ὠχριαίνεσθαι. — Τοῖς νεοσσοῖς ἁπαλοῖς μὲν ἔτι καὶ ἁβροῖς οἱ ὄρνιθες τροφὴν φέρουσιν· ὅταν δὲ μικρῷ ῥωμαλεώτεροι ἐκεῖνοι γένωνται, ἡ μήτηρ αὐτοὺς τῆς νεοττιᾶς ἐξιέναι ἐθίζουσα ποιεῖ πέτεσθαι αὐτὴ περιπετομένη· τέλος δὲ ὅταν τῆς ἐκείνων ἰσχύος πεῖραν λάβῃ, ποιεῖ αὐτοὺς μακρὰν ἐκπέτεσθαι αὐτοὺς ἑαυτοῖς παραδιδοῦσα. — Διδάσκαλος λίαν χαλεπὸς ὢν τοὺς παῖδας εἰς ἀθυμίαν ἐμβάλλει· ἐνίοτε δὲ καὶ ποιεῖ αὐτοὺς τὴν ἐπιστήμην ἀποτραπέσθαι. — Ποιήσει ὁ ἔμπειρος διδάσκαλος τοὺς παῖδας καὶ αὐτοὺς τὰ ἀκριβέστατα ῥήματα καὶ τὰς μάλιστα πρεπούσας φράσεις εὑρίσκειν, ὀλίγον τι αὐτοῖς συνεργαζόμενος. — Ὅσα ἐκ τέχνης εἶναι δοκεῖ, τοὺς ἀκούοντας καὶ ὑποπτεύειν καὶ φοβεῖσθαι ποιεῖ μὴ αὐτοῖς ἐπιβουλεύωμεν. — Εἴ ποτε ὁ Ὀδυσσεὺς εἰς Ἰθάκην ἐπανελεύσεται, τοὺς νῦν ἀσελγῶς ἐν τῇ οἰκίᾳ αὐτοῦ εὐφραινομένους κλαίειν ποιήσει. — Ἆρα νομίζετε εὐδαιμονεστάτους αὐτοὺς γενέσθαι τοὺς τυράννους ἐκείνους οἷς οὐδεμία ἡδονὴ ἦν πλὴν εἰ τοὺς ἄλλους ἀλγεῖν ἐποίουν;

298ᵉ Exercice.

Suite de *faire* avec un infinitif.

1. Τοὺς Ἀθηναίους μεγάλῃ μάχῃ νικηθέντας ἀνέπεισεν ὁ Περικλῆς τὸν Κίμωνα καταγαγεῖν, εἰ καὶ πρότερον ὡς οὐδεὶς ἕτερος ἐσπούδασεν ὅπως φεύξεται ἐκεῖνος. — Στόλος πολὺς τοῦ Παυσανίου καὶ τοῦ Ἀριστείδου ἡγου-

μένων τοὺς Πέρσας ἠνάγκασε Κύπρον τὴν νῆσον καὶ Βυζάντιον τὴν πόλιν καταλιπεῖν. — Παυσανίας, ὁ τῶν Λακεδαιμονίων βασιλεὺς, πλεῖστα λάφυρα ἐν τῷ Περσικῷ στρατοπέδῳ εὑρὼν, ἐν ἀνωγέῳ δύο δεῖπνα πάνυ διάφορα παρασκευάζειν ἐκέλευσεν. — Ἡ Τόμυρις τοῦ Κύρου τὴν κεφαλὴν τέμνειν κελεύσασα καὶ εἰς ἀσκὸν αἵματος πλήρη τιθέναι· « Ὦ βάρβαρε, εἶπε, τούτῳ τῷ αἵματι μετὰ τὸν θάνατον κόρεσαι οὗπερ ἀεὶ παρὰ τὸν βίον ἐδίψησας. » — Ἐπεὶ οἱ Ῥωμαῖοι τὸν Ἰουγούρθαν καὶ τοὺς ἐλέφαντας καὶ τὰ ὅπλα καὶ τοὺς αὐτομόλους παραδοῦναι ἠνάγκασαν, ἐκέλευσαν αὐτὸν καὶ τὸ ἑαυτοῦ σῶμα παραδοῦναι. — Ὁ Πόπλιος Νασικᾶς τοὺς στρατιώτας στόλον κατασκευάζειν ἐκέλευσε, μὴ τῇ ἀργίᾳ ἐνεθισθεῖεν.

2. Τῆς γεφύρας ᾗ οἱ Φοίνικές τε καὶ οἱ Αἰγύπτιοι τὸν Ἑλλήσποντον ἔζευξαν ὑπὸ χειμῶνος λελυμένης, ὁ Ξέρξης καὶ τὰς κεφαλὰς τοῖς ἐργάταις ἀποτεμεῖν, καὶ τὸν πόντον ῥάβδοις πλῆξαι, καὶ δύο πέδας εἰς αὐτὸν βαλεῖν ἐκέλευσεν. — Οὔτε ὁ Ὀδυσσεὺς τῇ εὐεπείᾳ οὔτε ὁ Φοῖνιξ ταῖς δεήσεσιν ἐδυνήθησαν τὸν Ἀχιλλέα τῆς δυσβουλίας παρακροῦσαι. — Ὁ Δαρεῖος οὐ μόνον τὴν Ἰωνίαν, ἀλλὰ καὶ πολλὰς τοῦ Αἰγείου πελάγους νήσους καὶ πάσας τὰς παρὰ τὸν Ἑλλήσποντον πόλεις πειθαρχεῖν ἠνάγκασε. — Μετὰ τὴν ἐν Πλαταιαῖς μάχην οἱ σύμμαχοι ἐπὶ τὰς Θήβας ἥκοντες τῶν πολιτῶν τοὺς τὴν πόλιν πείσαντας περσίζειν, παραδοθῆναι αὐτοῖς ἠξίωσαν. — Ὁ γέρων Ἄππιος τὴν σύγκλητον ἀνέπεισε τὰς συνθήκας ἀπώσασθαι ἃς ὁ Πύῤῥος προέτεινεν. — Ἀρχέλαος ὁ τῶν Μακεδόνων βασιλεὺς, πολυπρεπῆ τάφον τῷ Εὐριπίδῃ ἐγγὺς τῆς μητροπόλεως ἐκέλευσεν ἱδρῦσαι, παρὰ ῥεῖθρόν τι οὕτω διαυγὲς ὂν ὥστε ἵστασθαι τὸν ὁδοιποροῦντα παρακαλεῖν.

299ᵉ Exercice.

Suite de *faire* avec un infinitif (*Grammaire*, § 694, *Remarque II*).

Ἡ ἄνασσα ἡ τὸν Μωϋσῆν τῶν ὑδάτων ῥυσαμένη, ὡς ἑαυτῆς υἱὸν ἐθρέψατο αὐτὸν καὶ πάσας Αἰγυπτίων τὰς τέχνας ἐδιδάξατο. — Οἱ Ἰσραηλῖται ἐπὶ τοὺς πολεμίους ἐρχόμενοι τὴν ἱερὰν κιβωτὸν ἐν τῷ στρατοπέδῳ ἔφερον. — Ὁ Ἡρόδοτός φησι Ψαμμίτιχον τὸν τῶν Αἰγυπτίων βασιλέα κάλω τινὰ μυρίων ὀργυιῶν πλεξάμενον, τοῦ Νείλου τὰς μὲν πηγὰς ἐξετάσαι, τοῦ δὲ βυθοῦ μὴ δυνηθῆναι ἐφικνεῖσθαι. — Ὁ Ἀλέξανδρος τῇ τοῦ Λυσιμάχου τόλμῃ ὑπερησθεὶς ἐπεὶ ἐκεῖνος λέοντα κατέβαλεν, ἐκαλέσατό τε αὐτὸν καὶ τὴν χεῖρα ὀρέξας· « Ἐγώ σοι, ἔφη, τὴν ἐμαυτοῦ φιλίαν ἀποδίδωμι· σὺ δὲ τὴν σεαυτοῦ μοι ἀνταπόδος. » — Τῶν Περσῶν οἱ βασιλεῖς ἄλλοτε καὶ ἄλλοτε τὰ γραμματεῖα προσφέρεσθαι ἐκέλευον οἷς ἐνεγέγραπτο ὅσα ἡ βασιλεία εὐηργετήθη. — Ἄνθρωποί τινες εἰσὶν οὕτω φιλοκαλλωπισταὶ ὥστε οὔποτε ἑαυτοὺς καὶ τῶν φίλων τοῖς οἰκειοτάτοις δει-

κνύοιεν ἂν πρὶν τὸν πώγωνα καὶ τὰς τρίχας κείρασθαι καὶ ἐλαίῳ τε καὶ μύροις καταλείψασθαι. — Τύραννοι ἔνιοί εἰσι τῇ μὲν τόλμῃ, οὐ δὲ τῇ πλεονεξίᾳ τῶν ἄλλων ἀπολειπόμενοι, οἷς ἔδοξε χρήματα πολλὰ παρὰ τῶν ἰδιωτῶν δανείζεσθαι. — Ὁ Σύλλας ποιησάμενος σφραγῖδα, ἐφόρει γλύμμα ἔχον ἐγχειριζόμενον ὑπὸ τοῦ Βόκχου τὸν Ἰουγούρθαν τῷ τῶν Ῥωμαίων ταμίᾳ. — Τοῖς βασιλεῦσι τοῖς τὰς πυραμίδας οἰκοδομησαμένοις οὐκ ἐγένετο ἐξουσία ἐκεῖ θάπτεσθαι· τῆς ἑαυτῶν οὖν ταφῆς οὐκ ἀπέλαυσαν. — Παρὰ τοῖς Ἀθηναίοις οἱ πατέρες τοὺς παῖδας τῇ τρίτῃ μόνον ἀπὸ τῆς γενεᾶς τοῖς τῆς φυλῆς γραμματείοις ποιοῦσιν ἐγγράφειν. — Ὁ Σαλομῶν τὸν ἐν Ἱερουσαλὴμ ναὸν ᾠκοδόμησεν ἐκ τῆς σκηνῆς ἣν ὁ Μωϋσῆς ἐποιήσατο ἐν τῇ ἐρήμῳ. — Εἰ μὴ ὁ θάνατος τὸν Ἀλέξανδρον κατέλαβε, τῷ φίλῳ Ἡφαιστίωνι τάφον πολλῷ τῶν ἐνδοξοτάτων μνημάτων πολυτελέστερον οἰκοδομήσεσθαι ἔμελλεν.

300ᵉ Exercice.

Suite de *faire* avec un infinitif (*Grammaire*, § 694, *Remarque III*).

1. Ὁ Θησεὺς καὶ τὸν Σκείρωνα καὶ τὸν Σίννιν καὶ τὸν Προκρούστην ἐν αἷς αὐτοὶ ἐσοφίσαντο βασάνοις ἀπέκτεινεν. — Ὁ Σωκράτης τὸν Ἀντισθένην ὁρῶν ἀεὶ τὰς τοῦ τριβωνίου τρύπας ἐπιδεικνύμενον· « Οὐ γὰρ παύσῃ, εἶπεν, ἐν ὄψει ἡμῶν σοβαρευόμενος; » — Ὁ Ἀγησίλαος οὐχ ὥσπερ οἱ πλεῖστοι βασιλεῖς ἐν τούτῳ τὸ ἀξίωμα ἐτίθετο εἰ πάντων ἄρχων αὐτὸς οὐδενὶ πείθοιτο. — Ἔστι γε χαλεπώτατον εἰς ἑτέραν γλῶσσαν τὰς χάριτας μετάγειν τὰς μάλιστα ἐν τῇ τῶν ῥημάτων λέξει τε καὶ συντάξει καὶ τῇ τῶν φράσεων εὐρυθμίᾳ κειμένας. — Γέλων ὁ τῶν Σικελιωτῶν τύραννος τοὺς Καρχηδονίους νικήσας τὴν εἰρήνην συνεχώρησεν αὐτοῖς καὶ ἐπ' ἄλλοις καὶ ἐφ' ᾧτε παῖδας τῷ Κρόνῳ θύοντες παύσονται. — Ὁ Ἡρακλῆς τὸν ἐν Νεμέᾳ λέοντα καὶ τὸν ἐν Κρήτῃ ταῦρον καὶ τὸν Ἐρυμάνθιον κάπρον καὶ τὴν Λερναίαν ὕδραν κατέβαλεν. — Ὅταν ὁ θεὸς πόλιν τινὰ εὖ ποιεῖν βούληται, ἐνταῦθα χρηστοὺς ἄνδρας φύει. — Ὁ κατηγορούμενος γέλωτα τοῖς δικασταῖς κινήσας ἐφ' ἡμισείᾳ τῆς αἰτίας ἀπολελυμένος ἐστίν. — Ὁ ἄγαν ἐφ' ἑαυτῷ σεμνυνόμενος τὴν ψυχὴν ἡμῶν δάκνει ὅτι νομίζομεν αὐτὸν ταπεινοῦν ἡμᾶς ἢ καταφρονεῖν ἡμῶν. — Ἐπεὶ ὁ Σέσωστρις τῶν ἐφήβων ἐγένετο, ὁ πατὴρ αὐτὸν πολεμεῖν ποιήσας πρὸς τοὺς Ἄραβας προεγύμνασε. — Ῥᾷον ἂν εἴη τοῖς μέγα δυναμένοις φιλεῖσθαι ἢ μισεῖσθαι. — Ὁ Κικέρων βουλόμενος τὸν ἀδελφὸν Κουΐντον πρὸς ἐπιείκειαν καὶ σωφροσύνην προτρέπειν ὑπομιμνήσκει αὐτὸν ὅσα ἐν τῷ Ξενοφῶντι περὶ τοῦ Κύρου καὶ τοῦ Ἀγησιλάου ἀνέγνω. — Ὁ Πλούταρχος τὸ τοῦ Ἀλεξάνδρου ἦθος διὰ βραχυτέρας καὶ συντόμου βιογραφίας ἡμῖν ποιεῖ φανερώτερον ἤπερ ὁ Κουΐντος Κούρτιος καὶ ὁ Ἀρριανὸς μακραῖς διηγήσεσι.

2. Τὸ παρὰ τοῖς Αἰγυπτίοις νενομισμένον τὸ τοὺς τετελευτηκότας βασιλεῖς κρίνειν ἐδήλου ζῶντας μὲν αὐτοὺς διὰ τὸ ἀξίωμα μείζους εἶναι ἢ ὥστε ὑπ' ἀνθρώπων κρίνεσθαι, ἑτέρως δὲ ἔχειν ἐὰν ὁ θάνατος αὐτοὺς τοῖς ἄλλοις ἐξισώσῃ. — Ἐδήλωσεν ὁ Σύλλας τὸν τῶν Ῥωμαίων δῆμον δεσπότην ὑπομένειν δύνασθαι. — Ἐν τοῖς ἐσχάτοις χρόνοις οἱ στρατηγοὶ οὐχ ὅπως ἀκριβῆ εὐταξίαν διετήρουν, ἀλλὰ μόνον τοὺς στρατιώτας θεραπεύειν διενοοῦντο, ὅπως τῇ ἐλευθερίᾳ ἐπιβουλεύοντες χρήσαιντο αὐτοῖς. — Ἡ δεσπότου αὐτοκράτεια μόνη τὰς διαφόρους τάξεις τῶν πολιτῶν ἔπαυσε τῶν πρὸς ἀλλήλας στάσεων αἵπερ ἀεὶ ἐγένοντο. — Οἱ πλεῖστοι τῶν νομοθετῶν ἵνα τοὺς νόμους μᾶλλον αἰδεστοὺς παρέχοιεν, τοὺς πολίτας πεῖσαι ἐπειρῶντο ὅτι οἱ θεοὶ ἐκείνους ὑπετεθείκεισαν αὐτοῖς. — Ὅταν τῷ θεῷ δόξῃ τινὰς ἐθνῶν νικητὰς ἀποφαίνειν, τὸν φόβον πρὸ αὐτῶν ἄγει. — Ὅταν τῷ θεῷ δόξῃ τὰς ἀρχὰς ἀνατρέψαι, τοὺς ἄρχοντας πάσης σοφίας καὶ φρονήσεως ἐξίστησιν. — Ὁ Κικέρων ἐνίοτε τὸ γένος εἰς τὸν Σερούϊον ἕνα τῶν πάλαι τῆς Ῥώμης βασιλευσάντων παίζων ἀνῆγεν. — Ὁ Νέρων καὶ γλύφων καὶ ζωγραφῶν καὶ ᾄδων καὶ ἁρματηλατῶν τῶν τῷ ἀξιώματι προσηκόντων ἐπελάθετο.

301ᵉ Exercice.

Ne faire que (*Grammaire*, § 695).

Οἱ δήμαρχοι οὐ διέλειπον (ou οἱ δήμαρχοι διετέλουν) τὸν δῆμον κολακεύοντες καὶ τῶν δυοῖν τάξεων τὰς πρὸς ἀλλήλας στάσεις τρέφοντες. — Οἱ ἐκ προσφάτου φιλόσοφοι πρὸς πάντας ἀντισυλλογιζόμενοι τοῖς κυσὶ τοῖς νεωνήτοις ὅμοιοί εἰσιν οἵτινες οὐ διαλείπουσι (ou οἵτινες διατελοῦσι) καὶ τῶν οἰκείων καθυλακτοῦντες. — Ὁ Τιβέριος οὐ διέλειπε (ou ὁ Τιβέριος διετέλει) τῇ συγκλήτῳ ἐπᾴδων τὸ τῆς ἀρχῆς ἄχθος βαρύτερον ἢ κατ' αὐτὸν μόνον εἶναι. — Οἱ πάλαι τοῦ Καίσαρος στρατιῶται οἵτινες πολλὰ ἔτη οὐ διέλιπον (ou οἵτινες πολλὰ ἔτη διετέλεσαν) ἐκ μάχης εἰς μάχην τρέχοντες, τῆς λαμπρᾶς περὶ τὸν Πομπήϊον νεότητος κατεφρόνουν. — Εἰ ὁ Ἀλέξανδρος ἐπὶ πλέον ἔζησεν διετέλεσεν ἂν (ou οὐ διέλιπεν ἂν) τὴν οἰκουμένην τῇ μανίᾳ αὐτοῦ καὶ ἀπηνείᾳ ἐκπλήσσων. — Ἡ Πηνελόπη οὐ διέλειπε (ou ἡ Πενηλόπη διετέλει) δακρύουσα, ἀεὶ τὴν τοῦ Ὀδυσσέως ἐπάνοδον ἐλπίζουσα. — Παννύχιον οἱ βάρβαροι οὐ διέλιπον (ou διετέλεσαν) δεινὰ κράζοντες οἷς τὸ τῶν Ῥωμαίων στρατόπεδον ἐξέπλησσον. — Ὁ σκίουρος καὶ εἰρχθεὶς οὐ δύναται τὴν ἡσυχίαν ὑπομένειν· διὸ καὶ οὐ διαλείπει (ou διὸ καὶ διατελεῖ) ἐν τῷ στενωτάτῳ οἰκίσκῳ περιστρεφόμενος. — Οἱ περὶ τὸν Πλάτωνα τοῦ Διογένους κατεγόγγυζον ὅτι οὐ διέλειπε (ou ὅτι διετέλει) τὸ τοῦ διδασκάλου δόγμα ἐν γέλωτι ποιούμενος. — Ἐν ταῖς ἐκκλησίαις τῆς Ῥώμης, καὶ δὴ φθινούσης ἤδη

τῆς πολιτείας, διετέλουν (ou οὐ διέλιπον) περὶ τῆς ἐλευθερίας λέγοντες. — Ὁ Κικέρων ἐν ἀγρῷ ἀνακεχωρηκὼς οὐ διέλειπε (ou ἀνακεχωρηκὼς διετέλει) τοῖς φίλοις περὶ τῶν ὑψηλοτάτων καὶ σπουδαιοτάτων συνδιαλεγόμενος, πῶς δὴ τὰ καλὰ τῶν αἰσχρῶν διακρίνεται, καὶ τί προσήκει ἡμᾶς πράττειν, καὶ πότερον ἀθάνατός ἐστιν ἡ ψυχή.

802e Exercice.

Ne faire que de (Grammaire, § 695, Remarque).

Τοῦ Ἐπαμεινώνδου ἄρτι θανόντος, ἤδη ἡ τῶν Θηβαίων δύναμις ἠφάνιστο. — Τοῦ Ξέρξου ἀρτίως τῆς σκηνῆς ἐξελθόντος, οἱ Ἕλληνες ἐκεῖσε εἰσπεσόντες τοὺς ἐγκαταλειφθέντας ἐν αὐτῇ πάντας ἐφόνευσαν. — Ὁ Κικέρων καίπερ νεωστὶ ἐπὶ τὴν ἀγορὰν προελθὼν, ἤδη εἰς τοὺς πρώτους ῥήτορας ἐτίθετο. — Τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου ἄρτι γνωσθέντων, ἤδη ἐξ αὐτῶν καὶ στάσεις καὶ πόλεμοι τῶν θνητῶν πρὸς ἀλλήλους ἐγίγνοντο. — Χειμῶνος ἄρτι ἀρχομένου, οἱ ποταμοὶ παγέντες διὰ τῆς ἰδίας φύσεως ἐγεφυροῦντο.

803e Exercice.

Il faut (Grammaire, § 696).

Δεῖ ὥσπερ τῷ ἁλὶ οὕτω τῷ σκώμματι χρῆσθαι μετρίως. — Χρὴ (ou ἀνάγκη ἐστὶ) τὴν πόλιν ἀπολωλέναι, ὅταν οἱ πολῖται ἕκαστος τοῦ ἰδίου μόνον συμφέροντος φροντίζωσιν. — Λέγοντός τινος ἑαυτὸν οὐ δύνασθαι σοφὸν εὑρεῖν· « Οὐ θαυμαστὸν, ὑπέλαβεν ὁ Ἐμπεδοκλῆς· χρὴ γὰρ (ou ἀνάγκη γάρ ἐστι) τὸν εὑρήσοντα σοφὸν αὐτὸν σοφὸν εἶναι. » — Ὥσπερ ὁ Ὀδυσσεὺς τὰς Σειρῆνας παρῆλθεν, οὕτως ἡμᾶς δεῖ τὰς ἡδονὰς παρελθεῖν. — Τῷ μὲν ἐλέγξοντι ἀρκεῖ παιδεῦσαι, τὸν δὲ πείσοντα χρὴ (ou ἀνάγκη ἐστὶ) καὶ τὴν ψυχὴν κινεῖν. — Μετὰ τὸν Σύλλαν ἐχρῆν ἂν (ou ἀνάγκη ἐγένετ' ἂν) τοὺς θεοὺς θαυματουργεῖν ὥστε ἐκ τῆς τῶν Ῥωμαίων στρατηγῶν διανοίας τὴν τοῦ μοναρχεῖν ἐπιθυμίαν ἀφανίσαι. — Δεῖ ἐκείνους μόνον τοὺς ἐγκωμιαστὰς προσίεσθαι τοὺς παραδείγματα μιμήσεως ἄξια παρέχοντας, καὶ τὴν ἀρετὴν τοῖς ἐγκωμίοις ἀγαπητὴν ποιοῦντας. — Πολλάκις φάσκει ὁ Κικέρων ὅτι χρὴ (ou ἀνάγκη ἐστὶ) τὴν ἑαυτοῦ γνώμην πραγμάτων ἐμπλῆσαι πρὸ τοῦ λέγειν. — Ἐχρῆν (ou ἀνάγκη ἦν) τὴν σύγκλητον ἀεὶ τὸν ἀπειθῆ δῆμον ἀμφὶ τὸν πόλεμον κατέχουσαν προβάλλειν αὐτῷ τὴν οἰκουμένην πορθῆσαι. — Δεῖ διατελεῖν φυλαττόμενον· ὁ μὲν γὰρ τοῦ εὖ ποιεῖν καιρὸς παρέρχεται μηκέτι ἐπανιών· ὁ δὲ τοῦ κακῶς ποιεῖν παρελθὼν συνεχῶς ἐπάνεισι. — Χρὴ (ou ἀνάγκη ἐστὶν), εἶπεν ὁ Δημοσθένης τοῖς Ἀθηναίοις τῇ κολακείᾳ διεφθαρμένοις, τὸν βουλόμενον

ὠφελεῖν τι τὴν πόλιν πρῶτον τὰς ἡμῶν ἀκοὰς ἰᾶσθαι. — Ὅταν μὲν οἱ φίλοι ἡμῶν ὀργίζωνται, εἴκειν αὐτοῖς δεῖ· ὅταν δὲ τῆς ὀργῆς λωφήσωσιν, σωφρονίζειν αὐτούς.

304ᵉ Exercice.

Suite de *il faut.*

1. Τοὺς αἰσχροὺς λόγους ἀποῤῥητέον ἐστίν (ou οἱ αἰσχροὶ λόγοι ἀποῤῥητέοι εἰσίν)· ὁ γὰρ λόγος, ὥς φησι Δημόκριτος, τῶν πραττομένων σκιά. — Κἂν μέγιστα τὴν πόλιν πολίτης τις εὐεργετήσῃ, οὐχ ὑπὲρ αὐτοῦ τὴν ἡμῶν ἐλευθερίαν προετέον ἐστι (ou ἡ ἡμῶν ἐλευθερία προετέα ἐστί). — Τῷ ῥήτορι τὴν τῶν ζωγράφων δεξιότητα μιμητέον ἐστὶν (ou ἡ τῶν ζωγράφων δεξιότης μιμητέα ἐστίν), οἳ εὐπρεπῆ μὲν ἰδεῖν παρέχουσιν ἃ πέφυκε δυσειδέστατα, τὰ δὲ ἐλλείποντα κρύπτουσι τὴν ὁμοιότητα ἅμα σώζοντες. — Εἰ βούλει τὸ σῶμα ῥωμαλέος εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ συνεχέσι πόνοις ἐπιῤῥωστέον. — Εἰ τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀφθόνους, τὴν γῆν θεραπευτέον σοι (ou ἡ γῆ θεραπευτέα σοι)· εἰ δὲ ἀπὸ τῆς τῶν βοσκημάτων θρέψεως πλουτίζεσθαι, τῶν βοσκημάτων σοι ἐπιμελετέον (ou τὰ βοσκήματα ἐπιμελετέα σοι). — Εἰ βούλει ἅτινα ἥμαρτες διορθῶσαι, ἔφη ὁ Μέντωρ τῷ Ἰδομενεῖ, τούτων τῶν μεγάλων ἔργων παυστέον ἐστὶ, καὶ ταύτην τὴν πολυτέλειαν δεῖ χαίρειν ἐᾶσαι δι' ἧς τὴν νέαν πόλιν εἰς ἀπορίαν τῶν ἀναγκαίων καθισταίης ἄν.

2. Οὔτε ναῦν ἐκ μιᾶς ἀγκύρας οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον (ou οὔτε ναῦς ἐκ μιᾶς ἀγκύρας, οὔτε βίος ἐκ μιᾶς ἐλπίδος ὁρμιστέος). — Εἰ καὶ ὁ Σωκράτης ἐδίδασκε τὴν ἐπιχώριον θρησκείαν ὅτι ἑκάστῳ διατηρητέον (ou διατηρητέα) ἐστὶ, καὶ ὁ Πλάτων ὅτι οὐδὲν τῆς καθεστώσης θρησκείας μεταβλητέον, ὅμως ἀσέβειαν ἢ ὤφλησαν ἢ ὀφλεῖν ἐκινδύνευσαν. — Τοῖς ὑπάρχουσι μὲν νόμοις πειστέον, καινοὺς δὲ οὐκ εἰκῇ θετέον. — Τοῖς παισὶν ἔτι νηπίοις οὖσιν οὐδὲν ποιεῖν ἐθιστέον ὃ δεῖ ὕστερον ἀπομανθάνειν. — Εἰ πυρὸν ἐργάζῃ, τὴν γῆν οὐχ ἅπαξ ἀροτέον, καὶ μόνον πυρὸν τὸν πέρυσι συγκεκομισμένον σπαρτέον, καὶ πρωϊαίτερον ἢ ὀψιαίτερον κατὰ τὴν τῆς ὥρας κατάστασιν, καὶ μανότερον ἢ πυκνότερον ὡς ἡ γῆ λεπτοτέρα ἢ βαρυτέρα ἐστὶν, ἀεὶ δὲ ὁμαλῶς.

3. Ὅταν ὁ πυρὸς ὑψηλότερος γίγνηται, καρτέα ἐστὶν αὐτόν. — Οὐ φροντιστέα ὧν περὶ ἡμῶν λέξει τὸ ἀπαίδευτον πλῆθος. — Οὐ καταφρονητέα ἱκέτου γέροντος καὶ πένητος· πᾶς γὰρ ἱκέτης ἐκ Διός ἐστι.. — Πανταχοῦ τῆς γλώσσης κρατητέον.

305ᵉ Exercice.

Suite de *il faut* (*Grammaire*, § 696, *Remarque III*).

Ὅσων δεῖ πλεονεκτημάτων ὥστε εὖ βασιλεύειν. — Μείζονος ἔτι τέχνης καὶ πόνου ἔδει ὥστε τὸν Εὐφράτην εὔπλουν παρέχειν ἢ τοῖς Αἰγυπτίοις ὥστε τὸν Νεῖλον. — Ὥσπερ ἐμπείρου ἐπιβάτου δεῖ τῷ θυμοειδεστάτῳ ἵππῳ, οὕτω διδασκάλου δεινοῦ τῷ εὐφυεστάτῳ παιδί. — Ἐρωτηθεὶς ἀνήρ τις Λακεδαιμόνιος διὰ τί ὁ Λυκοῦργος νόμους οὕτως ὀλίγους ἐποίησεν· « Ὀλίγων γὰρ, ἀπεκρίνατο, νόμων δεῖ τῷ ὀλίγα λαλοῦντι. » — Ὥσπερ τοῖς παισὶ κροτάλων, οὕτω τοῖς ἀνθρώποις ἀξιωμάτων δεῖ καὶ τιμῶν. — Ὥσπερ ἰατροῦ δεῖ τῷ τὸ σῶμα νοσοῦντι, οὕτω καὶ φίλου τῷ τὴν ψυχὴν νοσοῦντι.

306ᵉ Exercice.

Faut-il que (*Grammaire*, § 697).

Φεῦ! τὸ τοῦ ἀνθρωπίνου γένους τὴν ἱστορίαν οὐδὲν ἄλλο εἶναι ἢ μακρὰν ὕβρεών τε καὶ ἀδικημάτων ἀκολουθίαν. — Φεῦ! τὸ τοσοῦτον αἵματος ἐκχυθῆναι καὶ τοσούτους ἥρωας Ἀχαιούς τε καὶ Τρῶας εἰς Ἅδην ἕνεκα γυναικίου προῤῥιφθῆναι. — Τὸ τὸν Μέτελλον τοσαύτας καλὰς καὶ μεγάλας ἀρετὰς διαφθεῖραι αὐθαδείᾳ τινὶ καὶ ὑπερηφανίᾳ ἀνυποίστῳ. — Ὦ θεοί· τὸ τὴν Ἕκτορος χήραν ὑβριστικοῦ νικητοῦ τὴν ὑπεροψίαν ὑπομεῖναι. — Τὸ τοὺς ἀνθρώπους μείζοσι τιμαῖς κοσμεῖν τοὺς πορθοῦντας ἢ τοὺς παραμυθουμένους. — Τὸ τοὺς Ῥωμαίους, ἔλεγον οἱ Γράκχοι, πολεμεῖν μόνον ὥστε τῶν πλουσίων τάς τε προσόδους αὐξάνειν καὶ ταῖς τρυφαῖς χορηγεῖν. — Τὸ τὸν Ἀλκιβιάδην τοσάκις ἐπὶ τῷ τῆς πατρίδος ὀλέθρῳ χρήσασθαι ταῖς μεγάλαις ἀρεταῖς αἷς ἐπὶ τῇ σωτηρίᾳ αὐτῆς ἔλαχε. — Τὸ τοὺς ἀνθρώπους οὕτω μὲν ταχέως ἐπιλανθάνεσθαι εὖ παθόντας, τοσοῦτον δὲ χρόνον μεμνῆσθαι ἐλάχιστόν τι προσκρούσαντας. — Τὸ τοὺς βασιλεῖς εἰκῆ τοσούτων μυριάδων ἀνθρώπων τὸν βίον στρατηγοῖς ἀνεπιτηδείοις ἢ ἀπείροις ἐπιτρέπειν. — Τὸ τὴν μὲν Ἀθηνᾶν τὸν τῶν Ἑλλήνων στόλον καταποντίσαι ἐπὶ τῇ μόνου τοῦ Αἴαντος κολάσει, ἐμὲ δὲ τὴν τοῦ Διὸς καὶ ἀδελφὴν καὶ γυναῖκα οὐ δύνασθαι τοὺς Τρῶας τῆς Ἰταλίας ἀπείργειν. — Τὰ πάσης τῆς οἰκουμένης χρήματα νῦν ἐπὶ φαύλοις τισὶν ἀπελευθέροις εἶναι. — Τὸ τοῖς μὲν βασιλεῦσιν οὕτω συμφέρειν τἀληθῆ γνῶναι, τοῖς δὲ προσιοῦσιν οὕτω συμφέρειν κρύψαι ἐκείνους τἀληθῆ.

307ᵉ Exercice.

Il s'en faut (*Grammaire*, § 698).

Ὁ τῶν Τρώων στρατὸς σχεδὸν τοσοῦτος ἦν τὸ πλῆθος ὅσος ὁ τῶν Ἑλλήνων· μόνον γὰρ ὀλίγαι ἀνθρώπων χιλιάδες ἐδέησαν. — Ὁ Κάδμος καὶ

ὁ Δαναὸς καὶ ὁ Κέκρωψ πολλῷ ὕστερον τοῦ Ἰνάχου ἐν τῇ Ἑλλάδι ἐφάνησαν· ἐδέησε γὰρ σχεδὸν τριακοσίων ἐτῶν. — Ἡ Τροία τῷ ὄρει Ἴδῃ ὑποκειμένη οὐκ εἰς τὴν θάλασσαν ἀνῆκεν· ἔδει δὲ στάδια ὀλίγα. — Ὁ Μέτων ὁ τῶν Ἀθηναίων τὸ ἡμερολόγιον διορθώσας εἰς ἐννεακαίδεκα ἔτη ἠρίθμει ἑξακισχιλίας τεσσάρακοντα καὶ ἐννακοσίας ἡμέρας· ἔδει δὲ σχεδὸν ἡμισεία ἡμέρα. — Τὸ τάλαντον οὐκ ἀεὶ οὐδὲ πανταχοῦ τὸν αὐτὸν σταθμὸν καὶ τὴν αὐτὴν τιμὴν ἔσχεν· ἐδέησε γὰρ ἐνίοτε τριτημορίον. — Ὁ Ἡσίοδος οὐχ ὁμόχρονος ἦν τῷ Ὁμήρῳ, ὡς εἰκάζει ὁ Ἡρόδοτος· ἔδει γὰρ καὶ πλέον ἑκατὸν ἐτῶν. — Σκηπίων ὁ πρότερος ὕπατος ἀνηγορεύθη πρὸ τῆς τοῖς νόμοις διωρισμένης ἡλικίας· ἔδει γὰρ καὶ πλείονα ἔτη. — Οἱ Σπαρτιᾶται τῆς Δεκελείας κρατήσαντες σχεδὸν ἐν πύλαις ἦσαν τῶν Ἀθηνῶν· μόνον γὰρ εἴκοσι καὶ ἑκατὸν στάδια ἔδει.

308ᵉ Exercice.

Peu s'en faut, tant s'en faut, etc. (*Grammaire*, § 699).

Ὀλίγου δέουσιν οἱ Ἀθηναῖοι εἰς δουλείαν κατασταθῆναι ἐξ οὗ ἀήσσητοι νομίζουσιν εἶναι. — Οὐ πολλοῦ ἐδέησεν ὁ Ἐπαμεινώνδας εἰς τὴν Σπάρτην εἰσελάσαι. — Πολλοῦ δεῖ τῶν Ἑλληνίδων γυναικῶν τῶν μουσουργησασῶν καὶ μία ἴση τῇ Σαπφοῖ γενέσθαι. — Ὅσου δέουσι καὶ ὁ Διομήδης καὶ ὁ Αἴας καὶ δὴ ὁ Ἀχιλλεύς, καίπερ τῷ σθένει καὶ τῇ ἀρετῇ διαπρέποντες, τοσαῦτα τοὺς Ἕλληνας ὠφελῆσαι ὅσα ὁ σοφὸς Ὀδυσσεύς. — Ὀλίγου ἔδεον οἱ τοῦ Πλάτωνος θεὸν εἶναι αὐτὸν ἡγεῖσθαι. — Ὁ Σωκράτης πολλάκις τὰς ἐξομοιώσεις ἐκ τῶν εὐτελεστάτων βαναυσουργιῶν ἐλάμβανε· τοσούτου ἔδει τὴν πομπικὴν σοφιστῶν τινων λέξιν μιμεῖσθαι. — Πολλοῦ δέουσιν οἱ Αἰγύπτιοι τὰς τοῦ σώματος γυμνασίας διὰ τιμῆς ἀγαγεῖν ὥσπερ οἱ Ἕλληνες. — Οὐκ ἐδέησε πολλοῦ ὁ Ἰσοκράτης ἅμα τῷ Θεραμένει καταγνωσθῆναι συνηγορεῖν αὐτῷ ἀξιώσας. — Πολλοῦ δεῖ ὁ τοῦ Ἰσοκράτους λόγος πρὸς τοὺς ἐν δικαστηρίοις ἀγῶνας καὶ τὰς ἐκκλησίας ἐπιτήδειος εἶναι. — Ὅσου δεῖ τὸν Ἄρειον πάγον νῦν τὴν αὐτὴν δύναμιν ἢ κατὰ τὸν Σόλωνος χρόνον ἔχειν. — Ὀλίγου ἐδέησεν ὁ Αἴσχυλος αἰτιαθεὶς ὡς τὰ Ἐλευσίνια ἀποκαλύψας ὑπὸ τοῦ πλήθους καταλευσθῆναι. — Διονυσίου τοῦ πρεσβυτέρου τῷ Πλάτωνι εἰπόντος· « Σὺ δὴ ὡς λῆρος λέγεις· » « Ἀλλὰ σὺ ὡς τύραννος, » ἔφη ὁ φιλόσοφος· τοσούτου ἔδει τοῦ διαλεγομένου κράτος ἐκπλήσσεσθαι. — Πολλοῦ ἔδεον οἱ τῶν Ἑλλήνων ναοὶ οὕτως εὐρεῖς εἶναι ὡς οἱ ἡμῶν. — Οἱ Ἕλληνες τὸν Δία τῶν θεῶν δεσπότην τε καὶ πατέρα ὀνομάζουσι· τοσούτου δέουσι τὴν αὐτὴν δύναμιν πᾶσι τοῖς δαίμοσιν ἀναφέρειν οἷς τὸν ἀέρα καὶ τὴν γῆν καὶ τὰ ὕδατα ἐνέπλησαν.

309ᵉ Exercice.

Suite de *peu s'en faut*, *tant s'en faut*, etc. (*Grammaire*, § 699, *Remarque II*).

Τοσούτου ἔδεον οἱ πάλαι τὴν τιμωρίαν ψέγειν ὥστε καὶ καλόν τι εἶναι αὐτὴν ἡγοῦντο (ou ἡγήσασθαι). — Τοσούτου δέουσιν οἱ ἀγαθοὶ νόμοι ἱκανοὶ εἶναι πόλιν ἥσυχόν τε καὶ ἀκμάζουσαν ποιεῖν ὥστε οὐδὲν ἰσχύουσιν (ou ἰσχύειν) ἄνευ τῆς παίδων παιδείας. — Οἱ μεγάλοι ἄνδρες, οἷοι ὁ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης, τοσούτου ἔδεον τὰ κοινῇ συμφέροντα τῆς ἔχθρας ὕστερον ποιήσασθαι ὥστε καὶ τὸν πρὸς ἀλλήλους ζῆλον ἔτρεπον (ou τρέπειν) ἐπὶ τὴν τῆς πόλεως ὠφέλειαν. — Τοσούτου δεῖ ἡ τῶν ἀγρῶν σιγὴ καὶ ἡσυχία τοῖς λόγοις ἐναντία εἶναι ὥστε τὰ μέγιστα καὶ τὰ κάλλιστα ἔργα πόῤῥω τῶν τοῦ ἄστεος θορύβων πλεῖστα συνεγράφη (ou συγγραφῆναι). — Τοσούτου δεῖ ὁ Παῦλος Αἰμίλιος τὸν Περσέα νικήσας ἐπαρθῆναι, ὥστε μεγάλην τινὰ συμφορὰν ἀντὶ τούτων γενήσεσθαι προσδοκῶν, τοῖς θεοῖς εὔξατο (ou εὔξασθαι) αὐτὴν μᾶλλον εἰς τὸν ἑαυτοῦ οἶκον ἢ εἰς τὴν πόλιν περιστῆσαι. — Τοσούτου ἔδει Περσεὺς ὁ βασιλεὺς ἐνίας τῶν μεγάλων τοῦ πατρὸς ἀρετῶν παραλαβεῖν ὥστε πᾶσι τοῖς ἐκείνου ἐλασσώμασι καὶ ἄλλο τὸ πάντων ταπεινότατον καὶ αἴσχιστον προσέθηκε (ou προσθεῖναι), τὴν ῥυπαρίαν.

310ᵉ Exercice.

Suite de *peu s'en faut*, *tant s'en faut*, etc. (*Grammaire*, § 699, *Remarque III*).

Ὁ Ἰσοκράτης φησὶν ὅτι οἱ σοφισταὶ τοῖς μαθηταῖς μικροῦ δεῖν (ou μικροῦ) ὑπισχνοῦνται ἀθανάτους αὐτοὺς παρασχήσειν. — Ἡ Ἑλλὰς πάνυ μικρόχωρός ἐστι καὶ τὸ πολὺ στερίφη καὶ ὀλίγου δεῖν (ou ὀλίγου) πανταχοῦ ὄρεσι τραχεῖα. — Τοὺς τοῦ Λυκούργου νόμους πολλοῦ δεῖν ἡγητέον ἐστὶν ὡς παράδειγμά τι πᾶσι τοῖς ἔθνεσι προκείμεινον. — Ἐκ τοῦ κακοῦ τινὸς φόβου πολλάκις μικροῦ (ou ὀλίγου) οὕτως ὀλέθρια γίγνεται ὡς ἐξ αὐτοῦ τοῦ κακοῦ. — Ὅταν τοὺς τῶν ἐπιφανῶν ἀνδρῶν βίους ὑπὸ τοῦ Πλουτάρχου συγγεγραμμένους ἀναγιγνώσκωμεν, μικροῦ δεῖν (ou μικροῦ) δοκοῦμεν αὐτοῖς καὶ συζῆν καὶ ὁμιλεῖν, καὶ συμπεριπατεῖν, καὶ συνδειπνεῖν καὶ συνδιαλέγεσθαι. — Τοὺς ἀνθρώπους πολλοῦ δεῖ κριτέον εἶναι ὥσπερ κρίνουσιν οἱ πολλοί, ἐξ ἐσθῆτος δὴ ἢ καὶ ἐκ προσώπου. — Οἱ ἡγεμόνες οἱ ἐπὶ τὴν Τροίαν συστρατευσάμενοι μικροῦ (ou ὀλίγου) ἅπαντες ἀπώλοντο πρὶν ἢ ἡ πόλις ἑαλώκει. — Ἡ τοῦ Ὀρτησίου κεκοσμημένη καὶ κεκαλλιεπημένη λέξις δι' ἧς μάλιστα τοὺς ἀκούοντας νέος ὢν ἔτερψεν, οὐχ ὁμοίως πολλοῦ δεῖν προσῆκε τῷ μᾶλλον

τῇ ἡλικίᾳ προβεβηκότι. — Οἱ ἄνθρωποι οἱ ἐπὶ τῶν αὐτοκρατόρων μάλιστα ἐν ἀξιώσει ὄντες μικροῦ (ou ὀλίγου) ἅπαντες ἐκ νέων καὶ ἀγνώστων οἴκων ἐγένοντο· ἔνιοι δὲ καὶ οὐδὲν ἄλλο ἢ ἀπελεύθεροι ἦσαν.

311ᵉ Exercice.

Laisser suivi d'un infinitif (*Grammaire*, § 700).

Οἱ Ῥωμαῖοι τοὺς Σαγουντίνους ἀθλίως ὄλλυσθαι εἴασαν μᾶλλον ἢ τοῖς Καρχηδονίοις ἐπολέμησαν πρὶν σπονδοφόρους ἀποστεῖλαι. — Ὁ Καλλίας, εἷς τῶν τῷ Ἀριστείδῃ προσηκόντων, εἰς τὸν δῆμον εἰσηγγέλθη ὡς τὸν μέγαν πολίτην τῶν ἀναγκαίων ἐῶν ἀπορεῖν. — Ἀννίβας, ὁ παρὰ τῶν Ῥωμαίων ἀσεβείας αἰτίαν ἔχων, πολλὰ ἔτη ἐγγὺς τοῦ πλουσίου Ἥρας τῆς Λουκινίας ναοῦ διατρίψας, οὐ μόνον οὐδὲν ἐξ αὐτοῦ ἥρπασεν ἀλλὰ καὶ οὐδὲν λαβεῖν εἴασεν. — Ὁ Περικλῆς ἡσύχως εἴασε τοὺς Λακεδαιμονίους τὴν Ἀττικὴν πορθῆσαι εὖ εἰδὼς ὅτι τῷ στόλῳ ῥαδίως αὐτοὺς τοσαῦτα κακὰ ἀντιποιήσει ὅσα ποιήσαιεν ἄν. — Ὅταν ἐῶσιν οἱ θεοὶ τοὺς ἀγαθοὺς ὑπὸ τῶν κακῶν καταπιέζεσθαι, φανερῶς ἡμῖν δηλοῦσιν οὐ πάντα ἅμα τῷ βίῳ τούτῳ τελευτᾷν. — Ὁ Περικλῆς τοὺς τοῦ Σόλωνος νόμους κρατεῖν εἴασε, καὶ ἀνδροφονίας γραφεὶς, πρὸς τὸν Ἄρειον πάγον, ὥσπερ τις τῶν πολιτῶν ἔσχατος, ἦλθε τὸ κατηγορούμενον ἀπολυσόμενος. — Τῷ Σόλωνι ἐμέμφοντο ὅτι τοὺς δικαστὰς ἐάσαι καὶ τοὺς νόμους ἐξηγεῖσθαι καὶ οὕτω τοῦ τῶν πολιτῶν βίου καὶ τῆς οὐσίας παντελῶς κυρίους εἶναι. — Ἔασόν με μόνον τὰς συμφοράς μου φέρειν, ἔλεγεν ὁ Καλλισθένης τῷ Λυσιμάχῳ, μηδὲ τῇ τοῦ βασιλέως ὀργῇ περίπεσον πρὸς ἄθλιον ἄνδρα φοιτῶν ὑπ' αὐτοῦ καταγνωσθέντα. — Ὁ Αὔγουστος τὸν μὲν δῆμον εἴασε τοὺς ἄρχοντας ἑαυτοῦ χειροτονεῖν, τὴν δὲ σύγκλητον ὡς πρότερον εὐδοκιμεῖν ἠξίωσεν. — Ἔασον τοὺς ἀπαιδεύτους τὸν λόγον τε καὶ τὴν ποίησιν, ὡς ἂν αὐτοῖς δόξῃ, ταπεινοῦν, τοὺς δὲ σοφοὺς συγγραφεῖς ἄνδρας ἀχρείους τῇ πόλει ἀποκαλεῖν. — Οἱ θεοὶ οὐκ ἐπὶ πολὺ εἴασαν τὸν Καίσαρα τῆς μοναρχίας ἀπολαύειν τῆς διὰ τοσούτων πόνων καὶ μόχθων περιποιηθείσης.

312ᵉ Exercice.

Se laisser (*Grammaire*, § 700, *Remarque*).

Ἆρ' ἐλεύθερον ὀνομάζεις τὸν ὑπὸ τῶν περὶ τὸ σῶμα ἡδονῶν κρατούμενον; — Πάντες οἱ θεοὶ πλὴν τοῦ Πλούτωνος ταῖς μὲν ἱκεσίαις ἡμῶν κινοῦνται, μάλιστα δὲ ταῖς θυσίαις ὧν τῇ ὀσμῇ τέρπεσθαι αὐτούς φησιν ὁ Ὅμηρος. — Πολλοὶ ἄνθρωποι λιμῷ θνήσκειν ἐγνωκότες οὐχ ὑπέμειναν διὰ τέλους ἐν τῇ προαιρέσει διαμένειν. — Οἱ στρατηγοὶ ἐπὶ τὸν Ἰουγούρθαν πρῶτοι

πεμφθέντες αἰσχρῶς ἐνικήθησαν, εἴτε τῶν πολεμικῶν ἄπειροι ἦσαν, εἴτε ἐδωροδοκήσαντο. — Οἱ δυνατοὶ οἱ πάσαις ταῖς ἐπιθυμίαις παραφερόμενοι οὐκ ἴσασιν οὐδενὶ ἄλλῳ μᾶλλον τῷ πλήθει ὅμοιοι ὄντες ὅπερ τοσοῦτον περιορῶσιν. — Ὁ Καῖσαρ οὐκ ὢν οἷος εὐπρεπέσι λόγοις ἑαλωκέναι ὅμως τῇ τοῦ Κικέρωνος δεινότητι ἀντέχειν οὐκ ἠδύνατο, καὶ τὴν τοῦ Λιγαρίου συγγνώμην αὐτῷ ἔδωκεν.

313ᵉ Exercice.

Ne pas laisser de (*Grammaire*, § 701).

Εἰ καὶ τὸ λέγειν οὐκ ἐπὶ τὰ πρῶτα πόλεως τῆς ἄγει, ὥσπερ ποτὲ ἐν τῇ Ῥώμῃ καὶ ἐν ταῖς Ἀθήναις εἰώθει, ὅμως μάλ' ἔντιμον καὶ νῦν ἐστιν. — Ὁ Κάτων καίπερ τὰ τοῦ Πομπηΐου προαιρούμενος ὅμως τὴν ἐκείνου φιλοτιμίαν καὶ ᾐσθάνετο καὶ ἐφοβεῖτο. — Ἐκ τοῦ νόμου θάνατος ἐπιτίμιον ἦν τῷ ἄρχοντι ὅστις μεθύων εἰς μέσον παρήρχετο τὰ τῆς ἀρχῆς παρασήματα ἔχων. — Ἡ θάλασσα εἰ καὶ ναῦς καταβροχθίζει καὶ χώρας ὅλας κατακλύζει, ὅμως τῷ τῶν ἀνθρώπων γένει ἐστὶ χρησίμη. — Ὁ Σόλων τὴν δημοκρατίαν αἱρετωτέραν μὲν εἶναι ἡγεῖτο· ὅμως δὲ αὐτὴν καὶ τῇ τοῦ Ἀρείου πάγου δυνάμει καὶ τῷ τοὺς ἄρχοντας αἱρεῖσθαι τρόπῳ μετριωτέραν ἐποίησε. — Ὁ Ἀριστείδης, καίπερ σοφὸς ὤν, ὅμως καιρίως τὴν πόλιν ἔπληξεν εἰσφέρων ὅτι οἱ τῶν ἐσχάτων τάξεων πολῖται οἱ τῶν τιμῶν ὑπὸ Σόλωνος ἀπειρχθέντες τυγχάνειν αὐτῶν ἱκανοὶ ἔσονται. — Ὅταν καὶ περὶ τῶν μάλιστα τεθρυλλημένων δεινοί τινες συγγράφωσιν, ὅμως ταῦτα καὶ χάριν τινὰ νέαν δοκεῖ ἔχειν. — Εἰ καὶ ὁ Κικέρων τῶν ἐπαίνων ἐπιθυμητικῶς ἔσχεν, ὅμως τῷ Βρούτῳ ἔγραφεν οὐδένα μᾶλλον ἢ αὐτὸν τοιούτου τοῦ πάθους ἀφεστηκέναι. — Ἀνταγωνισταὶ δύο εἰ καὶ διαβάλλουσιν ἀλλήλους, ὅμως ἐν τῇ διανοίᾳ τὴν τοῦ ἐναντίου ἀρετὴν τῆς ἀξίας τιμῶσιν. — Εἰ καὶ τὰ τῶν ἐγγυτέρω χρόνων ἄδηλόν τι ἔχει, πολλῷ γε μᾶλλον (ou πλείονα) τὰ τῶν σχεδὸν μυθωδῶν. — Εἰ καὶ ὁ Περικλῆς ἐπὶ πολὺ μόνος τῶν τοῦ ἄστεος προσόδων κύριος ἐγένετο, ὅμως λιτότατα μὲν ἔζησεν αὐτὸς, πάντος δὲ παρέργου καὶ περισσοῦ ἀναλώματος ἀπέσχετο.

314ᵉ Exercice.

Manquer de (*Grammaire*, § 702).

Ὁ Ἀλέξανδρος μικρὸν ἀπέλιπεν (ou μικροῦ ἐδέησεν) ἀποθανεῖν ou Ἀλέξανδρος παρὰ μικρὸν (ou παρ' ἐλάχιστον) ἦλθεν ἀποθανεῖν ou Ἀλέξανδρος μικροῦ δεῖν (ou μικροῦ) ἀπέθανεν, ὅτε ῥεόμενος ἱδρῶτι τῷ τοῦ Κύδνου καταπαγέντι ὕδατι ἐνέπεσεν. — Ὁ Κίμων μικρὸν ἀπέλιπε (ou μικροῦ ἐδέησε) θάνατον καταδικασθῆναι ou ὁ Κίμων παρὰ μικρὸν (ou

παρ' ἐλάχιστον) ἦλθε θάνατον καταδικασθῆναι ou ὁ Κίμων ὀλίγου δεῖν (ou ὀλίγου) θάνατον κατεδικάσθη ὡς τῆς πολιτείας τι καινοτομήσας. — Στρατόνικος τὴν τῶν Καυνίων ὠχρότητα ἐν γέλωτι ποιησάμενος τῶν χώραν νοσώδη οἰκούντων, μικρὸν ἀπέλιπεν (ou μικροῦ ἐδέησεν) ὑπ' ἐκείνων καταλευσθῆναι ou παρὰ μικρὸν (ou παρ' ἐλάχιστον) ἦλθεν ὑπ' ἐκείνων καταλευσθῆναι, ou μικροῦ δεῖν (ou μικροῦ) ὑπ' ἐκείνων κατελεύσθη. — Ἐν τῷ πρώτῳ Καρχηδονιακῷ πολέμῳ οἱ Ῥωμαῖοι διὰ τὴν πολλῶν καὶ μεγάλων στόλων ἀπώλειαν ἀθύμως ἔχοντες, τοῖς Καρχηδονίοις τῆς θαλασσοκρατίας παραχωρῆσαι μικρὸν ἀπέλιπον (ou μικροῦ ἐδέησαν), ou παρὰ μικρὸν (ou παρ' ἐλάχιστον) ἦλθον παραχωρῆσαι ou μικροῦ δεῖν (ou μικροῦ) παρεχώρησαν. — Ὁ Ἀλέξανδρος τῶν δορυφόρων μετὰ τοῦ παιδαγωγοῦ Λυσιμάχου ἀποσπασθεὶς, ὑπὸ Ἀράβων τῶν τῷ Ἀντιλιβάνῳ προσοικούντων μικρὸν ἀπέλιπεν (ou μικροῦ ἐδέησεν) ἑαλωκέναι, ou παρὰ μικρὸν (ou παρ' ἐλάχιστον) ἦλθεν ἑαλωκέναι, ou ὀλίγου δεῖν (ou ὀλίγου) ἑάλωκεν. — Πρὸ τῆς Πλαταϊκῆς μάχης οἱ Τεγεᾶταί τε καὶ οἱ Ἀθηναῖοι ἴσως τοῦ εὐωνύμου κέρως ἡγεῖσθαι ἀξιοῦντες μικρὸν ἀπέλιπον (ou μικροῦ ἐδέησαν) ἀλλήλοις εἰς χεῖρας ἰέναι, ou παρὰ μικρὸν (ou παρ' ἐλάχιστον) ἦλθον ἀλλήλοις εἰς χεῖρας ἰέναι, ou μικροῦ δεῖν (ou μικροῦ) ἀλλήλοις εἰς χεῖρας ᾔεισαν. — Αἱ πόλεις αἱ τὰ Ξέρξου προελόμεναι ἢ οὐδετέροις συμμαχήσασαι, οἷον Ἄργος τε καὶ Θῆβαι, μικρὸν ἀπέλιπον (ou μικροῦ ἐδέησαν) τῆς Ἀμφικτυονίας εἰρχθῆναι ou παρὰ μικρὸν (ou παρ' ἐλάχιστον) ἦλθον τῆς Ἀμφικτυονίας εἰρχθῆναι ou ὀλίγου δεῖν (ou ὀλίγου) τῆς Ἀμφικτυονίας εἴρχθησαν. — Οἱ Λακεδαιμόνιοι τῇ μὲν τῶν Ἀθηνῶν ἐπιδόσει ἀνιώμενοι, τοῖς δὲ τῶν συμμάχων ἐγκλήμασι παροξυνόμενοι, μικρὸν ἀπέλιπον (ou μικροῦ ἐδέησαν) τὸν πόλεμον τοῖς Ἀθηναίοις καταγγεῖλαι, ou παρὰ μικρὸν (ou παρ' ἐλάχιστον) ἦλθον τὸν πόλεμον τοῖς Ἀθηναίοις καταγγεῖλαι, ou μικροῦ δεῖν (ou μικροῦ) τὸν πόλεμον τοῖς Ἀθηναίοις κατήγγειλαν, ἐν ᾧ οὗτοι ἀμφὶ τὴν τῆς Θάσου πολιορκίαν εἶχον. — Μενέδημος ὁ φιλόσοφος πρὸς Νικοκρέοντα τὸν τῆς Κύπρου βασιλέα παῤῥησιασάμενος διὰ τοῦτο μικρὸν ἀπέλιπε (ou μικροῦ ἐδέησε) θανάτῳ ζημιωθῆναι, ou παρὰ μικρὸν (ou παρ' ἐλάχιστον) ἦλθε θανάτῳ ζημιωθῆναι, ou μικροῦ δεῖν (ou ὀλίγου) θανάτῳ ἐζημιώθη. — Ἀθλητής τις, ἐπεὶ παλαίοντι αὐτῷ συνέβη τὸν ἀνταγωνιστὴν κτεῖναι, τοῦ στεφάνου ὑπὸ τῶν ἀγωνοθετῶν ἀποστερηθεὶς, οὕτως ἠχθέσθη ὥστε ὑπὸ λύπης μικρὸν ἀπολιπὼν (ou μικροῦ δεήσας) ἀποθανεῖν, ou παρὰ μικρὸν (ou παρ' ἐλάχιστον) ἐλθὼν ὑπὸ λύπης ἀποθανεῖν, ou ὀλίγου δεῖν (ou ὀλίγου) ὑπὸ λύπης ἀποθανὼν, τοῦ φρονεῖν ἐξέστη.

315e Exercice.

Ne pas manquer de (*Grammaire*, § 703).

Τῷ Ἀννίβᾳ τῷ τὴν Φλαμινίου προπέτειαν εἰδότι ἐμέλησεν ἐρεθίσαι αὐτὸν τὰς χώρας πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ πορθοῦντι. — Τοῖς Κνωσσὸν οἰκοῦσιν, ἐπεὶ τὸν τοῦ βίου χρόνον μόνον ἐκ τῶν ὀλβίων ἡμερῶν λογίζονται, τοῦτο τὸ παράδοξον ἐπίγραμμα μέλει τοῖς τάφοις ἐγγράψαι· « Ἔνθα κεῖται ὁ δεῖνα ὃς τοσαῦτα μὲν ἔτη ἐβίω, τοσαῦτα δ' ἔζη. » — Ὁ Ὀκτάβιος δεξιῶς πρὸς τὸν Κικέρωνα προσηνέχθη· ἐμέλησε γὰρ αὐτῷ ἐκεῖνον καὶ κολακεύειν καὶ ἐπαινεῖν καὶ εἰς συμβουλὴν παρακαλεῖν καὶ πᾶσι τοῖς τεχνήμασι χρῆσθαι ἅτινα οἱ δοξοκόποι οὔποτε φυλάττονται. — Τῷ ἐμπείρῳ διδασκάλῳ μελήσει τοὺς νεανίας ὑπομιμνήσκειν ὅτι τὸ ἀλλήλους ἕνεχ' ἑνὸς πολλάκις ῥήματος φονεύειν καὶ τὴν ὀνομαζομένην ὕβριν τῷ τῶν οἰκειοτάτων φίλων αἵματι ἀπονίπτειν οὔτε παρὰ τοῖς Ἕλλησιν, οὔτε παρὰ τοῖς Ῥωμαίοις εἴθιστο. — Ἐὰν ὁ σώφρων ἀνὴρ μάχην νικᾷ, μέλει αὐτῷ τὸ κατόρθωμα τῇ μὲν τῶν στρατιωτῶν ἀνδρείᾳ ἀναφέρειν ἢ τῇ τῶν ἀνταγωνιστῶν ἀπειρίᾳ, ἀλλ' οὐ τῇ ἑαυτοῦ ἀρετῇ. — Ἀεὶ τῷ ἀθλητῇ μέλει τὴν ὀδύνην κρύψαι ἵνα μὴ τὸν ἀνταγωνιστὴν θαῤῥεῖν ποιήσῃ. — Ὅτε τοῖς Ῥωμαίοις πρὸς πολλοὺς πολεμίους εἴη τὸ πρᾶγμα, ἔμελεν αὐτοῖς σπονδὰς τῷ ἀσθενεστάτῳ συγχωρεῖν· ὃς δὲ ἑαυτὸν εὐδαιμόνιζεν αὐτῶν τυγχάνων. — Ταῖς Ἑλληνίσι πόλεσιν ἔμελεν θεόν τινα ὡς προστάτην ἴδιον αἱρεῖσθαι.

316e Exercice.

Suite de *ne pas manquer de* (*Grammaire,* § 703, *Remarque*).

Μέμνησο (ou μέμνησθε) τὴν ἄμπελον ἀποφυλλίζειν τι (ou ὅπως ἀποφυλλίσεις τι, ou ἀποφυλλίσετέ τι) ἵνα ἡ σταφυλὴ ἡλιοβολουμένη πρωϊαίτερον πεπαίνηται. — Μέμνησο (ou μέμνησθε) τοὺς παῖδας ἐθίζειν (ou ὅπως ἐθίσεις ou ἐθίσετε) ἵνα εὔτακτοι καὶ καθαροὶ καὶ ἐν αὐτοῖς τοῖς ἐλαχίστοις ἀκριβεῖς ὦσι. — Μέμνησο (ou μέμνησθε) ἀεὶ τοῖς βελτίστοις παραδείγμασι χρῆσθαι (ou ὅπως χρήσῃ ou χρήσεσθε), καὶ δὴ ὅ τι ἐν αὐτοῖς ἐστι τελειότατον ἐκλέγεσθαι (ou ὅπως ἐκλέξῃ ou ἐκλέξεσθε). — Μέμνησο τοῖς νέοις τὴν περὶ τὰ ἀρχαῖα σπουδὴν ἐμβάλλειν (ou ὅπως ἐμβαλεῖς), καὶ τὴν φιλομάθειαν αὐτῶν ἐξεγείρειν (ou ὅπως ἐξεγερεῖς) παράδοξά τε καὶ ἐκπληκτικὰ ἱστορῶν αὐτοῖς. — Ἐὰν βούλῃ τὴν ἄμπελον ἐργάζεσθαι, μέμνησο τόπον ἐπιτήδειον αἱρεῖσθαι (ou ὅπως αἱρήσῃ), ξηρὸν δὴ ὄντα καὶ εὐήλιον.

317e Exercice.

Pouvoir exprimant la puissance, la faculté (*Grammaire*, § 704).

Οὐδεὶς δυοῖν ἅμα δεσπόταις διακονεῖν δύναται. — Νεόπλουτοί τινες τοῖς μὲν ἐξαίφνης ἐπελθοῦσι χρήμασιν ἐπαιρόμενοι, τὴν δὲ μεγίστην οὐσίαν δαπάναις καὶ ἀμέτροις ἐξαναλίσκειν μὴ δυνάμενοι, ἐθίζουσιν ἡμᾶς οὐδὲν χρηστὸν καὶ τιμῆς ἄξιον εἰ μὴ τὸν πλοῦτον καὶ δὴ ὑπέρογκον ἡγεῖσθαι. — Οἱ Καρχηδόνιοι ἐπεὶ εἶδον ἑαυτοὺς μήκετι ἀνταμύνασθαι δυναμένους, εἵλοντο μᾶλλον τὴν πόλιν πιμπρῆσαι ἢ τοὺς νικῶντας παραιτήσασθαι. — Ἀρίστιππος ὁ φιλόσοφος, τοῦ θεράποντος τὸ ἀργύριον βαστάζοντος μὴ ἕπεσθαι δυναμένου· « Ἀπόχεε, » ἔφη, « ἐφ' ὁδοῦ τοῦ φορτίου. » — Οὐδεὶς τῷ θεῷ δύναται ἀρέσκειν εἰ μὴ ἀγαθοποιῶν καὶ ἐμμενῶς πάσας τὰς ἀρετὰς ἀσκῶν.

318e Exercice.

Suite de *pouvoir* exprimant la puissance, la faculté (*Grammaire*, § 704, *Remarque*).

Οἱ Ἀθηναῖοι οὐκ ἔχοντες τὸν Ἀριστείδην φιλοτιμίας ἢ ἀδικίας αἰτιάσασθαι, ἐξωστράκισαν αὐτὸν ὡς δὴ ἄγαν χρηστόν. — Οὐ πάντες ἔχομεν τοὺς γονεῖς πολυτελέσι τάφοις κοσμεῖν. — Σὺ δὴ ὁ τοὺς τῆς πόλεως νόμους διορθοῦν ἀξιῶν ἔχοις ἄν μοι πρῶτον εἰπεῖν τὸν νόμον ὁποῖόν τι ἐστίν; — Τίς ἀνὴρ τῶν πάλαι ἔχοι ἂν εὔχεσθαι τοσάκις ἐκ παρατάξεως μαχέσασθαι καὶ τοσαύτας πόλεις κατὰ κράτος ἑλεῖν ὅσας ὁ Καῖσαρ; — Οἱ γονεῖς οὐκ ἔχουσι τοῖς παισὶ τὰς κακίας μέμψασθαι ὧν αὐτοὶ διατελοῦσιν ἐκείνοις κατάρχοντες. — Ἐπυνθάνετο ὁ Πλάτων εἴ τις εἶχεν ἄνθρωπον ὀνομάζειν ἕνα, δοῦλον ἢ ἐλεύθερον, πολίτην ἢ ξένον, ὃν ὁ Περικλῆς τῇ τοῦ λέγειν δεινότητι ἀμείνονα παρέσχεν.

319e Exercice.

Pouvoir exprimant la permission (*Grammaire*, § 705).

Ὁ Κροῖσος τῷ Κύρῳ ἐμέμφετο ὡς πένητι διὰ συνεχῶν δωρεῶν γιγνομένῳ, ἐξὸν αὐτῷ πάντων τῶν κατ' αὐτὸν βασιλέων πλουσιώτατον εἶναι. — Μετὰ τὴν ἐν Κάνναις μάχην ταῖς Ῥωμαίαις γυναιξὶν οὐδὲ δακρύειν ἐξῆν ἐν τῷ φανερῷ. — Ἆρα δεῖ καταρᾶσθαι, ἐξὸν εὐφημεῖν; — Ἐν τῇ Ῥώμῃ τοῖς πολίταις ἐξῆν τοῖς θανατικὴν δίκην φεύγουσι τὴν κατάκρισιν φθάνειν ἑκουσίως ἐκ τῆς πόλεως ἀπελθόντας. — Παρὰ τοῖς ἐν Ἰταλίᾳ Λοκροῖς οὐδενὶ γράφειν ἔξεστι νόμον μεταποιῆσαι ἢ ἀνελεῖν εἰ μὴ βρόχου τῷ τραχήλῳ περιβεβλημένου ὃν δὴ σφίγγουσιν, ὅταν τὸ γεγραμμένον ἀποψηφίζωνται. — Ὁ Ἐπαμεινώνδας, ποτὲ τῶν Θηβῶν ἑορταζουσῶν,

μόνος τὰ τείχη ἐφοδεύων ἔλεγεν ἀγρυπνεῖν αὐτὸς ἵνα τοῖς ἄλλοις εὕδειν καὶ μεθύειν ἐξείη.

320e Exercice.

Pouvoir exprimant simplement la possibilité (*Grammaire*, § 706).

Ἐπυνθάνετό τις παρὰ τοῦ Σωκράτους πῶς ἂν σαφῶς εἰδείημεν ὅτι θεὸς πάντα τὰ ἡμῖν πραττόμενα ὁρᾷ.— Εἰ πρὸς τοὺς γονεῖς εἶ ἀχάριστος, τίς ἐλπίσαι ἂν εὖ σε πράττων καλῶς ὑπὸ σοῦ πείσεσθαι; —Πῶς νομίζοι ἄν τις καὶ ἕνα τῶν τοῦ Σωκράτους μαθητῶν οἷον τὸν Ἀρίστιππον ἡγήσασθαι τὴν εὐδαιμονίαν ἐν ταῖς περὶ τὸ σῶμα ἡδοναῖς κεῖσθαι; — Ἴσως φαίη τις ἂν τὸν νόμον εἶναι τὴν τῆς πόλεως ψυχήν· τοῦ γὰρ νόμου ἀναιρεθέντος οὐδὲν ἄλλο ἡ πόλις ἢ σῶμα ἄψυχον.— Τάχα τις ἂν θαυμάζοι τὴν τοῦ Σωκράτους φιλίαν καὶ τὰ παραγγέλματα οὕτω μικρὰν ῥοπὴν σχεῖν ἐπὶ τὴν τοῦ Ἀλκιβιάδου ψυχήν. — Τίνος ἕνεκα τὸν πλοῦτον τοὺς θεοὺς αἰτοίη τις ἄν, εἰ μὴ ἐπὶ τῷ τοὺς φίλους εὐεργετῆσαι; — Ἐρωτηθεὶς ὁ Ἀγησίλαος πῶς ἄν τις μένοι ἐλεύθερος· « Τοῦ θανάτου καταφρονῶν, » ἀπεκρίνατο. — Ἴσως τὸν φειδωλὸν ἀνθρώπῳ τινὶ εἰκάζοιμεν ἂν ὅστις καλὸν ἵππον ὠνησάμενος οὐκ ἐπίσταιτο ἂν ἀναβαίνειν αὐτοῦ. — Τίς πάντα τὰ ἀδικήματα ἐξαριθμήσαι ἂν ὅσα οἱ Ῥωμαῖοι πρὸς τὰ ἄλλα ἔθνη ἠδίκησαν οἱ τῇ πίστει καὶ τῇ εὐσεβείᾳ σεμνυνόμενοι; — Ἴσως ὁ συγγραφεύς, πλημμελῶς μὲν γράφων, ἔχοι ἂν συγγνώμην, μὴ λέγων δὲ ἀληθῆ οὐχ ἕξει.

321e Exercice.

Puissé-je, *puisses-tu*, etc. (*Grammaire*, § 707).

Οἱ θεοί, εἶπεν ὁ Ἀβδολώνυμος, τὴν ἰσχύν μοι διδοῖεν ἐπὶ τῷ τὴν βασιλείαν φέρειν. — Ὁ Φαβρίκιος ἀκούων τινὸς περὶ τῶν τοῦ Ἐπικούρου ἠθικῶν λέγοντος· « Οἱ ἡμῶν πολέμιοι, εἶπε, τοιούτοις τοῖς διδάγμασι προσέχοιεν. »— Ἀθλίως ἀπόλοιτο ὅστις γε τῷ Ὀδυσσεῖ καὶ τοῖς Ἀτρείδαις ὅμοιός ἐστιν. — Ἡ καλῶς διηγμένου βίου μνήμη τὸ γῆράς σου κουφίζοι. — Ὑγίεια, σεμνοτάτη θεῶν, μετὰ σοῦ ναίοιμι τὸ τοῦ βίου λειπόμενον. — Πάντα τὰ τῆς τύχης ἀγαθά, ὧν οἱ πολλοὶ ὀρέγονται, μᾶλλον ἀποβάλλοιμι ἢ φίλον ἁπλοῦν. — Ὦ παῖ, μυριάκις θνήσκοις μᾶλλον ἢ τῇ ἀρετῇ ἐναντίον τι πράξειας. — Τῷ ἐμαυτοῦ θανάτῳ τοὺς μὲν θεοὺς παραιτησαίμην, τοὺς δὲ πολίτας τούτου τοῦ λοιμοῦ ἀπαλλάξαιμι.— Ἀεὶ τῶν τῆς φυγῆς παθῶν ἀπείρως ἔχοις. — Μᾶλλον κόραξιν ἢ κόλαξιν περιπίπτοις· οἱ μὲν γὰρ τοὺς νεκρούς, οἱ δὲ τοὺς ζῶντας βιβρώσκουσιν.

322e Exercice.

Suite de *puissé-je*, *puisses-tu*, etc. (*Grammaire*, § 707, *Remarque I*).

Μή ποτε ἐπιλάθοιο τῶν σοφῶν λόγων ὧν παῖς ἤκουσας. — Μὴ τὰ τῆς Λιβύης τε καὶ τῆς Ἀσίας λάφυρα τοῖς Ῥωμαίοις τὴν τῶν χρημάτων ἐπιθυμίαν ἐμβάλλοι. — Μήποτε ἔχοιμεν ἐπὶ τῇ πρὸς τὰ τέκνα φιλοστοργίᾳ μετανοεῖν. — Μήποτε τοὺς βασιλεῖς ἀνάγκη εἴη ἀνθρώποις τοῖς κακοῖς χρῆσθαι.

323e Exercice.

Suite de *puissé-je*, *puisses-tu*, etc. (*Grammaire*, § 707, *Remarque II*).

Ὦ τέκνον, τὸ γῆρας τὴν τοῦ σώματός μοι ἰσχὺν φεῦ! παρέλυσε. — Εἴθε (ou εἰ γὰρ ou εἰ) εἰς πόλεμον ἰόντι σοι συμπορευοίμην, καὶ αὐτός σου ἡγοίμην θυμοειδῶς μὲν ἔχοντος ἀπείρως δὲ ou εἴθ' ὤφελον (ou εἰ γὰρ ὤφελον) εἰς πόλεμον ἰόντι σοι συμπορεύεσθαι καὶ αὐτός σου ἡγεῖσθαι θυμοειδῶς μὲν ἔχοντος ἀπείρως δέ. — Εἴθε (ou εἰ γὰρ ou εἰ) πάντα τὸν βίον τούτοις συνδιατρίβοιμεν ou εἴθ' ὤφελον (ou εἰ γὰρ ὠφέλομεν) πάντα τὸν βίον τούτοις συνδιατρίβειν, οἵτινες πρῶτοι ἡμῖν συμπαίξαντες ἡμᾶς καὶ τῆς φιλίας πρῶτοι ἔγευσαν. — Εἴθε (ou εἰ γὰρ ou εἰ) οἱ ἄνθρωποι τῶν κακιῶν ἀπαλλάσσοιντο ou εἴθε ὤφελον (ou εἰ γὰρ ὤφελον) οἱ ἄνθρωποι τῶν κακιῶν ἀπαλλάσσεσθαι ὥσπερ τοῦ σώματος ἀποκόπτουσι τὰ νοσερά. — Τίς μήτηρ οὐκ εἴποι ἂν τὸν παῖδα πάσχοντα ὁρῶσα; « Εἴθε (ou εἰ γὰρ ou εἰ) ἀντὶ τοῦδε αὐτὴ πάσχοιμι, ou εἴθ' ὤφελον (ou εἰ γὰρ ὤφελον) ἀντὶ τοῦδε αὐτὴ πάσχειν. » — Εἴθ' (ou εἰ γὰρ ou εἰ) ἐπὶ ταύτας τὰς εὐδαίμονας χώρας ἔλθοιμι ou εἴθ' ὤφελον (ou εἰ γὰρ ὤφελον) ἐπὶ ταύτας τὰς εὐδαίμονας χώρας ἐλθεῖν ou ἐπὶ ταύτας τὰς εὐδαίμονας χώρας ὄφελον (ou ὡς ὄφελον) ἦλθον, ἔνθα τὸ μὲν ἐὰρ ἀΐδιον, ὁ δὲ τραχὺς βορέας οὔποτε πνεῖ. — Εἴθε (ou εἰ γὰρ ou εἰ) οἱ θνητοὶ εἴασαν ou εἴθ' ὤφελον (ou εἰ γὰρ ὤφελον) οἱ θνητοὶ ἐᾶσαι ou οἱ θνητοὶ ὄφελον (ou ὡς ὄφελον) εἴασαν τὸν χρυσόν τε καὶ τὸν ἄργυρον ἐν τοῖς τῆς γῆς κόλποις κατορωρυγμένους. — Εἴθε (ou εἰ γὰρ ou εἰ) τὸ κάλυμμα διαῤῥηγνύοιμεν, ou εἴθε ὠφέλομεν (ou εἰ γὰρ ὠφέλομεν) τὸ κάλυμμα διαῤῥηγνύναι ὅπερ ἡμᾶς τὸ φῶς κρύπτει, τυφλοὺς δὴ καὶ ἀθλίους ὄντας. — Εἴθε (ou εἰ γὰρ ou εἰ) τούτους τοὺς μεγάλους ἄνδρας ἔγνων, καὶ διελεξάμην αὐτοῖς καὶ τὰς ἀρετάς τε καὶ τὰς πράξεις αὐτῶν ἐθεασάμην ou εἴθε ὤφελον (ou εἰ γὰρ ὤφελον) τούτους τοὺς μεγάλους ἄνδρας γιγνώσκειν καὶ διαλέξασθαι αὐτοῖς καὶ τὰς ἀρετὰς καὶ τὰς πράξεις αὐτῶν θεᾶσθαι, ou τούτους τοὺς μεγάλους ἄνδρας ὄφελον (ou ὡς ὄφελον) ἔγνων καὶ διελεξάμην αὐτοῖς καὶ τὰς ἀρετὰς καὶ τὰς πράξεις αὐτῶν ἐθεασάμην. — Εἴθε (ou εἰ

γὰρ ou εἰ) ἐπὶ τοὺς Πέρσας τρέποιμι, εἶπεν ὁ Ἀγησίλαος, ou εἴθε ὤφελον (ou εἰ γὰρ ὤφελον) ἐπὶ τοὺς Πέρσας ταῦτα τὰ ὅπλα τρέπειν τὰ τῷ τῶν Ἑλλήνων αἵματι βεβαμμένα. — Φεῦγε, ὦ φίλε Τηλέμαχε, τὴν ἀγρίαν καὶ κατάρατον χώραν· εἴθε (ou εἰ γὰρ ou εἰ) σοι ἐπὶ τὰς μάλιστα ἀγνώστους ἀκτὰς συνέπλεον. — Εἴθε (ou εἰ γὰρ ou εἰ) μετὰ σοῦ ἔζων καὶ ἔθνησκον, ou εἴθε ὤφελόν (ou εἰ γὰρ ὤφελον) σοι συμπλεῖν, μετὰ σοῦ ζῆν καὶ θνήσκειν. — Εἴθε (ou εἰ γὰρ ou εἰ) τῇ Καλυψοῖ τὰς συμφοράς σου διὰ βραχέων διηγήσω ou εἴθε ὤφελες (ou εἰ γὰρ ὤφελες) τῇ Καλυψοῖ τὰς συμφοράς σου διὰ βραχέων διηγήσασθαι ou τὰς συμφοράς σου τῇ Καλυψοῖ διὰ βραχέων ὄφελον (ou ὡς ὄφελον) διηγήσω ὅπως μὴ αὐτῇ οἶκτον κινήσας τὸ κακὸν αὐξήσῃς ᾧ διατήκεται αὐτῆς ἡ καρδία. — Ὦ πάτερ, εἴθε (ou εἰ γὰρ ou εἰ) τοὺς ὀφθαλμούς σου συνέλαβον, καὶ τὴν ἐσχάτην ἀναπνοὴν ἐκπνέοντι παρεγενόμην ou εἴθε ὤφελον (ou εἰ γὰρ ὤφελον) τοὺς ὀφθαλμούς σου συλλαβεῖν καὶ τὴν ἐσχάτην ἀναπνοὴν ἐκπνέοντι παραγενέσθαι ou τοὺς ὀφθαλμούς σου ὄφελον (ou ὡς ὄφελον) συνέλαβον καὶ τὴν ἐσχάτην ἀναπνοὴν ἐκπνέοντι παρεγενόμην.

324ᵉ Exercice.

Savoir suivi d'un infinitif (*Grammaire*, § 708).

Ἔθνη τινὰ ἧσσον τῶν καστόρων εὔτεχνα οὐδὲ καλύβας μὲν ποιεῖσθαι ἐπίσταται, ὥσπερ καὶ τὰ ἄγρια θηρία φωλεύει. — Ἐρωτηθεὶς Ἑκαταῖος ὁ σοφιστὴς διὰ τί οὐδὲν ἔλεξε μεταξὺ δειπνῶν· « Ὅτι, ἀπέκρινατο, ὅστις λαλεῖν ἐπίσταται καὶ σιγᾷν ἐπίσταται. » — Ὁ Θουκυδίδης περὶ τοῦ Βρασίδου ἔλεγεν ὅτι οὐ βέλτιον ἐπίσταται φράζειν ἀνδρὸς Λακεδαιμονίου, τοῦτ' ἔστιν ἀπαιδεύτου. — Πολλοῦ ἐδέησε χρόνου πρὶν οἱ ἄνθρωποι πᾶσι τοῖς πόροις χρῆσθαι ἐπίσταιντο οὓς ἡ φύσις αὐτοῖς παρέσχεν. — Οὐ τὸ νῦν πρῶτον, ἔλεγεν ὁ Ὀδυσσεὺς τοῖς Φαίαξι, τῷ τόξῳ χρῆσθαι ἐπίσταμαι. — Οἱ Φαίακες οὐ μέν φασι τῇ πάλῃ ἢ πυγμῇ προέχειν, ἐπίστανται δὲ ποιεῖν ναῦν ταχεῖαν ἐπὶ τῆς θαλάσσης θεῖν. — Αἰσχρὸν καὶ τὸ μὴ εὖ ποιεῖν καὶ τὸ εὖ παθόντα μὴ ἐπίστασθαι ἀντιποιεῖν. — Οὐκ ἀρκεῖ τῷ στρατηγῷ, εἰ καὶ στρατόπεδον ποιεῖσθαι, καὶ στρατὸν παρατάσσειν, καὶ δὴ τὴν εὐκαιρίαν λαβεῖν ἐπίσταται, ἀλλὰ χρὴ αὐτὸν ἐπίστασθαι τοῖς στρατιώταις θάρσος ἐμβάλλειν. — Οἱ ἐν τῇ Σικελίᾳ Ἕλληνες μεῖζον δὴ φρονοῦντες ἢ ὥστε τὴν δουλείαν ὑπομένειν, ὅμως τὴν ἐλευθερίαν φυλάσσειν οὐκ ἐπίστανται· ὅθεν συνεχεῖς ταραχαὶ ἐν αὐτοῖς γίγνονται. — Οἱ Ἕλληνες εἰς τοὺς ἥρωας ἔθεσαν τοὺς θνητοὺς ἀνθρώπους οἵτινες πρῶτοι ἵππων ἐπιβαίνειν ἠπίσταντο καί, ὡς ἐδόκει, ἐλαύνειν αὐτούς. — Τὰ ζῶα καὶ τροφὴν πορίζεσθαι καὶ νεοσσείαν ποιεῖσθαι ἐπίσταται μηδενὸς διδά-

ξαντος. — Ὁ Ξέρξης τῇ δυνάμει ἐπηρμένος, δίκαιος μὲν ὢν καὶ φιλάνθρωπος ἐξ ὁρμῆς, ἄδικος δὲ καὶ ὠμὸς διὰ μικροψυχίαν, οὔτε τὰ κατορθώματα, οὔτε τὰ ἀτυχήματα ἠπίστατο φέρειν.

325ᵉ Exercice.

Je le sais bien, sache-le bien (*Grammaire*, § 708, *Remarque*).

Οὐδεμία ὑπόκρισις, εὖ ἴσθ' ὅτι, πολὺν χρόνον λανθάνει. — Οἱ θεοὶ, εὖ ἴστε ὅτι, τῶν χαρίτων φειδωλοὶ, οὐ τῷ αὐτῷ ἀνθρώπῳ τὸ κάλλος καὶ τὴν σοφίαν καὶ τὴν εὐέπειαν, ἐκεῖνα τὰ τίμια δῶρα, ἅμα δωροῦνται. — Πάντες μὲν ἄνθρωποι, εὖ οἶδ' ὅτι, εἰσὶν ἡμῶν ἀδελφοί· οἱ δὲ ἐγγυτέρω τῷ γένει προσήκοντες ἡμῖν ἔτι δικαιότεροί εἰσιν ὑφ' ἡμῶν ἀγαπᾶσθαι. — Εἰ πάντες εὖ εἴσονται, ὦ Λακεδαιμόνιοι, ὑμᾶς πολεμεῖν διεγνωκότας, πολλαὶ δὴ πόλεις νῦν τοῖς Ἀθηναίοις σύμμαχοι οὖσαι, ἀπ' αὐτῶν ἀποστήσονται. — Οἱ βάρβαροι, εὖ ἴσμεν ὅτι, οὐδέποτε συνιέναι δυνήσονται τοὺς Ἀθηναίους τὴν ἐλευθερίαν τῶν καλλίστων προτιμῆσαι ἅτινα παρὰ τοῦ Ξέρξου ὑπισχνεῖσθε ἡμῖν. — Ἔστιν εὐεργετήματά τινα, εὖ εἰδῶμεν ὅτι, ἀνθ' ὧν χάριν ἀποδοῦναι οὔποτε δυνησόμεθα.

326ᵉ Exercice.

Savoir signifiant *pouvoir* (*Grammaire*, § 709).

Ὁ Περικλῆς νομίζων τοὺς συμμάχους οὐ δυνήσεσθαι πολλὰ ἔτη στρατεύεσθαι, ἔλεξε ῥᾷστον ἂν αὐτῶν κρατηθῆναι, εἰ ἀποτρύχοιεν αὐτοὺς, καὶ ἐκείνων κατὰ γῆν πολεμούντων, αὐτοὶ κατὰ θάλασσαν ἀντιπολεμοῖεν. — Ὁ Ἰσοκράτης ἔλεγε τῶν κρατούντων κάκιστον εἶναι τὸν μὴ ἑαυτοῦ κρατεῖν δυνάμενον. — Ὅστις πείθειν δύναται, οὔποτε συμμάχων ἀπορεῖ. — Μάλιστα τοῖς εὐδαίμοσι φίλων δεῖ καὶ τἀληθῆ λέγειν καὶ ἐπηρμένους αὐτοὺς ταπεινοῦν δυναμένων. — Ἄνευ τῆς ὁμονοίας οὐκ ἂν δύναιτο εἶναι ἡ τῶν ἀνθρώπων κοινωνία. — Ὁ Ἀντισθένης ἐλέγεν ὥσπερ τοὺς ἰδιώτας οὕτω τὰς πόλεις ἀπολωλέναι, ὅταν τοὺς φίλους τῶν κολάκων διακρίνειν μηκέτι δύνωνται. — Οἱ Αἰγύπτιοί τε καὶ οἱ Ῥωμαῖοι τὰ οἰκοδομήματα παγίως ᾠκοδόμουν, ὡς οὐχ ἕτερός τις τῶν ἔπειτα γεγενημένων. — Ὁ ἄνθρωπος μὴ δυνάμενος ζῆν ἄνευ πολλοῦ οἰκετῶν ὄχλου οὐ μὲν δεσπόζει τῶν ἀμφὶ αὐτὸν, πρὸς δὲ αὐτῶν δεσπόζεται. — Ὅταν δύνηταί τις τοιούτῳ τῷ δείπνῳ ἀρκεῖσθαι, εἶπεν ὁ Κούριος τοῖς τῶν Σαυνιτῶν πρέσβεσι, τὰς ῥαφανῖδας δείξας ἃς ἥψησε, τί δεῖ τούτῳ τοῦ πλούτου; — Ἆρ' ἔστιν ἥδιόν τι ἰδεῖν ἢ σοφὸν καὶ ἀγαθὸν βασιλέα πάντας τοὺς πολίτας εὖ ποιεῖν καὶ ἐπιθυμοῦντα καὶ δυνάμενον; — Οὐ δυναίμην ἂν τοῖς Ἀθηναίοις συμβουλεύειν πολεμῆσαι μὴ πρότερον εἰδὼς ὁπόση τις ἐστὶν αὐτῶν ἡ δύ-

ναμις. — Ἕως ὁ Κριτίας καὶ ὁ Ἀλκιβιάδης πρὸς τὸν Σωκράτην ἐφοίτουν, τοιούτῳ τῷ συμμάχῳ χρώμενοι, τῶν ἐπιθυμιῶν κρατεῖν ἠδύναντο.

327ᵉ Exercice.

Savoir signifiant *être capable de* (*Grammaire*, § 709, *Remarque I*).

Ἐν ταῖς δημοκρατουμέναις πόλεσιν αἱ τιμαί τε καὶ ἡ δύναμις τούτου εἰσὶν ὅστις λέγειν δεινός ἐστι. — Ἆρα ῥήτορα ἐπαινετέον ἐστὶν ὅτι τὰ μὲν μεγάλα ταπεινοῦν, τὰ δὲ μικρὰ ἐπὶ μεῖζον αἴρειν δεινός ἐστιν; — Οἱ ἔμπειροι τῶν σφενδονητῶν τοὺς μάλιστα μικροὺς ὄρνιθας βάλλειν μεταξὺ ἱπταμένους οἷοί τε (ou δυνατοί) εἰσίν. — Δημοσθένης ὁ δεινότατος ὢν ἐπὶ βήματος πρὸ τοῦ δήμου ἀγορεύειν, μόλις ὀλίγα· ἐναντίον τοῦ Φιλίππου τραυλίζειν οἷός τε (ou δυνατὸς) ἐγένετο. — Ὅτι ἐργάτης δεινός ἐστι τὰς χορδὰς τῆς λύρας διατιθέναι, οὐ διὰ τοῦτο ἐμμελῶς κρούειν αὐτὰς οἷός τε (ou δυνατός) ἐστίν. — Οἱ μάντεις ἐν Ἀθήναις θαυμασίως ὡς εὐδοκιμοῦσι· φασὶ γὰρ ἑαυτοὺς οἵους τε (ou δυνατοὺς) εἶναι καὶ τὴν τῶν ἀλιτηρίων δαιμόνων δύναμιν ἐμποδίζειν, καὶ τὰ τῆς ψυχῆς δήγματα καταπραΰνειν, καὶ τοὺς ἐχθροὺς ἡμῶν βλάπτειν, καὶ τὴν εὐδαιμονίαν ἡμῶν πέραν τοῦ θανάτου παρατείνειν. — Ἔνιοι φιλόσοφοι τοὺς ἀνθρώπους νομίζοντες οὐχ οἵους τε (ou οὐ δυνατοὺς) εἶναι τὰ ἀληθῶς πρέποντα αὐτοῖς κρίνειν, ἀξιοῦσιν ἐκείνους οὐ μὲν τὰ καὶ τὰ τοὺς θεοὺς ἐν ταῖς εὐχαῖς αἰτῆσαι, ἑαυτοὺς δὲ τῇ τῶν θεῶν εὐνοίᾳ τε καὶ τῇ προνοίᾳ ἐπιτρέψαι. — Οὐδεὶς ἄλλος οὕτω δεινός ἐστιν ὡς ὁ Κρίτων· οὐδεὶς γὰρ ὡς αὐτὸς ἄχρηστα ποιεῖν οἷός τε (ou δυνατός) ἐστίν.

328ᵉ Exercice.

Je ne saurais, vous ne sauriez; je ne saurais m'empêcher de (*Grammaire*, § 709, *Remarques II et III*).

Ἐγὼ καὶ Δημοσθένης, ἔλεγεν ὁ Φιλοκράτης, οὐ μή ποτε σχῶμεν τὴν αὐτὴν γνώμην· αὐτὸς μὲν γὰρ μόνον ὕδωρ, ἐγὼ δὲ μόνον οἶνον πίνω. — Ὁ Σκηπίων τὴν Καρχηδόνα ὁρῶν φλογὶ διεφθαρμένην οὐκ ἐδύνατο μὴ δακρύειν ἐπὶ τῇ ταύτης τῆς δυσδαίμονος πόλεως τύχῃ. — Οὐ μὴ ἐν Ἑλλάδι εὕρῃς οὔτε πόλιν, οὔτε ποταμὸν, οὔτε κρήνην, οὔτε ἄλσος, οὔτε ὄρος ὅ τι μὴ δαίμονος ἢ ἥρωός τινος τὸ ὄνομα φέρει ἐνδοξοτέρου δὴ νῦν ὄντος ἢ παρὰ τοῖς κατ' αὐτόν. — Οὐρανὸς καὶ γῆ παρελεύσονται, εἶπεν ὁ Κύριος, τὰ δὲ τοῦ υἱοῦ ἀνθρώπου ῥήματα οὐ μὴ παρέλθῃ. — Οὐ δύναμαι μὴ τοὺς Ἀθηναίους ἐπαινεῖν τοὺς τὸν ῥήτορα Δημάδην χρήμασι ζημιώσαντας ὅτι τὸν Ἀλέξανδρον, θνητὸν ὄντα, εἰς τοὺς Ὀλυμπίους θεοὺς ἔθετο. — Οὐ μὴ πιστεύσῃς ἕν τι ἀμφίβολον ἐκ τοῦ ἐν Δελφοῖς χρησμοῦ ῥῆμα ὅσων κακῶν καὶ φόνων αἴτιον γίγνεσθαι δύναται. — Ἐπαινῶν τις τὸν Χάρην τῆς τοῦ

σώματος ἰσχύος τῷ Τιμοθέῳ ἔλεγεν· « Οὐ μὴ ἔξαρνος γένῃ τούτου τοῦ στρατηγοῦ τοῖς Ἀθηναίοις δεῖν. » « Πάνυ γε, ἀπεκρίνατο ὁ Τιμόθεος, ὥστε σκευοφορεῖν. » — Οἱ γέροντες, καὶ δὴ δικαιότατοι ὄντες, οὐ δύνανται μὴ τὰ παρεληλυθότα τῶν παρόντων προτιμᾶν. — Οὐ μὴ ἐννοήσῃς ὡς ἡ τῶν μυρίων κατάβασις καὶ ἡ τοῦ Ἀγησιλάου ἀνάβασις τὴν τῶν Περσῶν δύναμιν ἔπληξαν, τῆς αὐτῶν ἀσθενείας φανερᾶς γενομένης. — Ὁ Ἀριστοτέλης, καίπερ τὸν Καλλισθένην τῆς ἀρετῆς τε καὶ τῆς τοῦ λέγειν δεινότητος ἐπαινῶν, οὐκ ἐδύνατο μὴ μέμφεσθαι αὐτῷ τῆς τῶν νουθεσιῶν τραχύτητος. — Οἱ ἄνθρωποι καὶ μάλιστα δοξοκόποι ὄντες οὐ δύνανται μὴ δυσωπεῖσθαι ἐπαίνους φανερῶς ψευδεῖς. — Εἰ ἀληθῶς τὴν ἀλήθειαν φιλοῦμεν, οὐ δυνάμεθα λίαν φυλάττεσθαι μὴ αὐτὴν ἐπαχθῆ τῇ ἄγαν σπουδῇ ποιήσωμεν.

329e Exercice.

De savoir, pour savoir (*Grammaire*, § 710).

Τοῦ Ἑρμολάου τὸν Καλλισθένη ἐρωτήσαντος πῶς ἂν ἔνδοξος ἄνθρωπος γένοιτο, ὁ φιλόσοφος ἀπεκρίνατο· « Ἐὰν ἀποκτείνῃς τὸν ἐνδοξότατον. » — Ἀμφισβητεῖται εἰ αἰσχρὰ εἰρήνη μὴ μᾶλλον ὀλεθρία ἔσται πολέμου δυστυχοῦς. — Ὡς εὐδαιμονίζω τὰς πόλεις ἐν αἷς οἱ πολῖται οὐ μὲν ἐπὶ τῷ τῶν ἄλλων ἄρχειν ἁμιλλῶνται, ἐπὶ δὲ τῷ τὰ πλεῖστα ἀγαθὰ αὐτοὺς ποιεῖν. — Σκόπει αὐτὸς πότερον πλούσιος ἢ εὐδαίμων βούλει εἶναι· οὐ γὰρ τὸ πολὺ τῷ πλούτῳ ἕπεται ἡ εὐδαιμονία. — Ἔχρησεν ἀεὶ τὸ ἐν Δελφοῖς μαντεῖον τῷ περὶ τῆς ἀρίστης θρησκείας ἐρωτήσαντι, τῇ ἐπιχωρίῳ ἕπεσθαι. — Ὀλίγον μὲν τοῖς ἔπειτα μελήσει εἰ πλούσιος καὶ δυνατὸς καὶ παρὰ τοῖς κατὰ σὲ ἔντιμος ἐγένου· κρινοῦσι δέ σε ἐξ ὧν καταλίπῃς ἂν μεγάλων καὶ ἀγαθῶν. — Οὐ μὲν ἀμφισβητεῖται εἰ αἱ Ἀθηναῖαι τὰς μὲν ὀφρῦς μέλανι, τὸ δὲ πρόσωπον ψιμυθίῳ καὶ φυκίῳ ἐνετρίβοντο, πόθεν δὲ τοῦτο τὸ ἔθος ἔλαβον. — Ἆρα δεῖ τὰ χρηστήρια ἐρωτᾶν ἐν τίνι κεῖται ἡ ἀρετή, πότερον καλῶς ἢ κακῶς ἐποίησας; — Οἱ πάλαι φιλόσοφοι πολὺν χρόνον ἐξήτασαν πότερον ὁ κόσμος εἰκῇ διοικεῖται ἢ ὁ θεὸς τῆς ἡμῶν τύχης προνοεῖται. — Οἱ Ἕλληνες οὕτω τῇ τῶν Αἰγυπτίων σοφίᾳ ἐπίστευον ὥστε τὰ περὶ τῶν Ὀλυμπίων ἀγώνων τάξαντες αὐτοὺς ἐκεῖνα σκοπεῖν ἐκέλευσαν εἰ μηδὲν ἄξιον σπουδῆς παρέλιπον. — Εἰ οἱ ἄνθρωποι πρὸς τὰ ἀρέσκοντα μὲν ἀποβλέποιεν μόνον, οὐ δὲ πρὸς τὰ συμφέροντα, οὐκ ἐπὶ πολὺ περὶ τῆς βίου προαιρέσεως ἀποροῖεν ἂν ἣν δεῖ αὐτοὺς αἱρεῖσθαι. — Ἀμφισβητεῖται περὶ τινῶν θαυμασίων πράξεων ἃς οἱ τῶν πάλαι σοφώτατοί τε καὶ ἀληθέστατοι ἱστοροῦσιν, ἐφ᾽ ὅσον ὑφ᾽ ἡμῶν πιστεύεσθαι ἄξιαί εἰσι.

330e Exercice.

Servir de (*Grammaire*, § 711).

Κατὰ τὸν Τρωϊκὸν πόλεμον αἱ τῶν Ἑλλήνων νῆες ἐπὶ τὴν ἀκτὴν ἑλκυσθεῖσαι ἀντὶ ὀχυρωμάτων ἦσαν αὐτοῖς. — Ξύλα ὀξέα καὶ ὑπὸ πυρὸς πεπηγμένα ἀντὶ ὅπλων τούτοις τοῖς ἔθνεσίν ἐστι τοῖς τῆς τοῦ σιδήρου χρήσεως ἀπείρως ἔχουσιν. — Ἅμαξα ἦν ἀντὶ σκηνῆς τοῖς ὑποκριταῖς οὓς ὁ Θέσπις κατὰ τὰς κώμας περιῆγεν. — Ὑψηλὰ ὄρη τῇ Νάξῳ ἀντὶ ἑρκῶν ὄντα ταύτην τὴν νῆσον πρὸς τὴν τῶν ἀνέμων βίαν σκεπάζει. — Ἐπεὶ ὁ Διόνυσος ἐγεννήθη, Ἰνὼ ἡ τῆς Σεμέλης ἀδελφὴ, ἀντὶ μητρὸς αὐτῷ οὖσα, τοῦ παιδὸς μετὰ τῶν Ὑάδων καὶ τῶν Ὡρῶν ἐπεμελήθη. — Οἱ πολλοὶ τῆς Κιλικίας λιμένες ἀντὶ καταφυγῆς ἦσαν τοῖς πειραταῖς τοῖς πάντα τὰ πελάγη ληστεύουσιν. — Ἡ διαυγοῦς κρήνης κρύσταλλος ἀντὶ κατόπτρου τοῖς πρώτοις ἀνθρώποις ἐγένετο. — Ἀθήνησιν ὁ τοῦ Θησέως ναὸς ἀντὶ καταφυγῆς ἦν τοῖς δούλοις τοῖς δεινὰ παρὰ τῶν δεσποτῶν πάσχουσιν. — Ἐν τοῖς πρώτοις τῆς Ἑλλάδος χρόνοις ἔνια μὲν ὅπλα ἐκ τῶν πολεμίων εἰλημμένα καὶ ἐκ στελέχους ἀνηρτημένα ἀντὶ τροπαίου ἦν· τὰ δὲ διαμεμερισμένα λάφυρα ἀντὶ μισθοῦ. — Ἡ Ῥόδος νῆσος ἀνθ' ὅρμου ἦν τοῖς ἀφ' Ἑλλάδος εἰς Αἴγυπτον καὶ πάλιν ἀπ' Αἰγύπτου εἰς Ἑλλάδα καταπλέουσι. — Διόδωρος ὁ Σικελιώτης φησὶ τὸν ἐν Κρήτῃ λαβύρινθον ὑπὸ τοῦ Δαιδάλου κατεσκευασμένον, τοῦ Μίνωος κελεύσαντος, ἀντὶ εἱρκτῆς τῷ Μινωταύρῳ γενέσθαι. — Ὑπόγεια ἐκ πολλῶν οἰκημάτων διόδους πρὸς ἄλληλα ἐχόντων συνεστηκότα καὶ εἰς τοσοῦτον βάθος κατορωρυγμένα ὥστε οὔτε οἱ χειμέριοι ὄμβροι, οὔτε ἡ χιὼν οὔποτε ἐκεῖσε διαδύονται, ἀντὶ ἀποθηκῶν ἐστι τοῖς μύρμηξιν.

331e Exercice.

Servir à (*Grammaire*, § 712).

1. Ὁ κριὸς μακρόν τι δόρυ ἦν ἐν ἄκρῳ σεσιδηρωμένον ᾧ τὰ πολιορκουμένων πολισμάτων τείχη ἔκοπτον. — Αἱ πολλαὶ στῆλαι ἃς ἐν Δελφοῖς ἰδεῖν ἔστι καὶ τὰς συνθήκας ἐγγεγραμμένας σώζουσαι ἃς οἱ Ἕλληνες πρὸς ἀλλήλους ἐποιήσαντο οὐδὲν ἄλλο ἢ τὴν τούτων τῶν ἐθνῶν ἀπιστίαν μαρτυροῦσι. — Γραμματικοί τινες ἀγῶνες ἐν τῷ Ὠδείῳ ὑπὸ τοῦ Περικλέους ᾠκοδομημένῳ γιγνόμενοι τὸν τῶν νέων Ἀθηναίων ζῆλον ἔτρεφον. — Ἦν παρὰ τοῖς πάλαι μηχάνημά τι ὀνομαζόμενον χελώνη διότι τοὺς στρατιώτας πρὸς τὰ βέλη ἐσκέπαζεν, ὥσπερ τὸ χελώνιον τὴν χελώνην ἀπὸ πάσης βίας φυλάσσει. — Ὁ μὲν κόθορνος δι' οὗ οἱ τραγικοὶ ὑποκριταὶ ὑψηλότεροι γίγνονται, αἱ δὲ χειρῖδες τοὺς βραχίονας παρατείνου-

σαι, καὶ τὰ πρόσωπα τὸν τῆς φωνῆς φθόγγον διογκοῦντα, πάντα δὴ αὐτοὺς σεμνοὺς ἰδεῖν παρέχει. — Πεντακόσιοι καὶ χίλιοι τῶν Σκυθῶν τοξόται ἐν τῇ ἀγορᾷ αὐλιζόμενοι τοὺς δούλους ὑπηκόους κατέχουσιν. — Ἡ πυγμὴ καὶ ἡ πάλη καὶ πᾶσαι αἱ ἀσκήσεις αἱ πρὸς τὸ τὰ σώματα ἐπιῤῥωννύναι ὠφελοῦσαι (ou πρὸς τὴν τῶν σωμάτων ἐπίῤῥωσιν ὠφελοῦσαι ou συμφέρουσαι) καθ' ἡμέραν ἔλασσον χρήσιμαι γίγνονται καθ' ὅσον τὰ τακτικὰ τελειοῦται.

2. Αἱ σοφαὶ Δημαράτου τοῦ Λακεδαιμονίου βουλαὶ οὐδὲν ἄλλο ἢ τὸν Ξέρξην ἠρέθισαν. — Τὰ ἄωρα φάρμακα τὴν νόσον αὐξάνει μόνον. — Μάλιστα πρὸς τὸ τὴν ἀρετὴν ἐμπνεῖν καὶ τῆς κακίας ἀποτρέπειν ὠφελεῖ (ou συμφέρει) ἡ τῶν καλοκαγάθων ὁμιλία διότι ἠρέμα εἰσδυομένη ἐπὶ τὴν καρδίαν διϊκνεῖται. — Ἡ ἀράχνη τῷ λεπτοτάτῳ ὑφάσματι τὰ πετηνὰ ζῶα αἱρεῖ ἅτινα μόνον ἐξ ἐπιβουλῆς δύναται αἱρεῖν. — Αἱ συχνότεραι νουθεσίαι τοῖς παισὶν ἐνοχλοῦσαι οὐδὲν ἄλλο ἢ ἀφαιροῦσιν αὐτοὺς τὴν ἐλπίδα ἢ τὴν τοῦ διορθοῦσθαι ἐπιθυμίαν. — Ὅτε οἱ σύμμαχοι τῇ τοῦ Παυσανίου ὑπεροψίᾳ δυσχεραίνοντες τὴν τῶν στρατευμάτων ἡγεμονίαν τοῖς Ἀθηναίοις ἐπέτρεψαν, οἱ μὲν Λακεδαιμόνιοι τοῖς ὅπλοις αὐτὴν κατέχειν ἠξίουν· οἱ δὲ πρεσβύτεροι ἐκώλυσαν αὐτοὺς τοῦτο μὴ ποιεῖν, ὑπομιμνήσκοντες ταύταις ταῖς μακραῖς στρατείαις τὰ ἤθη οὐδὲν ἄλλο ἢ διαφθείρεσθαι. — Ὁ Σέσωστρις τοσαῦτα ἔθνη καταστρεψάμενος τὴν ἑαυτοῦ βασιλείαν οὐδὲν ἄλλο ἢ ἐτάραξεν.

882[e] Exercice.

Il me tarde de, je suis impatient de (Grammaire, § 713).

Ἐποθοῦμεν (ou ἐπεθυμοῦμεν) εἰς τὸ τοῦ Τροφωνίου ἄντρον κατιέναι, ἐπεὶ τοσαῦτα θαυμάσια περὶ αὐτοῦ ἠκούσαμεν. — Εἰδέναι ποθῶ (ou ἐπιθυμῶ), ἔλεγεν ἡ Καλυψὼ τῷ Τηλεμάχῳ, ὅπως τῆς Αἰγύπτου μὲν ἐξῆλθες, τὸν δὲ σοφὸν Μέντορα ἀνεύρηκας. — Ἐπεὶ τῆς Κρήτης ἐκπλεῦσαι ἐποθοῦμεν (ou ἐπεθυμοῦμεν), ὁ Ἀριστόδημος ναῦν καστεσκευάσατο ἡμῖν σὺν πολλοῖς δεινοῖς ὑπερέταις ἀνδράσι τε ὡπλισμένοις. — Ἐπόθει (ou ἐπεθύμει) ὁ Ἀγαμέμνων εἰς τὴν πατρίδα ἐπανελθεῖν ἐν ᾗ πρὸς τῆς μιαρᾶς γυναικὸς θνήσκειν ἔμελλεν. — Ὁ Τηλέμαχος διὰ τῶν κενῶν καὶ ἀπείρων πέτεσθαι δοκεῖ· τοσοῦτον ποθεῖ (ou ἐπιθυμεῖ ou σπεύδει) καὶ εἰδέναι εἰ τὸν πατέρα ὄψεται καὶ τῆς τοῦ τυράννου ὄψεως ἀποχωρεῖν ὃς νεκρούς τε καὶ ζῶντας ἐμπλήκτους ἔχει. — Ὡς ποθῶ (ou ἐπιθυμῶ) εἰς τούτους τοὺς καλοὺς τόπους κατιέναι, εἰρηνικοὺς δὴ ὄντας καὶ μακαρίους, ἔνθα ἀρχόμεθα τοῦ ἀληθῶς ζῆν. — Ἆρ' οὐ δεινὸν τοὺς ἀνθρώπους οὕτω μὲν ποθεῖν (ou ἐπιθυμεῖν) γηρᾶσαι, οὕτω δὲ πικρῶς ὀδύρεσθαι, ἐὰν τὸ γῆρας ἔλθῃ; — Ὁ Ἀριστόνους ἐπόθει (ou ἐπεθύμει) τὴν Λυκίαν πάλιν ἰδεῖν ἐν ᾗ

οὕτως ἡσύχως διήγαγε παῖς ὤν. — Οἱ ἐχθροὶ ἐπόθουν (ou ἐπεθύμουν) τὸν Φιλοποίμενα ἀνελεῖν, μὴ ἡ τοῦ μεγάλου ἀνδρὸς ὄψις καὶ ἡ τῆς προτέρας τύχης μνήμη στάσιν κινήσωσιν. — Ὡς ἐπόθει (ou ἐπεθύμει) ὁ Πλάτων τοῦ Διονυσίου μὲν τὰ βασίλεια καταλιπεῖν, τὴν δὲ ἐλευθερίαν ἀνακτήσασθαι. — Ὡς τῶν σωματικῶν δεσμῶν ποθοῖμεν (ou ἐπιθυμοῖμεν) ἂν ἀφεθῆναι, εἰ μὴ τῷ τῶν γεηρῶν ἔρωτι ἐτυφλούμεθα. — Ἐπόθουν (ou ἐπεθύμουν) οἱ Ῥωμαῖοι τὸ μὲν αἶσχος τῶν παρὰ τῇ Τρασιμένῃ καὶ ταῖς Κάνναις ἡσσῶν ἀφανίσαι, τοὺς δὲ Καρχηδονίους δίκην τῖσαι ἀνθ' ὧν ἐκεῖνοι αὐτοὺς κακῶς ἐποίησαν ἑκκαίδεκα ἔτη ἐν τῇ Ἰταλίᾳ διαμεμενηκότες.

333e Exercice.

Tenir à (*Grammaire*, § 714).

Μέμνησο ἐπὶ σοὶ μὲν εἶναι ταῦτα μόνον λέγειν ἅτινα βούλει, οὐ δὲ τὰ ἅπαξ λεχθέντα ἀναλαβεῖν. — Ἐπ' οὐδενί ἐστιν, λέγει ὁ σοφὸς, ποιεῖν με κακὸν, ἐπεὶ ἐπ' οὐδενί ἐστι ποιεῖν με ἀδικεῖν. — Οὐκ ἐκώλυσεν (ou οὐκ ἐμποδὼν) ἐγένετο ὁ Καῖσαρ τῶν τοῦ Κατιλίνου συναιτίων φείσασθαι. — Οὐ μὲν ἀεὶ ἐπὶ βασιλεῖ ἐστὶ τὸ μὴ πολεμεῖν· ἀεὶ δὲ ἐπ' αὐτῷ ἐστὶ τὸ μὴ ἀδίκως. — Οὐ μὲν ἐκώλυσεν (ou ἐμποδὼν ἐγένετο) ὁ Νουμᾶς, εἰ οἱ Ῥωμαῖοι οὐ διετέλουν ὄντες μικρόν τι ἔθνος ἥσυχόν τε καὶ ἄδοξον. — Ἐπὶ τοῖς Τρωσὶν ἦν τῷ τῆς πόλεως ὀλέθρῳ προαπαντᾶν τὴν Ἑλένην ἀποδιδόντας. — Οὐ μὲν ἐφ' ἡμῖν ἐστὶ τὸ πότε θανούμεθα· δυνάμεθα δὲ ποιεῖν ὅπως ὁ θάνατος ἡμᾶς μὴ ἀπαρασκεύους καταλάβῃ. — Οὐκ ἐκώλυσαν (ou οὐκ ἐμποδὼν ἐγένοντο) οἱ Θηβαῖοι εἰ μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς μάχην αἱ Ἀθῆναι οὐκ εἰς ἔδαφος κατεβλήθησαν. — Ἐπὶ τοῖς πένησίν ἐστι τὸ τῶν πλουσίων φρόνημα ταπεινοῦν, ἐὰν μὴ μετ' ἐπιθυμίας ἀφορῶσιν αὐτοὺς τὰς λαμπρὰς ἐσθῆτας ἀμφιεσμένους, μήτε τοὺς δακτύλους δακτυλίοις πολλοῖς στίλβοντας, μήτε τὰ πολυτελῆ ἅρματα ἐφ' ὧν βραδέως διὰ τῆς πόλεως ὀχοῦνται. — Οὐκ ἐκώλυσαν (ou οὐκ ἐμποδὼν ἐγένοντο) οἱ τοῦ Ὀδυσσέως ἑταῖροι, εἰ ἐκεῖνος ὁ ἥρως διὰ τὴν αὐτῶν ἀβουλίαν οὐ πολλάκις ἀπώλετο. — Οὐ μὲν ἀεὶ ἐφ' ἡμῖν ἐστὶ τοὺς ἄλλους σωφρονίζειν, ἀεὶ δὲ ἐφ' ἡμῖν ἐστὶ βελτίους ἡμᾶς γίγνεσθαι.

334e Exercice.

Venir à (*Grammaire*, § 715).

Ἐὰν ὁ ἐχθρός σου πέσῃ, μὴ χαῖρε, ἵνα μὴ ἐπὶ σεαυτὸν τὴν τοῦ Κυρίου ὀργὴν τρέψῃς. — Πόσοι ἄνδρες ἀργίᾳ συζῶσιν ἄδοξοι οἵτινες μεγάλοι ἄνδρες γίγνοιντ' ἄν, εἰ τῇ φιλοτιμίᾳ τε καὶ τῇ τῶν (ou τῇ τοῦ κατορθῶσαι) κατορθωμάτων ἐλπίδι ἐπὶ τὴν ἐργασίαν προτρέποιντο. — Τῶν ἀνθρώπων

ἄνευ ἡγεμόνος ἐρημωθέντων αἱ ὁρμαὶ ἤδη διεφθάρησαν, καὶ ἡ ἀκολασία εἰς τὸ ἔσχατον ἧκε καὶ ἡ ἀδικία ἐπὶ πάσης τῆς γῆς ἐπετάθη. — Ἡ χιὼν οὕτως ἀφθόνως ἔπεσεν ὥστε αὐτίκα παντὸς στίβου ἀφανισθέντος ἐν μέσῳ τῷ ἀπείρῳ πεδίῳ εἰκῇ ἐπλανώμεθα. — Τοῦ Αἰνείου μεταξὺ λέγοντος, ὁ ἄνεμος βιαιότερος γενόμενος τὰ τῆς νεὼς ἱστία παίει ἐναντίος, καὶ τὰ κύματα μέχρις οὐρανοῦ αἴρει. — Ὅταν τις τὸ μέτρον ὑπερβάλῃ, τὰ ἥδιστα γίγνεται ἀηδέστατα. — Τῶν Φοινίκων αἱ νῆες ἐν τοῖς στενοῖς προσπταίουσαι ἀλλήλαις, καὶ τοῖς τῶν Ἀθηναίων τριηρῶν ἐμβόλοις τιτραινόμεναι, τὴν θαλάσσαν τοῖς ναυαγίοις ἐκάλυψαν. — Ἐάν ποτε οἱ βάρβαροι εἰδῶσιν ὁπόση τις ἐστὶν αὐτῶν ἡ δύναμις, ἡ τῶν Ῥωμαίων ἀρχὴ ἀπόλωλεν. — Ὅταν τις τούς ποτε χρόνους πρὸς τοὺς νῦν παραβάλλῃ, θαυμάζει ὅπως καὶ οἱ ἄνθρωποι ἀεὶ τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτουσι, καὶ τῶν βασιλειῶν ἐκ τῶν αὐτῶν αἰτιῶν γίγνεται ἀσφαλῶς ὁ ὄλεθρος. — Ἐὰν Ἀθηναῖός τις ἄπαις ὢν ἀποθάνῃ μηδεμίαν διαθήκην διαθέμενος, ἡ οὐσία ἐκείνου εἰς τοὺς μάλιστα γένει προσήκοντας περιπίπτει. — Ὁ Ἀλέξανδρος ἐπεὶ τοῖς στρατιώταις ἑαυτὸν ἐπιδείξειεν, εὐθὺς παντὸς τοῦ δυσαρεστήματος ἀμνημονοῦντες αὐτὸν μετὰ χαρᾶς ἐδέχοντο.

835ᵉ Exercice.

En venir à (*Grammaire*, § 716).

Οἱ Ἀθηναῖοι ἧκον εἰς τὸ μηκέτι πολεμεῖν εἰ μὴ διὰ μισθοφόρων. — Ἐκ τούτου τοῦ χρόνου ἡ μὲν πλεονεξία πάνυ ἀμέτρως τῷ τῶν ἀνθρώπων βίῳ ἐνέπαιξεν· οἱ δὲ ἄνθρωποι ἧκον εἰς τὸ ἀλλήλους φονεύειν καὶ μὴ μισοῦντες. — Παυσανίας ὁ ἐν Πλαταιαῖς νικήσας ἧκεν εἰς τὸ τὴν πατρίδα προδιδόναι καὶ μίαν τῶν Ξέρξου θυγατέρων πρὸς γάμον μνᾶσθαι. — Ἡράκλειτος ὁ Ἐφέσιος μελαγχολίᾳ τινὶ κατατειρόμενος ἧκεν εἰς τὸ ζῆν ἐπ' ὀρῶν ἐκτόπων καὶ βοτάναις καὶ ῥίζαις βόσκεσθαι ὥσπερ τὰ θηρία. — Ὁ φιλάργυρος ἥκει εἰς τὸ τοὺς συγγενεῖς τε καὶ τοὺς παῖδας ὑποπτεύειν ὡς ἐχθροὺς ὄντας φοβερωτάτους. — Ὁ Ἐρυσίχθων τῷ λιμῷ πιεζόμενος ἧκεν εἰς τὸ τὰ μιαρώτατα ζῷα ἐσθίειν. — Ὁ Ἀλέξανδρος, πρὸς τὸ τοῦ βίου τέλος, ἧκεν εἰς τὸ τὸν Ἀριστοτέλην ὑποπτεύειν ὡς ἐπιβουλῶν τῶν κατ' αὐτοῦ κατεσκευασμένων κοινωνήσαντα. — Ἡ τῶν Ἀθηναίων πόλις ἡ πασῶν τῶν Ἑλληνίδων πόλεων σοφωτάτη καὶ κομψοτάτη οὖσα ἧκεν εἰς τὸ πάντας τοὺς περὶ τὰ νοητὰ διατρίβοντας ἐν μέρει ἀθέων ἔχειν. — Οἱ Ἰνδοὶ ἅτε τοὺς νεκροὺς μάλ' αἰδούμενοι ἧκον εἰς τὸ ζῶντας θύειν αὐτοῖς τὰ ἀνδράποδα δηλαδὴ καὶ τὰς γυναῖκας· ἔπειτα δὲ φιλόσοφοί τινες ἧκον εἰς τὸ ἑαυτοὺς ἀναιρεῖν τὴν τοῦ ἐσομένου βίου εὐδαιμονίαν προληψόμενοι. — Ἐν αἷς πόλεσιν ὁ πλοῦτος εὐδοκιμεῖ, κατὰ μικρὸν

ἥκουσιν εἰς τὸ τὴν μὲν πενίαν ἀντ' αἰσχύνης ἡγεῖσθαι, τὴν δὲ ἀφιλαργυρίαν ἀντ' ἀπάτης. — Ὅταν Ἀθηναῖός τις ἡστινοσοῦν αἰτίας ἕνεκα ἥκῃ εἰς τὸ ἑαυτοῦ τῷ βίῳ ἐπιχειρεῖν, τῇ πόλει ἔνοχος νομίζεται ὡς τὴν πατρίδα πολίτου ἀποστερίσκων. — Οἱ Ἀθηναῖοι τοῖς κατορθώμασι καὶ τῇ δυνάμει ἐπηρμένοι οὐκέτι μόνον τῆς Ἑλλάδος καὶ τῶν νήσων ἐπικρατεῖν ἐφιλοτιμοῦντο, ἀλλὰ καὶ ἧκον εἰς τὸ τὴν Αἰγύπτου καὶ Καρχηδόνος καὶ Σικελίας καὶ Τυῤῥηνίας καταστροφὴν ὀνειροπολεῖν.

338ᵉ Exercice.

Emplois particuliers de quelques verbes grecs (*Grammaire*, p. 332 et suivantes).

Πάντα καλῶς ἔχει ἃ καλῶς τελευτᾷ. — Αὕτη ἀρχαία τις ἐστὶ παροιμία· « Κακῶς ἔχει ὁ ἰατρὸς, ὅταν πάντες καλῶς ἔχωσιν. » — Οἱ Ἕλληνες ἀγῶνας ἐν ταῖς κυριωτάταις τῆς Ἑλλάδος πόλεσι θέντες εἶχον ὥστε τοὺς πολίτας πρὸς τὰς τῶν σωμάτων γυμνασίας προτρέπειν. — Οἱ Θηβαῖοι θυμωδῶς καὶ ὑβριστικῶς καὶ θρασέως καὶ ὑπερφρόνως ἔχουσιν. — Χρηστὸς ἄνθρωπος οὔποτε ἐν τῇ τοῦ βίου διαγωγῇ ἀστάτως ἔχει· τῇ γὰρ πίστει προσφυῆς οὐκ ἔλασσον ἀκριβῶς ταῖς ἑαυτοῦ ὑποσχέσεσιν ἢ τοῖς ὅρκοις ἐμμένει. — Φίλος καλῶς πράττων ἡδὺ θέαμα. — Αἱ Ἀθῆναι οὐδὲν ἔτι μέγα ἀπὸ τῶν τοῦ Ἀλεξάνδρου χρόνων γεννήσασαι ἔχουσι. — Ὁ Μακαρεὺς, ἱερεὺς Διονύσου, τὴν τελετὴν ἀπολιπὼν φρενιτιῶντί τινι ἐοικὼς, ἐκ τοῦ οἴκου, ὥσπερ εἶχεν, ἐξεπήδησε, καὶ τῷ θύρσῳ ᾧ κατεῖχε τὴν ἑαυτοῦ γυναῖκα ἀπέκτεινεν. — Εἰκός ἐστι λέγειν ὥσπερ τῶν ἰδιωτῶν οὕτω τῶν δήμων τοὺς μὲν ἀεὶ καλῶς, τοὺς δὲ ἀεὶ κακῶς πράττειν. — Οἱ Καρχηδόνιοι σκληρότατον ἔχοντες πρὸς τοὺς κατεστραμμένους οὕτω τὰ Ἰβηρικὰ ἔθνη ἠνίασαν ὥστε οἱ Ῥωμαῖοι ἐκεῖσε ἥκοντες ἀντ' ἐλευθερωτῶν ἐνομίσθησαν. — Πλὴν τῶν Κιλίκων καὶ τῶν Λυκίων ὁ Κροῖσος πάντας τὰ ἕτερα ἔθνη ἐντὸς τοῦ ποταμοῦ Ἅλυος χειρώσας εἶχε. — Τῶν πραγμάτων οὕτως ἐχόντων, ὁ δῆμος τῇ τῶν δανειστῶν χαλεπότητι ἐξηγριωμένος, εἰς τὸ ἱερὸν ὄρος ἀπεχώρησε. — Μὴ περίμενε πρὶν τοὺς φίλους τὰ ἁμαρτήματα νουθετῆσαι ἕως κακῶς πράξουσιν. — Οἱ Ῥωμαῖοι πρὸ τοῦ πρώτου Καρχηδονιακοῦ πολέμου οὕτως ἀπείρως τῆς ναυτικῆς εἶχον ὥστε τὴν πρώτην ναῦν κατεσκευάσαντο Καρχηδονιακήν τινα τριήρη ἐπὶ τὴν ἀκτὴν τῷ χειμῶνι ἐῤῥιμμένην παράδειγμα ποιησάμενοι. — Ὁ Κῦρος ἀκούων ὅτι ὁ μήτρως Κυαξάρης αὐτὸν μεταπέμπεται, πρὸς ἐκεῖνον ὡς εἶχεν ἔσπευσεν. — Πᾶσι μὲν εὐπροσηγόρως ἔχε, μόνον δὲ τοῖς χρηστοῖς ὁμίλησον.

337e Exercice.

Suite des emplois particuliers de quelques verbes grecs (*Grammaire*, p. 332 et suivantes).

Τὸ νῦν εἶναι οἱ Ἀθηναῖοι τοὺς πολεμίους λόγοις μόνον νικῶσιν ἔν γε βαλανείοις τε καὶ κουρείοις. — Ὡς οἰκτρόν ἐστι τὸ δυσδαίμονος τοῦδε· « Ὄφελον φοβεῖσθαι. » — Σπάνιον μὲν ἰδεῖν βασιλεῖς τὴν ἀρχὴν κατατίθεσθαι· ἔτι δὲ σπανιώτερον τύραννον ἰδεῖν ἑκόντα εἶναι τὴν δύναμιν ἀποτίθεσθαι ἣν μόνῃ τῇ βίᾳ ἐκτήσατο. — Οἱ νόμοι, ἔλεγεν ὁ Δημῶναξ, ἄχρηστοι εἶναι κινδυνεύουσιν, ἐπεὶ τοῖς μὲν ἀγαθοῖς ἐκείνων οὐ δεῖ, τοὺς δὲ κακοὺς ἐκεῖνοι οὐ ποιοῦσι βελτίους. — Τὴν πενίαν μοι ἔγκλημα ποιεῖς· ὤφελες οὐδὲν μεῖζόν ποτε ἔχειν μοι μέμψασθαι. — Εἰκός ἐστι λέγειν τὸν Ῥηγοῦλον εἰς τὴν Καρχηδόνα ἐπανήκοντα πρὸς τὸν θάνατον ἑκόντα εἶναι πορεύεσθαι. — Τὰ κατὰ τοὺς πρώτους τῆς Ῥώμης χρόνους συμβάντα κινδυνεύει οὐχ ἧσσον τῇ τῶν συγγραφέων ἀλαζονείᾳ ἢ τῇ ἀγνοίᾳ διεφθάρθαι· τὸ γὰρ περὶ τοῦ Πορσήνα εἶναι, εἰκός ἐστιν αὐτὸν, εἰ μὴ εἰς τὴν Ῥώμην εἰσῆλθε, τοῖς γ' ἐνοικοῦσι χαλεπώτατα ἐπιτάξαι. — Τὸ μὲν νῦν εἶναι, ἔλεγεν ὁ Κάτων, ἡ Καρχηδὼν οὐκ ἔστι φοβερά· πόσου δὲ χρόνου αὐτῇ δεήσει ὥστε τὴν νῦν πεπτωκυῖαν ἀναστῆναι; καὶ τότε κινδυνεύσει ἡ Ῥώμη μετανοῆσαι τῆς ἀντιπάλου φεισαμένη. — Ὁ Βροῦτος ἀπορῶν ἔτι εἰ τὴν τοῦ Καίσαρος τυραννίδα ἀναιρήσει, πανταχοῦ τοῖς τοῦ πάππου ἀνδριᾶσιν ἐπιγεγραμμένον ἑώρα· « Ὤφελεν ζῆν ὁ Βροῦτος. » — Ἀνὴρ λόγῳ τολμηρὸς κινδυνεύει ἔργῳ δειλὸς εἶναι. — Μήποτε ὤφελες τῆς τούτων ἀχαριστίας πειραθῆναι οὓς φίλους σοι νομίζεις εἶναι. — Ὁ Κούρτιος ἑκὼν εἶναι ἑαυτὸν εἰς χάσμα τι κατέρριψεν, ἄρτι ἐν μέσῃ τῇ ἀγορᾷ ἀνεῳγμένον, ὥστε τοὺς θεοὺς ὀργισθέντας ἐξευμενίσαι.

338e Exercice.

Suite des emplois particuliers de quelques verbes grecs (*Grammaire*, p. 332 et suivantes).

Ὁ Θρασύβουλος οὐκ ἔφθη εἰς Ἀθήνας εἰσελθὼν καὶ ἀμνηστίαν ἀνεκηρύξεν. — Εὐδαίμονες οἱ ἐν τῇ Χαιρωνείᾳ ἔφθησαν τελευτῆσαι πρὶν ἢ τὴν Ἑλλάδα ὑπὸ τοῖς Μακεδόσιν εἶναι. — Ὁ Εὔανδρος τοὺς ἄλλους ἀνθρώπους ἔφθασε τὸν Ἡρακλέα ὡς θεὸν σεβόμενος. — Οἱ Μακεδόνες εἰς τὰ Πασάργαδα εἰσελθόντες ἔφθησαν πρὶν ἢ τοὺς Πέρσας χρήματα τὰ ἐν αὐτοῖς ὄντα ἁρπάσαι ἢ διαφθεῖραι. — Ὅτε δέοι τῷ Ἀστυάγῃ χαρίζεσθαι, ὁ Κῦρος πάντας τοὺς ἄλλους ἔφθανεν. — Οὐκ ἔφθη ὁ Πύῤῥος τὴν Ἰταλίαν ἀπολιπὼν καὶ οἱ Καρχηδόνιοι καὶ Ῥωμαῖοι ἀλλήλοις συγκρούοντες ἔτυχον. — Εἴθε πάντα τὰ ἐκ τοῦ πολέμου κακὰ εἰς ἐκεῖνον τρέποιτο ὅστις τὰς σπονδὰς λύων φθάσει. — Ὦ Τρῶες, ἀποκτείνατέ με φθάσαντες καὶ

οὕτω τὴν τοῦ Ὀδυσσέως καὶ τῶν Ἀτρειδῶν χάριν κτήσασθε. — Ὁ Ἀπελλῆς οὐκ ἔφθη εἰς Ῥόδον ἀφικόμενος καὶ ἐπὶ τὴν τοῦ Πρωτογένους οἰκίαν ἐπορεύθη· καὶ ὁ αὐτὸς Ἀπελλῆς τὴν τοῦ μεγάλου ἐκείνου ζωγράφου δεινότητα φανερὰν ποιῶν ἔφθη. — Οὐκ ἂν φθάνοις λέγων, διὰ τί δεῦρο ἦλθες, τί αἰτεῖς ἡμᾶς τ ί ἀντὶ τούτων φέρεις ἡμῖν;

339e Exercice.

Suite des emplois particuliers de quelques verbes grecs (*Grammaire*, p. 332 et suivantes).

Χαῖρε, Ῥώμη, θυγάτηρ Ἄρεος, ἄνασσα χρυσῆν μίτραν ἔχουσα — Πολύφημος, καίπερ ἐκ θεοῦ γεγονὼς, οὐ χαίρων τὴν ξενίαν παρέδη. — Πλάτων Ἀρχύτᾳ χαίρειν. — Χαίρετε ὑμεῖς πάντων τῶν κινδύνων μοι κοινωνήσαντες. — Μὴ δυσχέραινε ἐὰν μωρός τις σὲ χαίρειν κελεύσαντα μὴ ἀντασπάσηται. — Ἐπειδὰν περὶ τὰ δημόσια διατρίβῃς, χαιρέτωσαν αἱ τέχναι, χαιρέτωσαν αἱ Μοῦσαι. — Ἐὰν θέλῃς τὰς Μούσας τιμᾶν, Πλοῦτόν τε καὶ ὅσα ἐκεῖνος ὑπισχνεῖται ἀγαθὰ ἔα χαίρειν. — Οὐ χαίρων, μὰ Δία, παραφρονοῦντος δεσπότου γίγνεταί τις δοῦλος. — Αἱ μέλισσαι ἐκ τῶν ἀνθέων ὅσα μὲν πρὸς τὸ μέλι χήσιμά ἐστιν ἐκλέγουσιν, ἐῶσι δὲ τὰ λοιπὰ χαίρειν. — Χαῖρε, Χρεμύλε· ἆρ' ἀληθῶς πλούσιος γέγονας καὶ τοῦ πλούτου τοὺς φίλους μετέχειν βούλει; — Εἰ μὴ Ἀθηνᾶ τὸν θυμοειδῆ Ἀχιλλέα κατέσχεν, οὐ χαίρων αὐτὸν ὁ Ἀγαμέμνων τὴν αἰχμαλωτίδα Βρισηΐδα ἀποστερῆσαι ἄν. — Ὁ Ὀκτάβιος οὐκ ἔφθη ὀκτωκαίδεκα ἔτη γεγονὼς καὶ πάσας τὰς τῇ ἡλικίᾳ προσηκούσας ἡδονὰς εἴασε μόνον ἤδη τῆς δυνάμεως γλιχόμενος. — Ἐν ταῖς πόλεσι ταῖς ἄριστα κεκοσμημέναις εἰσὶ μὲν ἀεὶ οἳ τοὺς νόμους παραβαίνουσιν· οὐδεὶς δὲ χαίρων παραβαίνει. — Χαῖρε, ὦ Ζεῦ, πάντων τῶν ἀθανάτων κύδιστε.

340e Exercice.

Emplois particuliers de quelques participes (*Grammaire*, p. 334 et 335).

Ἡράκλειτος ὁ Ἐφέσιος πρῶτον μὲν ἑαυτὸν οὐδὲν εἰδέναι ἔλεξε, τελευτῶν δὲ πάντα εἰδέναι ἔφη. — Οἱ Ῥωμαῖοι, εἰ καὶ πολλάκις ἐν πολέμου ἀρχῇ ἥσσονες ἦσαν, τελευτῶντες ἀεὶ περιεγίγνοντο. — Οἱ Ἕλληνες ᾔσθοντο τελευτῶντες τὴν ἐλευθερίαν τὴν ὑπὸ τῶν Ῥωμαίων ἀποδεδομένην αὐτοῖς οὐδὲν ἄλλο εἶναι ἢ κενόν τι ὄνομα. — Ἡ τῶν ἐθνικῶν θρησκεία τελευτῶσα οὐδὲν ἔτι τοῖς μετιοῦσι παρεῖχεν εἰ μὴ κενά τινα καὶ φορτικὰ εἴδωλα. — Ἀνύσας ἀπολόγησαι, εἰ ἡ πρᾶξίς σου εὐαπολόγητός ἐστι. — Τῷ συχνῶς τοῖς δυνατοῖς ὁμιλεῖν ὑπερήφανοι καὶ ὑβριστικοὶ ὥσπερ αὐτοὶ τελευτῶντες γιγνόμεθα. — Ἀνύσας λέξεις πότερον αὕτη ἡ βουλὴ δοκεῖ

σοι χρησίμη ἢ μή; — Οἱ Ῥωμαῖοι, πολλὰ δὴ μάτην ἐπιχειρήσαντες, τελευτῶντες τοὺς Πάρθους τῇ αὐτονομίᾳ χρῆσθαι εἴασαν. — Οἱ πλεῖστοι τῶν ἀνθρώπων τελευτῶντες ἅμα τῷ γηράσκειν ἄδικοί τε καὶ ὕποπτοι γίγνονται. — Ἐπεὶ αἱ μάλιστα ἀφεστηκυῖαι ἐπαρχίαι οὐκέτι βοήθειαν παρὰ τῶν αὐτοκρατόρων ἐλάμβανον, τελευτῶντες οἱ ἄρχοντες αὐτοὶ κατ' ἰδίαν σπονδὰς πρὸς τοὺς βαρβάρους ἐποιήσαντο. — Ἀνύσαντες φράζετε ἡμῖν τί ὑμῖν ἀπηρέσαμεν.

341ᵉ Exercice.

Suite des emplois particuliers de quelques participes (*Grammaire*, p. 334 et 335).

Ἐπειδὴ οἱ τῆς πατρίδος νόμοι προέστησάν μου μέχρι τοῦδε, τί ἔχων (ou παθὼν) αὐτοῖς μεμφοίμην ἄν; ἔλεγεν ὁ Σωκράτης. — Τί μαθὼν ὁ μύρμηξ οἶδε τὸν μὲν χειμῶνα μακρὸν εἶναι, τὸν δὲ πυρὸν οὐκ ἐπὶ πολὺ ἐν τοῖς ἀγροῖς προκεῖσθαι; — Ἄνδρες Ἀθηναῖοι, ἔλεγεν ὁ Ἀρχέλαος, μὴ φέροντες εἰς ὄλεθρον ἔρρετε τοῖς ἀναριθμήτοις τῶν Περσῶν στρατεύμασιν ἀντιστῆναι βουλόμενοι. — Τί ἔχοντες (ou παθόντες) οἱ Ῥωμαῖοι τὴν Κόρινθον ἀνεῖλον ἣ οὐδαμῶς αὐτοῖς δι' ὑποψίας ἦν; — Αὐτὴ ἡ Θέτις τὰ τοῦ Ἀχιλλέως ὅπλα φέρουσα εἰς τὸ κοινὸν κατέθετο. — Οἱ Σπαρτιᾶται Βοῦλίς τε καὶ Σπερχίας πρὸς τὸν βασιλέα Ξέρξην φέροντες προσῆλθον ἵνα δίκην δίδοιεν ἧς ἔνοχος ἦν ἡ Σπάρτη ἅτε τοῦ βασιλέως τοὺς πρέσβεις θανατώσασα. — Ὦ φίλε Μέντορ, τί ἔχων (ou παθὼν ou μαθὼν) τοῖς σοφοῖς σου λόγοις οὐκ ἐπείσθην; — Τί ἔχουσα (ou παθοῦσα ou μαθοῦσα) ἡ χελιδὼν οὐχ ὥσπερ οἱ ἕτεροι ὄρνιθες τῆς χώρας ἀντέχεται ἐν ᾗ τοὺς νεοσσοὺς ἔθρεψεν; — Τί ἔχοντες (ou παθόντες ou μαθόντες) κατὰ τῆς γῆς τῆς γεννησάσης ὑμᾶς ψεύδεσθε ἐγκαλοῦντες αὐτῇ ὅτι οὐκ ἂν δύναιτο τρέφειν ὑμᾶς; — Τί ἔχοντες (ou παθόντες ou μαθόντες) εἰς τὴν Δήμητρα πλημμελεῖτε τὴν τοὺς ἁγίους νόμους εὑροῦσαν καὶ τὸν χαρίεντα Διόνυσον τὸν παρήγορον, ὥσπερ εἰ τὰ ἄφθονα αὐτῶν δῶρα οὐκ εἰς τὴν τοῦ ἀνθρωπίνου γένους σωτηρίαν ἀρκοίη;

342ᵉ Exercice.

Suite des emplois particuliers de quelques participes (*Grammaire*, p. 334 et 335).

Ὁ Σέσωστρις αὐτὸς τοῖς ὑπηκόοις ἐδίκαζεν· πλησιάζειν αὐτῷ δὲ τῷ τυχόντι ἐξουσία ἦν. — Ὁ ἀνδριαντοποιὸς οὐ λίθον τὸν τυχόντα (ou ὡς ἔτυχεν) αἱροῖτο ἂν ἐπὶ τῷ ἀνδριάντα γλύφειν. — Ἡ τοῦ Διονυσίου πτῶσις παράδειγμα οὐ τῶν τυχόντων (ou οὐχ ὧν ἔτυχε) ἐστὶ τῶν τῆς τύχης μεταβολῶν. — Ὁ λάλος οἷός τε ἐστὶ τῷ τυχόντι προσέρχεσθαι ὥσπερ εἰ αὐτὸν ἐκ πολλοῦ ἐγίγνωσκεν. — Ὁ δύσκολος σήμερον ταῦτα ἀποδίδοσθαι τοῦ

τυχόντος θελήσει ἃ χθὲς πλείστου ἐωνήσατο. — Ὁ δῆμος μαινόμενος πάντα τὰ τυχόντα (ou πάνθ' ἃ ἔτυχεν) ὁπλίζεται. — Τίνι θαυμασίᾳ τέχνῃ μάρμαρός τις τῶν τυχουσῶν (ou ὧν ἔτυχεν) Ζεὺς Ὀλύμπιος ἢ καὶ ἡ σοφὴ καὶ μαχητικὴ Ἀθῆνα ἐγένετο; — Ἀντωνῖνος ὁ αὐτοκράτωρ οὐδὲν μὲν εἰ μὴ τῶν τυχόντων (ou ὧν ἔτυχεν) εἰς τροφὴν προσίετο, οὔτε οἰκίαν οὔτε οἰκέτας ἐξαιρέτους, ἤρκεῖτο δὲ ἐσθῆτας τὰς τυχούσας ἠμφιεσμένος. — Ὁ Σωκράτης ἔλεγεν ὅτι βασιλεῖς καὶ πρυτάνεις ὀνομαστέον ἐστὶ οὐ μὲν τοὺς τῆς δυνάμεως κρατήσαντας τῷ γένει ἢ τῇ βίᾳ ἢ τῇ τῶν τυχόντων ψήφῳ, τοὺς δὲ ἄρχειν ἐπισταμένους.

848ᵉ Exercice.

Calendrier des Grecs (*Grammaire*, p. 383 et 384).

Ἡ ἕκτη Βοηδρομιῶνος ἀρχομένου. — Ἡ δευτέρα Μεταγειτνιῶνος φθίνοντος. — Ἡ πέμπτη Γαμηλιῶνος μεσοῦντος. — Ἡ ἕνη καὶ νέα Ἐλαφηβολιῶνος. — Ἡ δευτέρα Ποσιδεῶνος ἀρχομένου. — Ἡ ἑβδόμη Μουνυχιῶνος ἀρχομένου. — Ἡ ὀγδόη Θαργηλιῶνος φθίνοντος. — Ἡ πέμπτη Μαιμακτηριῶνος ἀρχομένου. — Ἡ ἐννάτη Σκιῤῥοφοριῶνος φθίνοντος. — Ἡ ἑβδόμη Μαιμακτηριῶνος μεσοῦντος. — Ἡ ἐννάτη Βοηδρομιῶνος μεσοῦντος. — Ἡ ἕνη καὶ νέα Θαργηλιῶνος. — Ἡ νουμηνία Ἑκατομβαιῶνος. — Ἡ ὀγδόη Μεταγειτνιῶνος μεσοῦντος. — Ἡ τρίτη Γαμηλιῶνος ἀρχομένου. — Ἡ ἕνη καὶ νέα Μουνυχιῶνος. — Ἡ τετάρτη Θαργηλιῶνος ἀρχομένου. — Ἡ πρώτη Πυανεψιῶνος μεσοῦντος. — Ἡ ἕκτη Μαιμακτηριῶνος μεσοῦντος. — Ἡ πέμπτη Γαμηλιῶνος ἀρχομένου. — Ἡ ἐννάτη Ἑκατομβαιῶνος ἀρχομένου. — Ἡ ἕκτη Βοηδρομιῶνος φθίνοντος. — Ἡ ὀγδόη Ἀνθεστηριῶνος φθίνοντος. — Ἡ τετάρτη Μαιμακτηριῶνος φθίνοντος. — Ἡ ὀγδόη Ἑκατομβαιῶνος ἀρχομένου. — Ἡ δεκάτη Θαργηλιῶνος ἀρχομένου. — Ἡ νουμηνία Μεταγειτνιῶνος. — Ἡ τετάρτη Σκιῤῥοφοριῶνος μεσοῦντος. — Ἕνη καὶ νέα Θαργηλιῶνος. — Ἡ δεκάτη Ἑκατομβαιῶνος μεσοῦντος. — Ἡ δευτέρα Ἀνθεστηριῶνος μεσοῦντος. — Ἡ τετάρτη Ἐλαφηβολιῶνος φθίνοντος. — Ἡ δεκάτη Βοηδρομιῶνος φθίνοντος. — Ἡ ὀγδόη Ἀνθεστηριῶνος μεσοῦντος. — Ἡ ἑβδόμη Μουνυχιῶνος φθίνοντος. — Ἡ πρώτη Θαργηλιῶνος μεσοῦντος. — Ἡ ἐννάτη Πυανεψιῶνος φθίνοντος. — Ἡ πέμπτη Ἑκατομβαιῶνος μεσοῦντος.

FIN DE LA DEUXIÈME PARTIE.

TABLE DES MATIÈRES

DE LA DEUXIÈME PARTIE.


ELÉMENTS DU LANGAGE.


SYNTAXE.

IDIOTISMES.

FIN DE LA TABLE DES MATIÈRES DE LA DEUXIÈME PARTIE.

7303 — IMPRIMERIE GÉNÉRALE DE CH. LAHURE
Rue de Fleurus, 9, à Paris





MÉTHODE UNIFORME
POUR L'ENSEIGNEMENT DES LANGUES
PAR E. SOMMER

PREMIÈRES NOTIONS DE GRAMMAIRE GÉNÉRALE, OU EXPOSÉ DES PRINCIPES DE LA MÉTHODE UNIFORME, par E. Sommer. 1 vol. in-12, broché.............. 75 c.

1° LANGUE FRANÇAISE.

ABRÉGÉ DE GRAMMAIRE FRANÇAISE, par E. Sommer. 1 volume in-12, cart. 75 c.
QUESTIONNAIRE sur l'abrégé de grammaire française. 1 vol. in-12, cart. 40 c.
EXERCICES SUR L'ABRÉGÉ DE GRAMMAIRE FRANÇAISE, par A. Castillon. 1 vol in-12. 75 c.
EXERCICES D'ANALYSE GRAMMATICALE ET D'ANALYSE LOGIQUE. par F. de Parnajon. In-12, cart.............. 1 fr.
COURS COMPLET DE GRAMMAIRE FRANÇAISE, par E. Sommer. 1 vol. in-8. 1 fr. 50 c.
EXERCICES SUR LE COURS COMPLET DE GRAMMAIRE FRANÇAISE, par F. de Parnajon. In-8.............. 1 fr. 50 c.

2° LANGUES ÉTRANGÈRES.


ABRÉGÉ DE GRAMMAIRE ANGLAISE, par C. Fleming. 1 vol. in-12, cart.. 1 fr. 25 c.
EXERCICES SUR L'ABRÉGÉ DE GRAMMAIRE ANGLAISE, par C. Fleming. 1 volume in-12.............. 1 fr. 25 c.
EXERCICES ORAUX DE LANGUE ANGLAISE, par A. Beljame. 1 vol. in-12, cart. 1 fr. 25.
COURS COMPLET DE GRAMMAIRE ANGLAISE, par C. Fleming. 1 vol. in-8, cart.. 3 fr.
ABRÉGÉ DE GRAMMAIRE ALLEMANDE, par A. Desfeuilles. In-12, cart... 1 fr. 50 c.
EXERCICES SUR L'ABRÉGÉ DE GRAMMAIRE ALLEMANDE, par A. Desfeuilles. 1 volume in-12, cart.............. 1 fr. 50 c.
ABRÉGÉ DE GRAMMAIRE ITALIENNE, par P. Paoli. 1 volume in-12, cart. 1 fr. 25 c.
EXERCICES SUR L'ABRÉGÉ DE GRAMMAIRE ITALIENNE, par C. I. Rapelli. 1 volume in-12.............. 1 fr. 25 c.
ABRÉGÉ DE GRAMMAIRE ESPAGNOLE, par P. Hernandez. 1 vol. in-12, cart. 1 fr. 25 c.
EXERCICES SUR L'ABRÉGÉ DE GRAMMAIRE ESPAGNOLE, par P. Hernandez. In-12. 1 fr. 25.
COURS COMPLET DE GRAMMAIRE ESPAGNOLE, par P. Hernandez. In-8...... 3 fr. 50 c.

3° LANGUES ANCIENNES.

ABRÉGÉ DE GRAMMAIRE LATINE, par E. Sommer. 1 vol. in-12, cart... 1 fr. 25 c.
QUESTIONNAIRE sur l'abrégé de grammaire latine. 1 vol. in-12, cart..... 50 c.
EXERCICES SUR L'ABRÉGÉ DE GRAMMAIRE LATINE, par F. de Parnajon. in-12. 1 fr. 25.
COURS COMPLET DE GRAMMAIRE LATINE, par E. Sommer. 1 vol. in-8, cart. 2 fr. 50 c.
EXERCICES SUR LE COURS COMPLET DE GRAMMAIRE LATINE, par F. de Parnajon. 1 volume in-8.............. 2 fr. 50 c.
COURS DE VERSIONS LATINES, 1re partie, à l'usage des classes de huitième et de septième. 1 vol. in-12, cart.............. 1 fr.
COURS DE VERSIONS LATINES, 2e partie, à l'usage des classes de sixième et de cinquième. In-12.............. » »
COURS DE THÈMES LATINS, par F. de Parnajon 1 vol. in-12 cart.... 1 fr. 50 c.
ABRÉGÉ DE GRAMMAIRE GRECQUE, par E. Sommer. 1 vol. in-12, cart.. 1 fr. 50 c.
QUESTIONNAIRE sur l'abrégé de grammaire grecque. 1 vol. in-12...... 60 c.
EXERCICES SUR L'ABRÉGÉ DE GRAMMAIRE GRECQUE, par F. de Parnajon. In-12. 1 50 c.
COURS DE VERSIONS GRECQUES, 1re partie, à l'usage des classes de sixième et de cinquième in-12.............. 1 fr.
COURS DE VERSIONS GRECQUES 2e partie à l'usage des classes de cinquième et de quatrième. In-12. (Sous presse.)
COURS DE THÈMES GRECS, par F. de Parnajon. 1 vol. in-12......... 1 fr. 50 c.
COURS COMPLET DE GRAMMAIRE GRECQUE, par E. Sommer. 1 volume in-8.... 3 fr.
EXERCICES SUR LE COURS COMPLET DE GRAMMAIRE GRECQUE, par F. de Parnajon. In-8 3f.

Des corrigés ont été publiés pour chacun des volumes d'Exercices, de Versions et de Thèmes.

Imprimerie générale de Ch. Lahure, rue de Fleurus, 9, à Paris.


PA258.P27 1866 c.1
Corrig des Exercices sur le Cours
084 942 975
UNIVERSITY OF CHICAGO